ΔΗΜΟΣ Ι. Π. ΜΕΣΟΛΟΓΓΙΟΥ

ΒΑΛΒΕΙΟΣ
ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΤΡΟΠΟΣ ΑΠΟΚΤΗΣΗΣ:
ΔΩΡΕΑ
ΠΑΛΑΜΑΪΚΗΣ ΣΧΟΛΗΣ

ΗΜΕΡ. ΕΙΣΑΓΩΓΗΣ:
22-01-13

ΑΡΙΘΜΟΣ ΕΙΣΑΓΩΓΗΣ:
22.943

ΑΡΙΘ. ΤΑΞΙΝΟΜΗΣΗΣ:

ἀριθ: καταλ. 36. [illegible] 15.3.0[illegible]

# ΕΥΡΙΠΙΔΗΣ.

[illegible]

A. E. 22. 943

# ΕΥΡΙΠΙΔΗΣ.

## ΠΑΡΑΦΡΑΣΘΕΙΣ, ΣΧΟΛΙΑΣΘΕΙΣ ΤΕ, ΚΑΙ ΕΚΔΟΘΕΙΣ

Ὑπὸ

ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ.

ΕΙΣ ΤΟΜΟΥΣ ΕΞ.

ΤΟΜΟΣ ΕΚΤΟΣ.



ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΕΝ ΑΙΓΙΝΗι,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΝΔΡΕΟΥ ΚΟΡΟΜΗΛΑ.

1834.

# ΗΛΕΚΤΡΑ.

# ΥΠΟΘΕΣΙΣ.

Φονευθεντος Ἀγαμέμνονος ὑπ' Αἰγίσθου, φυγαδεύεται Ὀρέστης ὁ παῖς, ἵνα καὶ αὐτὸς παρανάλωμα τῆς τῆς μητρὸς γένηται ἀσελγείας· δεδιὼς δ' Αἴγισθος καὶ τὴν ἐκ τῆς Ἠλέκτρας ἐν τῷ μέλλοντι, εἴτινα τῶν εὐδαιμόνων γήμαιτο, τεκνοποιΐαν, ἐξέδωκεν αὐτὴν ἀνδρὶ αὐτουργῷ, ἵν' ὅλως ἀκλεῆ καὶ ἀδύνατα καὶ αὐτῷ ἀνύποπτα παντελῶς αὐτῇ τὰ μετέπειτα ᾖ· ἀνδρωθεὶς οὖν Ὀρέστης ἔρχεται μετὰ Πυλάδου παρὰ τὴν Ἠλέκτραν, καὶ γνωριμίας γενομένης, συμβουλεύονται, ὅπως ἐπεξίασι τῷ πατρῴῳ φόνῳ, ἀμφοτέρους διαχρησάμενοι τοὺς φονέας· καὶ δὴ τὴν μὲν Κλυταιμνήστραν, ὡς δῆθεν οὖσα λεχὼ, μεταπέμπεται πρὸς ἑαυτὴν δεομένη ἡ Ἠλέκτρα· πρὸς δὲ τὸν Αἴγισθον αὐτὸν (ἔτυχε γὰρ θύων ταῖς νύμφαις πλησίον πῃ ἐν τῷ προαστείῳ) ἐλθὼν Ὀρέστης, φονεύει· καὶ ἐπανελθὼν ὡς τὸν Αὐτουργὸν, διαχρῆται ὁμοίως καὶ τὴν μητέρα, ἄρτι ἐληλυθυῖαν. Ἐντεῦθεν δ' ἐπιφανέντες οἱ Διόσκουροι, τὴν μὲν Ἠλέκτραν ἐκδοῦναι Πυλάδῃ κελεύουσιν· αὐτὸν δ' Ὀρέστην ἀπελθεῖν εἰς Ἀθήνας· διώκειν γὰρ αὐτὸν ἤδη τὰς Ἐριννύας.

Ἡ δὲ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν ὁρίοις τῆς Ἀργείας γῆς· ὁ δὲ Χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων γυναικῶν.

ΤΑ

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΥΤΟΥΡΓΟΣ ΜΥΚΗΝΑΙΟΣ.

ΗΛΕΚΤΡΑ.

ΟΡΕΣΤΗΣ.

ΠΥΛΑΔΗΣ. (κωφὸν πρόσωπον).

ΧΟΡΟΣ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΠΡΕΣΒΥΣ.

ΑΓΓΕΛΟΣ.

ΔΙΟΣΚΟΥΡΟΙ.

Προλογίζει δὲ ὁ Αὐτουργός.

# ΗΛΕΚΤΡΑ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

ΑΥΤΟΥΡΓΟΣ, ΗΛΕΚΤΡΑ, ΟΡΕΣΤΗΣ, ΧΟΡΟΣ, ΠΥΛΑΔΗΣ.

ΑΥ. Ὦ γῆς παλαιὸν Ἄργος, Ἰνάχου ῥοαὶ,
Ὅθεν ποτ' ἄρας ναυσὶ χιλίαις Ἄρην,
Ἐς γῆν ἔπλευσε Τρῳάδ' Ἀγαμέμνων ἄναξ.
Κτείνας δὲ τὸν κρατοῦντ' ἐν Ἰλιάδι χθονὶ
Πρίαμον, ἑλών τε Δαρδάνου κλεινὴν πόλιν,
Ἀφίκετ' εἰς τόδ' Ἄργος, ὑψηλῶν δ' ἐπὶ
Ναῶν τέθεικε σκῦλα πλεῖστα βαρβάρων.
Κἀκεῖ μὲν εὐτύχησεν· ἐν δὲ δώμασιν
Θνήσκει γυναικὸς πρὸς Κλυταιμνήστρας δόλῳ,
Καὶ τοῦ Θυέστου παιδὸς Αἰγίσθου χερί.
Χὼ μὲν παλαιὰ σκῆπτρα Ταντάλου λιπὼν,
Ὄλωλεν. Αἴγισθος δὲ βασιλεύει χθονὸς,
Ἄλοχον ἐκείνου Τυνδαρίδα κόρην ἔχων.
Οὓς δ' ἐν δόμοισιν ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
Ἄρσενά τ' Ὀρέστην, θῆλύ τ' Ἠλέκτρας θάλος,
Τὸν μὲν πατρὸς γεραιὸς ἐκκλέπτει τροφεὺς,

# ΗΛΕΚΤΡΑ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ

ΠΑΡΑΦΡΑΣΙΣ.

ΑΥΤΟΥΡΓΟΣ, ΗΛΕΚΤΡΑ, ΟΡΕΣΤΗΣ, ΧΟΡΟΣ, ΠΥΛΑΔΗΣ·

ΑΥ. ῏Ω ΑΡΓΟΣ παλαιὸν, καὶ ῥεῖθρα τοῦ Ἰνάχου, ἀφ' οὗ ὁ Ἀγαμέμνων ὁ βασιλεὺς, χιλίαις ναυσὶν ἄρας, τὴν μεγάλην ἐκείνην ἐπὶ Τροίαν ἐποιήσατο ἐκστρατείαν· ἔνθα κρατήσας πολέμῳ τῆς πόλεως, καὶ Πρίαμον τὸν κρατοῦντ' ἀνελὼν, πλεῖσθ' ὅσα ἐκ τῶν βαρβάρων λαφύρων ἀνέθετο τοῖς ναοῖς, ἀπονοστήσας εἰς Ἄργος τοῦτο· ἀλλ' ἐκεῖ μὲν εὐτυχῶς αὐτῷ τὰ πράγματ' ἔσχεν· οἴκοι δὲ γενόμενος, ἀποθνήσκει δόλῳ μὲν Κλυταιμνήστρας, χειρὶ δὲ Αἰγίσθου· οὗτος μὲν οὖν οὕτω πράξας, τὸ πατρῷον ἀπώλεσε σκῆπτρον. Αἴγισθος δὲ νῦν ἄρχει, τὴν ἐκείνου λαβὼν γυναῖκα. Ὀρέστης δὲ καὶ Ἠλέκρα, οὓς ὁ πατὴρ ἐκπλεύσας, κατέλιπεν οἴκοι, ὁ μὲν, ὑποκλέψαντος αὐτὸν τοῦ τροφέως, σώζεται ἐν Φωκεῦσι παρὰ

2 Ἀρχ.] Ἄρη καὶ Ἄρην λέγουσιν· ἔστι δὲ ἀντὶ τοῦ Ἐκστρατείαν, ἢ στρατόν.

Μέλλοντ' Ὀρέστην χερὸς ὑπ' Αἰγίσθου θαν.
Στροφίῳ τ' ἔδωκε Φωκέων ἐς γῆν τρέφειν.
Ἡ δ' ἐν δόμοις ἔμεινεν Ἠλέκτρα πατρὸς,
Ταύτην, ἐπειδὴ θαλερὸς εἶχ' ἥϐης χρόνος,
Μνηστῆρες ᾔτουν Ἑλλάδος πρῶτοι χθονός·
Δείσας δὲ μή τῳ παῖδας Ἀργείων τέκοι,
Ἀγαμέμνονος ποινάτορας, σφ' εἶχ' ἐν δόμοις
Αἴγισθος, οὐδ' ἥρμοζε νυμφίῳ τινί.
Ἐπεὶ δὲ καὶ τοῦτ' ἦν φόϐου πολλοῦ πλέων,
Μή τῳ λαθραίως τέκνα γενναίῳ τέκοι,
Κτανεῖν σφ' ἐϐούλευσ'· ἡδ' ἄρ' ὠμόφρων ὅμως
Μήτηρ νιν ἐξέσωσεν Αἰγίσθου χερός.
Ἐς μὲν γὰρ ἄνδρα σκῆψιν εἶχ' ὀλωλότα,
Παίδων δ' ἔδεισε μὴ φθονηθείη φόνῳ.
Ἐκ τῶνδε δὴ τοιόνδ' ἐμηχανήσατο
Αἴγισθος· ὃς μὲν γῆς ἀπηλλάχθη φυγὰς
Ἀγαμέμνονος παῖς, χρυσὸν εἶφ', ὃς ἂν κτάνῃ,
Ἡμῖν δὲ δὴ δίδωσιν Ἠλέκτραν ἔχειν
Δάμαρτα, πατέρων μὲν Μυκηναίων ἄπο
Γεγῶσιν. (οὐ δὴ τοῦτό γ' ἐξελέγχομαι·
Λαμπροὶ γὰρ ἐς γένος γε, χρημάτων δὲ δὴ
Πένητες, ἔνθεν ηὑγένει' ἀπόλλυται·)
Ὡς, ἀσθενεῖ δοὺς, ἀσθενῆ λάϐοι φόϐον.
Εἰ γάρ νιν ἔσχεν ἀξίωμ', ἔχων ἀνὴρ
Εὕδοντ' ἂν ἐξήγειρε τὸν Ἀγαμέμνονος

18. Στροφίῳ τῷ πατρὶ τοῦ Πυλάδου· περὶ οὗ λόγος πολὺς ἐν Ὀρέστῃ, καὶ ἐν

τῷ Στροφίῳ· δέος γὰρ ἦν, μὴ καὶ αὐτὸς ἔργον τῆς τοῦ Αἰγίσθου ὠμότητος γένηται· Ἠλέκτρα δὲ μεμένηκεν οἴκοι· ἣν ἐν ὥρᾳ γενομένην πολλοὶ πολλαχόθεν τῶν τὰ πρῶτα τῆς Ἑλλάδος φερόντων ἐμνήστευον· Αἴγισθος δὲ, ἵνα μή τῳ τῶν Ἀργείων παῖδες γένοιντο ἐξ αὐτῆς τῷ Ἀγαμέμνονος θανάτῳ τιμωροὶ, οὐκ εἴα αὐτὴν ἀνδρὶ ἁρμοσθῆναι· ἀλλ᾽ οὐδὲ τούτοις ἠγάπησεν, περιδεὴς ὢν, μήπῃ αὖ αὐτῇ ποθεν ἐξ ἀνδρὸς γενναίου σκότιοι γένωνται, ἐν βουλῇ ἦν ἀποκτεῖναι, εἰ μὴ ἡ μήτηρ, καίπερ ὠμόφρων οὖσα, ἐξέσωσε φθάσασα· τὸν μὲν γὰρ ἄνδρα ἦν τις αὐτῇ σκῆψις εὐπρόσωπος ἀποκτεῖναι· περὶ δὲ τῶν παίδων οὐκ ἂν, εἰ πάθοιέν τι, τὴν τῶν ἀνθρώπων μέμψιν ἀπέφυγεν. Ἐκ τούτων οὖν Αἴγισθος μηχανᾶται τὰ δεύτερα, τῷ μὲν Ὀρέστῃ ἐπεκήρυξε χρήματα. Ἠλέκτραν δὲ δίδωσιν ἐμοὶ ἐς γυναῖκα, ἀνδρὶ λαμπρῶν μὲν γονέων ἐν Μυκήναις γεγεννημένῳ (οὐ γὰρ ἐνδεῖ μοι τούτου) πένητι δ᾽ ἄλλως καὶ ἀπόρῳ παντάπασιν· ἐξ οὗ γηράσκουσα μάλιστα ἡ εὐγένεια ἀχρειοῦται· ἐμοὶ γὰρ ἐκείνην δοὺς, ὑφαιρεῖσθαί τι τοῦ φόβου ἡγεῖται. ἀνδρὸς γὰρ ἐν ἀξιώματι ὄντος, γήμαντος ἐκείνην, οὐκ ἂν ἔξω φόβου αὐτῷ καθεστήκει τὰ πράγματα, μὴ οὐχὶ δίκην δώσειν ποτὲ, ἐφ᾽ οἷς ἀπέκτεινεν Ἀγαμέμνονα· Τούτῳ οὖν τῷ λόγῳ τυγχάνει μοι δεδωκὼς τὴν

Ἰφιγενείᾳ τῇ Ταυρικῇ. 22. Ἀργείων] ἐν ἄλλοις Ἀριστέων. 29. Σκῆψιν] τίνα ταύτην; ἢ τὴν τῆς Ἰφιγενείτς σφαγήν. 33. Χρυσὸν εἶπεν] ἐκήρυξε χρυσὸν, ὃν λήψεται, ὃς ἂν ἀποκτείνῃ Ὀρέστην.

Φόνον, δίκη τ' ἂν ἦλθεν Αἰγίσθῳ τότε.
Ἣν οὔποθ' ὡνὴρ ὅδε, σύνοιδέ μοι Κύπρις,
Ἤσχυνεν εὐνῇ· παρθένος δ' ἔτ' ἔστι δή.
Αἰσχύνομαι γὰρ ὀλβίων ἀνδρῶν τέκνα
Λαβὼν ὑβρίζειν, οὗ κατάξιος γεγώς.
Στένω δὲ τὸν λόγοισι κηδεύοντ' ἐμοὶ
Ἄθλιον Ὀρέστην, εἴ ποτ', εἰς Ἄργος μολὼν,
Γάμους ἀδελφῆς δυστυχεῖς ἐσόψεται.
Ὅστις δέ μ' εἶναί φησι μῶρον, εἰ λαβὼν
Νέαν ἐς οἴκους παρθένον, μὴ θιγγάνω,
Γνώμης πονηροῖς κανόσιν ἀναμετρούμενος
Τὸ σῶφρον ἴστω, κᾀυτὸς αὖ τοιοῦτος ὤν.

ΗΛ. Ὦ νὺξ μέλαινα, χρυσέων ἄστρων τροφὲ,
Ἐν ᾗ τόδ' ἄγγος τῷδ' ἐφεδρεῦον κάρᾳ
Φέρουσα, πηγὰς ποταμίας μετέρχομαι,
Οὐ δή τι χρείας εἰς τοσόνδ' ἀφιγμένη,
Ἀλλ' ὡς ὕβριν δείξωμεν Αἰγίσθου θεοῖς,
Γόους τ' ἀφῶμεν αἰθέρ' ἐς μέγαν πατρί.
Ἡ γὰρ πανώλης Τυνδαρὶς μήτηρ ἐμὴ,
Ἐξέβαλέ μ' οἴκων, χάριτα τιθεμένη πόσει.
Τεκοῦσα δ' ἄλλους παῖδας Αἰγίσθῳ πάρα,
Πάρεργ' Ὀρέστην κᾀμὲ ποιεῖται δόμων.

ΑΥ. Τί γὰρ τάδ', ὦ δύστην', ἐμὴν μοχθεῖς χάριν,
Πόνους ἔχουσα, πρόσθεν εὖ τεθραμμένη,
Καὶ, ταῦτ' ἐμοῦ λέγοντος, οὐκ ἀφίστασαι;

---

42. Φόνον.] ἄμεινον γράφειν, φόβον. 43. Ἀνὴρ ὅδε] ἐγὼ ὅδ' αὐτός.
47. Τὸν λόγοισι] λόγῳ γὰρ μόνῳ γήμας ὁ Αὐτουργὸς τὴν Ἠλέκτραν, συνευ-

παρθένον· ἀλλ' αὐτὸς, καὶ μαρτύρομαίγε αὐτὴν Ἀφροδίτην, οὐδέπω ἡψάμην αὐτῆς ἐν εὐνῇ· οὐδὲ τὸ παρθένον εἶναι ταύτην ἀφήρημαι, συνειδὼς ἐμαυτῷ μὴ ἀξίῳ τυγχάνοντι· οὐδὲ γὰρ ἀξιῶ, εὐδαίμονὸς θυγατέρα λαβὼν, ἐξυβρίζειν· χαλεπῶς δὲ φέρω τὴν τοῦ κηδεςοῦ μοι Ὀρέστου τύχην, εἴποτ' ἐν Ἄργει ἐλθὼν, κατόψεται τὴν ἀδελφὴν ἄνισον ἄνδρα καὶ ἀτυχῆ γημαμένην. Εἴτις οὖν μὴ ἐπαινεῖ τὰ ὑπ' ἐμοῦ πεπραγμένα, ἀλλ' ὁρῶν με τῆς κόρης ἀπεχόμενον, καταγινώσκει μου ἄνοιαν, καὶ ἀβελτηρίαν, ἴστω αὐτὸς ἀνόητος ὢν, τῆςτ' ἀληθείας περὶ τὴν σωφροσύνην ἐκπίπτων, καὶ αὐτὸς πόῤῥω αὐτῆς ταύτης τοξεύων.

ΗΛ. Ὦ μέλαινα νὺξ, ἡ χρυσολαμπεῖς τρέφουσ' ἀστέρας, ἐν ᾗ τὴν ὑδρίαν ταύτην φέρουσα ἐπὶ κεφαλῆς, ἀπέρχομαι ὑδρευσομένη· καὶ τοῦτ' οὐ χρείας ἕνεκα μᾶλλον, ἢ τὴν τοῦ Αἰγίσθου ὠμότητα πᾶσι θεοῖς ποιήσουσα δήλην, ὀλοφυρομένη πρὸς τὸν πατέρα ἐν τῷ μεγάλῳ τούτῳ αἰθέρι· ἡ γὰρ ἐμὴ μήτηρ, ἡ ἐξώλης καὶ προώλης Τυνδαρὶς, χαριζομένη Αἰγίσθῳ, ἐκποδῶν ἐποιήσατό με τῆς πατρῴας οἰκίας· ἑτέρους γὰρ τεκοῦσα ἐκείνῳ παῖδας, ἐξέωσεν ὡς μηδένας ἐμέτε καὶ Ὀρέστην.

ΑΥ. Τί ποθ' οὕτως, ὦ δύστηνε, ὑπὲρ ἐμοῦ τυγχάνεις ἀεὶ μοχθοῦσα, ἀγωγῆς τὸ πρῶτον τυχοῦσα λαμπρᾶς, καὶ ταῦτ' ἐμοῦ ἀπαξιοῦντος;

---

νασθῆναι αὐτῇ οὐδέπω ἠξίωσεν. 54. Ω νὺξ] Ἠλέκτρα προκύψασα τῆς οἰκίας, καὶ τὴν ὑδρίαν ἐπὶ κεφαλῆς ἔχουσα, πρόεισιν ἀρδευσομένη ἀπὸ τῆς πηγῆς,

ΗΛ· Ἐγώ σ' ἴσον θεοῖσιν ἡγοῦμαι φίλον·
Ἐν τοῖς ἐμοῖς γὰρ οὐκ ἐνύβρισας κακοῖς·
Μεγάλη δὲ θνητοῖς μοῖρα, συμφορᾶς κακῆς
Ἰατρὸν εὑρεῖν, ὡς ἐγώ σε λαμβάνω.
Δεῖ δή με κἀκέλευστον, εἰς ὅσον σθένω,
Μόχθου 'πικουφίζουσαν, ὡς ῥᾷον φέρῃς,
Συνεκκομίζειν σοι πόνους. ἅλις δ' ἔχεις
Τἄξωθεν ἔργα· τὰν δόμοις δ' ἡμᾶς χρεὼν
Ἐξευτρεπίζειν· εἰσιόντι δ' ἐργάτῃ
Θύραθεν ἡδὺ τἄνδον εὑρίσκειν καλῶς·
ΑΥ. Εἴ τοι δοκεῖ σοι, στεῖχε· καὶ γὰρ οὐ πρόσω
Πηγαὶ μελάθρων τῶνδ'· ἐγὼ δ' ἅμ' ἡμέρᾳ
Βοῦς εἰς ἀρούρας ἐσβαλὼν, σπερῶ γύας.
Ἀργὸς γὰρ οὐδεὶς, θεοὺς ἔχων ἀνὰ στόμα,
Βίον δύναιτ' ἂν ξυλλέγειν ἄνευ πόνου.
ΟΡ. Πυλάδη· σὲ γὰρ δὴ πρῶτον ἀνθρώπων ἐγὼ
Πιστὸν νομίζω καὶ φίλον ξένον τ' ἐμοί.
Νόνος δ' Ὀρέστην τόνδ' ἐθαύμαζες φίλων,
Πράσσονθ', ἃ πράσσω, δείν' ὑπ' Αἰγίσθου παθὼν,
Ὅς μου κατέκτα πατέρα, χἡ πανώλεθρος
Μήτηρ· ἀφῖγμαι δ' ἐκ θεοῦ μυστηρίων
Ἀργεῖον οὖδας, οὐδενὸς ξυνειδότος,
Φόνον φονεῦσι πατρὸς ἀλλάξων ἐμοῦ.
Νυκτὸς δὲ τῆσδε πρὸς τάφον μολὼν πατρὸς,
Δάκρυά τ' ἔδωκα, καὶ κόμης ἀπηρξάμην

---

θρηνοῦσα τὰ καθ' ἑαυτήν. 80. Ἀργὸς δὲ οὐδεὶς] ὅμοιον, τῷ, σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει. 82. Πυλάδη] Ὀρέστης καὶ Πυλάδης εἰσέρχονται κατὰ μόνας,

ΗΛ. Ἴσον γάρ σε ἔγωγε τίθεμαι θεοῖς, ὡς ἐν τοιούτοις ἀτυχήμασιν οὔσῃ, μήδεποτέ μοι καταχρησάμενον πρὸς ὕβριν· εὐτυχὲς δὲ τοιοῦτον ἰατρὸν, οἷος αὐτὸς ἔμοιγ᾽ ἀνεφάνης, ἐν τοιούτοις καιροῖς εὑρέσθαι· δεῖ οὖν ἑκοῦσάν με συμφέρειν σοι τὰ παρόντα, ὅσον ἂν οἷα τε ᾧ, τῶν πόνων ἐν ἑκάστοις ἀνακουφίζουσαν, ὡς ἀπαλλαγῆς, ὅσον δυνατόν, ἐκείνων· ἅλις γὰρ τὰ ἔξωσε πονεῖν πρὸς τὸν βίον· τῶν δ᾽οἴκοι ἐμὲ χρὴ ἐπιμελεῖσθαι· ἐργάτῃ γὰρ ἀνδρὶ, ἅμ᾽ ἀπὸ τῶν πόνων γιγνόμενον, ἡδὺ τὰ οἴκοι καλῶς ἔχονθ᾽ εὑρίσκειν·

ΑΝ. Εἰ οὖν σοι βουλομένῃ τοῦτ᾽ ἐστὶν, ἰοῦσα πρᾶττε τὸ παριστάμενον· ἡ γὰρ πηγὴ ἐγγὺς ᾧδ᾽ ἐστὶν· ἐμοὶ δὲ ὑποφαινομένης ἡμέρας, μελήσει ζευγνῦναι τὰς βοῦς πρὸς γεωργίαν. οἶδα γὰρ οὐδέν᾽ οὐδαμοῦ, αἰτοῦντα μὲν τοὺς θεοὺς, αὐτὸν δ᾽ ἀργὸν ὄντα, τὸν βίον ἀμοχθεὶ ποριζόμενον.

ΟΡ. Πυλάδη· σὺ γὰρ μόνος τῶν ἁπάντων φίλος μοι καὶ ξένος τυγχάνεις πιστός· καὶ σὺ αὐτὸς ἐπῄνεις Ὀρέστην τόνδε, πράττονθ᾽, ἃ νῦν τυγχάνει πράττων, κακῶς ὑπ᾽ Αἰγίσθου παθών· ὃς τὸν ἐμὸν ἀνεῖλε πατέρα, τῆς κακῆς κακῶς ἀπολουμένης μητρὸς συμπραττούσης, τυγχάνω δ᾽ ἥκων ἐνταῦθα ἄρτι ἀπὸ τοῦ μαντείου, μηδενὸς συνειδότος τῷ τοῦ πατρὸς ἐπελευσόμενος φόνῳ· ἐλθὼν δὲ νύκτωρ παρὰ τὸν τάφον ἐκείνου, ἔσπεισα δά-

---

μηδενὸς παρόντος ἐν τῇ Ὀρχίστρᾳ. 87. Χρηστηρίων] ἐρωτήσαντι γὰρ Ἀπόλλωνα τῷ Ὀρέστῃ, τίποτε πράττοι τὴν μητέρα, τὸν αὐτοῦ ἀποκτείνουσαν πα-

Πυρᾷ τ' ἐπέσφαξ' αἷμα μηλείου φόνου,
Λαθὼν τυράννους, οἳ κρατοῦσι τῆσδε γῆς.
Καὶ τειχέων μὲν ἐντὸς οὐ βαίνω πόδα,
Δυεῖν δ' ἀμίλλαιν ξυντιθεὶς, ἀφικόμην
Πρὸς τέρμονα γῆς τῆσδ', ἵν' ἐκβάλω ποδὶ
Ἄλλην ἐπ' αἶαν, εἴ μέ τις γνοίη σκοπῶν
Ζητοῦντ' ἀδελφὴν, (φασὶ γάρ νιν ἐν γάμοις
Ζευχθεῖσαν, οἰκεῖν, οὐδὲ παρθένον μένειν,)
Ὡς συγγένωμαι, καὶ φόνου συνεργάτιν
Λαβὼν, τά γ' εἴσω τειχέων σαφῶς μάθω.
Νῦν οὖν, (Ἕως γὰρ λευκὸν ὄμμ' ἀναίρεται,)
Ἔξω τρίβου τοῦδ' ἴχνος ἀλλαξώμεθα.
Ἢ γάρ τις ἀροτὴρ, ἤ τις οἰκέτις γυνὴ,
Φανήσεται νῷν, ἥντιν' ἱστορήσομεν,
Εἰ τούσδε ναίει σύγγονος τόπους ἐμή.
Ἀλλ' εἰσορῶ γὰρ τήνδε προσπόλων τινὰ,
Πηγαῖον ἄχθος ἐγκεκαρμένῳ κάρᾳ
Φέρουσαν· ἑζώμεσθα κἀκπυθώμεθα
Δρύλης γυναικὸς, ἤν τι δεξώμεσθ' ἔπος,
Ἐφ' οἷσι, Πυλάδη, τήνδ' ἀφίγμεθα χθόνα.
ΗΛ. Σύντειν', ὥρα, ποδὸς ὁρμάν· (Στρ. ά.)
Ὢ ἔμβα, ἔμβα καταιλαίουσ'·
Ἰώ μοί μοι!
Ἐγενόμαν Ἀγαμέμνονος

τέρα, ἀνεῖλεν αὐτῷ ἀνελεῖν αὐτήν,. 92- Μηλείου] προβατίου· γράφοιτο δ' ἂν καὶ μήλειον, ἀποδιδόμενον πρὸς τὸ αἷμα. 95. Δυεῖν δ' ἀμίλλαιν ξυντιθεὶς δύο σκοποὺς συλλαβὼν ἐν ἐμαυτῷ· ποτέρους δὲ τούτους λέγει; σκοτεινὸν εἴασεν· εἶεν δ' ἂν, εἷς μὲν, ἐάν τις αἴσθηται αὐτὸν τὴν ἀδελφὴν ζητοῦντα, ἀπαλλαγῆναι τῆς χώρας τὴν ταχίστην· ὁ δ' ἕτερος, ὡς ἐντύχῃ τῇ ἀδελφῇ, καὶ δ·

κρυα τὰ εἰκότα· τῆςτε κόμης τῆς ἐμαυτοῦ ἀπαρξάμενος, κἀπὶ τῆς πυρᾶς σφάγιον τεμὼν, λαθὼν τὸν τῆς χώρας κρατοῦντα, προσήνεγκον ἐκείνῳ αἷμα· ἀφικόμην δὲ δεῦρο, διττὰ βουλευσάμενος· ἣν μὲν γάρ τις τῶν σκοπῶν αἴσθηταί με ζητοῦντα τῇ ἐμαυτοῦ ἐντυχεῖν ἀδελφῇ (λέγεται δὲ μηκέτι παρθένον αὐτὴν εἶναι, ἀνδρὶ ἁρμοσθεῖσαν), εἰς ἄλλην εὐθὺς μεταστήσομαι γαῖαν. εἰ δὲ μὴ, συνεργάτιν λαβὼν κἀκείνην, τὰ ἐντὸς τοῦ τείχους περιεργάσομαι· νῦν δ' οὖν (τὸ λαμπρὸν γὰρ τῆς Ἠοῦς ἤδη ἄνεισι φῶς) ἐκ ποδῶν τῶν μέσων γενόμενοι, καθώμεθα ἐν γωνίᾳ, εἴπως ἐντύχοιμέν τῳ, ἤτοι ἀνδρὶ αὐτουργῷ, ἢ γυναικὶ προσπόλῳ, παρ' ἧς μαθησόμεθα, ὅπῃ δήποτε ἡ ἐμὴ ἀδελφὴ τὰς διατριβὰς ποιεῖται· ἀλλ' ἴδε γυνὴ ἐκείνη, ὕδωρ φέρουσα ἐπὶ κεφαλῆς κεκαρμένης· ςάντες οὖν πυνθανώμεθα, εἴπως μάθοιμέν τι παρ' αὐτῆς, ὧν σπουδάζομεν πέρι.

**ΗΛ.** Καιρὸς ἤδη κατατείνειν τὸ βῆμα τοῦ ποδὸς πρὸς τὸν οἶκον, ὦ σύγε ἡ τὰ σαυτῆς κατοδυρομένη ἐγὼ κακὰ, εἴσελθ', εἴσελθε· ἰώ μοι μοι, Ἀγαμέμνονος καὶ Κλυται-

---

αὐτῆς τὰ ἐντὸς τῶν τειχῶν μάθῃ, ὅπως ἔχει. 102. Λευκὸν ὄμμα] τὸ τῆς Ἠοῦς δῆλον οὖν ὅτι τὸ περίορθρον ἦν. 112. Σύντεινε] αὐτὴ ἑαυτὴν κελεύει καθ' ἑαυτὴν Ἠλέκτρα, ἐπανερχομένη ἀπὸ τῆς πηγῆς· θρηνεῖ δὲ τὰ καθ' ἑαυτὴν, ἐξ ὧν γίνεται φανερὰ τῷ Ὀρέστῃ, ἥτις ἐστίν· εἰκονομία δὲ τοῦτο τοῦ ποιητοῦ.

Κούρα, καί με τέκε Κλυταιμνήστρα,
Στυγνὰ Τυνδαρέου κόρα.
Κικλήσκουσι δέ μ' ἀθλίαν
Ἠλέκτραν πολιῆται.
Φεῦ, φεῦ, τῶν σχετλίων πόνων
Καὶ στυγερᾶς ζωᾶς!
Ὦ πάτερ, σὺ δ' ἐν ᾅδῃ δὴ
Κεῖσαι, σᾶς ἀλόχου σφαγεὶς
Αἰγίσθου τ', Ἀγάμενον.
Ἴθι, τὸν αὐτὸν ἔγειρε γόον,
Ἄναγε πολύδακρυν ἀδονάν.
Γοερᾶς φρενὸς Κύπρις ἄλγος.
Σύντειν', ὥρα, ποδὸς ὁρμάν. (Ἀντ. ά.)
Ὦ ἔμβα, ἔμβα κατακλαίουσ'·
Ἰώ μοί μοι!
Τίνα πόλιν, τίνα δ' οἶκον, ὦ
Τλᾶμον, τλᾶμον σύγγονε, λατρεύεις,
Οἰκτρὰν ἐν θαλάμοις λιπὼν
Πατρῴοις ἐπὶ συμφοραῖς
Ἀλγίσταισιν ἀδελφεάν;
Ἔλθοις τῶνδε πόνων ἐμοὶ
Τᾷ μελέᾳ λυτὴρ,
Ὦ Ζεῦ, Ζεῦ! πατρί θ' αἱμάτων
Ἐχθίστων ἐπίκουρος, Ἄρ
Γει κέλσας πόδ' ἀλάταν.
Θὲς τόδε τεῦχος ἐμῆς ἀπὸ κρατὸς ἑ-
Λοῦσ', ἵνα πατρὶ γόους νυχίους
Ἐπορθοβοάσω,
Ἰακχὰν ἀοιδὰν, μέλος ἀΐδα.
Πάτερ σοὶ κάτω γᾶς ἐνέπω γόους, (Ἐπῳδός)

μνήστρας τῆς Τυνδάρεω τυγχάνω γεγενημένη, Ἠλέκτρα ἀθλία παρὰ τοῖς πολίταις ἀκούουσα. Οἴμοι, ὦ πάτερ, τῶν παρόντων κακῶν, καὶ ὅλως τοῦ στυγεροῦ τούτου βίου· σὺ δ' ἐν ᾅδου κεῖσαι, ὑπὸ τῆς σαυτοῦ γυναικὸς καὶ Αἰγίσθου ἀποθανών· ἀλλ' ἴθι καὶ αὐτός μοι συνθρήνει, ἡδονήν τινα πορμνώμενος ἀπὸ τῶν δακρύων. ἡδονὴ γὰρ ἀληθῶς λυπουμένης ψυχῆς ὁ θρῆνος.

Ὥρα, ὥρα ἤδη ἐπιταχύνειν τὸν πόδα· εἴσιθι σύγε κατοδυρομένη· οἴμοι! σὺ δ' ὦ τλῆμον Ὀρέστα, ἆρα ποῦ εἶ; τίνα πόλιν οἰκῶν, τίνι ποτὲ λατρεύεις, οἰκτρὰν ἐμὲ ἐπὶ μεγίσταις συμφοραῖς ἐν τῇ πατρῴᾳ καταλιπὼν οἰκίᾳ; εἴθ' ἔλθοις μοί ποτε λυτὴρ τῶν πόνων· ἔλθοις τήν τε σαυτοῦ ἀδελφὴν σώσων, καὶ τῷ τοῦ πατρὸς ἐν Ἄργει ἐπεξιὼν θανάτῳ· δὸς, ὦ Ζεῦ· δὸς, ὦ σῶτερ· ἀλλὰ τί μὴ καθελοῦσα πρὸς μικρὸν τῆς κεφαλῆς τὴν ὑδρίαν, θῶ κατὰ γῆς, ἵν' ἔχοιμι ἐπ' ἀδείας ἀξίους ἕωθεν τῷ πατρὶ ἐπᾶσαι θρήνους;

Ὀλοφυρμοὺς, ὀλοφυρμοὺς, ὦ πάτερ, οἷς νύκτωρ καὶ

---

123. Σῆς ἀλόχου] ὑπὸ τῆς σῆς ἀλόχου. 127. Γοερᾶς φρενὸς Κύπρις ἄλγος] στοῖχος οὗτος δοκεῖ προστεθεῖσθαι ὑπό τινος δια τὸ ἐκλιπὲς γενέσθαι τὸ χωρίον· ὁ δὲ νοῦς, ψυχῆς λυπουμένης τὸ θρηνεῖν καὶ δακρύειν ἐστιν ἡδονὴ καὶ παραμυθία. 141. Θὲς] αὐτὴ ἑαυτὴν κελεύει. 158. Λουτρὰ πανύστατα] ἐν

Οἷς ἀεὶ τὸ κατ' ἦμαρ
Διέπομαι, κατὰ μὲν φίλαν
Ὄνυχι τεμνομένα δέραν,
Χέρα τε κρᾶτ' ἐπὶ κούριμον
Τιθεμένα θανάτῳ σῷ.
Ἒ ἔ! δρύπτε κάρα·
Οἷα δέ τις κύκνος ἀχέτας
Ποταμίοις παρὰ χεύμασιν
Πατέρα φίλτατον καλεῖ,
Ὀλόμενον δολίοις βρόχων
Ἕρκεσιν, ὡς σὲ τὸν ἄθλιον
Πατέρ' ἐγὼ κατακλαίομαι,
Λουτρὰ πανύσταθ' ὑδρανάμενον χροΐ,
Κοίτᾳ ἐν οἰκτροτάτᾳ θανάτου.
Ἰώ μοι, ἰώ μοι
Πικρᾶς [μὲν] πελέκεως τομᾶς σᾶς, πάτερ,
Πικρᾶς δ' ἐκ Τροίας ὁδοῦ βουλᾶς!
Οὐ μίτραισι γυνή σε
Δέξατ', οὐδ' ἐπὶ στεφάνοις·
Ξίφεσι δ' ἀμφιτόμοις λυγρὰν
Αἰγίσθου λώβαν θεμένα,
Δόλιον ἔσχεν ἀκοίταν.

ΧΟ. Ἀγαμέμνονος ὦ κόρα, (Στρ. ά.)
Ἤλυθον, Ἠλέκτρα, ποτὶ σὰν ἀγρότειραν αὐλάν.
Ἔμολέ τις, ἔμολε γαλακτοπότας ἀνὴρ
Μυκηναῖος ὀρειβάτας·
Ἀγγέλλει δ', ὅτι νῦν τριταί-
Αν καρύσσουσιν θυσίαν
Ἀργεῖοι, πᾶσαι δὲ παρ' Ἥ
Ραν μέλλουσι παρθενικαὶ στείχειν.

ΗΛ. Οὐκ ἐπ' ἀγλαΐαις, φίλαι, (Στρ. β')

μεθ' ἡμέρας σύνειμι, τοιοῦτον μέλος σοι ἀεὶ καταπέμπω εἰς Ἅδην, τάςτε παρειὰς ἐλεεινῶς δρυπτομένη τοῖς ὄνυξι, καὶ τὴν κεφαλὴν, ἤδη κεκαρμένην, καταράττουσα τῇ χειρὶ ἐπὶ τῇ σῇ ἀπωλείᾳ· ἔ, ἔ· τύπτ' αὐτὴ τὴν κεφαλὴν, οἷα πάσχουσα· καθάπερ γὰρ κύκνος μελῳδὸς παρὰ ποταμῷ τὸν ἑαυτοῦ καλεῖ φίλτατον πατέρα, ἀπολωλότα πῃ ἐν βρόχοις· οὕτω σὲ, ὦ πάτερ, ἐγὼ κατοδύρομαι, ὡς τεθνηκότα οἰκτροτάτῳ θανάτῳ, λουόμενον τὸ πανύστατον· οἴμοι, ὦ πάτερ, τῆς πικρᾶς καὶ ὠμῆς ἐκείνης φορᾶς τοῦ πελέκεως, καὶ τῆς δυστυχοῦς ἀπὸ τῆς Τροίας νόστου· οὐ γὰρ μίτραις, οὐδὲ στεφάνοις, οἷς εἰκὸς ἦν, ἀλλὰ ξίφεσι διστόμοις ἡ γυνὴ ἐδέξατό σε· οὕτω τὴν Αἰγίσθου μανίαν περὶ πλείονος ποιουμένη, ἄνδρ' ἐκεῖνον δόλιον ἔσχε.

**ΧΟ.** Ἠλέκτρα, Ἀγαμέμνονος κόρη, ἥκω πρὸς τὴν σὴν ταύτην ἄγρικον δίαιταν, ἐρῶν ἐκεῖνα· Μυκηναῖός τις ἐλθὼν, τούτων δὴ τῶν ἀγροδιαίτων καὶ γαλακτοποτῶν, ἀπαγγέλλει μέλλειν Ἀργείους τριήμερον θυσίαν προσοίσειν· πάσας δὲ παρθένους σπεύδειν πρὸς τὴν Ἥραν.

**ΗΛ.** Οὐ πρὸς ἑορτὰς τἀμὰ, ὦ φίλαι, οὐδ' ὅρμοις χρυσοῖς

---

ʻ γὰρ τῷ λουτρῷ λέγεται φονευθῆναι Ἀγαμέμνων ὑπὸ Κλυταιμνήστρας τῷ πελέκει.

Θυμὸν, οὐδ' ἐπὶ χρυσέοις
Ὅρμοις ἐκπεπόταμαι
Τάλαιν', οὐδὲ στᾶσα χοροῖς
Ἀργείαις ἅμα νύμφαις,
Ἑλικτὸν κρούσω πόδ' ἐμόν.
Δάκρυσι χεύω, δακρύων δέ μοι μέλει
Δειλαίᾳ τὸ κατ' ἦμαρ.
Σκέψαι μου πιναρὰν κόμαν,
Καὶ τρύχη τάδ' ἐμῶν πέπλων,
Εἰ πρέποντ' Ἀγαμέμνονος
Κούρᾳ τᾷ βασιλείᾳ, τᾷ
Τροίᾳ θ', ἃ ποῦ μου πατέρος
Μέμναταί ποθ' ἁλοῦσα.

ΧΟ. Μεγάλα θεός· ἀλλ' ἴθι, (Ἀντ. α΄.)
Καὶ παρ' ἐμοῦ χρῆσαι πολύπηνά τε φάρεα δῦναι,
Χρύσεά τε χάρισιν προσθήματ' ἀγλαΐας.
Δοκεῖς τοῖς σοῖσιν δακρύοις,
Μὴ τιμῶσα θεοὺς, κρατή-
σειν ἐχθρῶν; οὔτοι στοναχαῖς,
Ἀλλ' εὐχαῖσι θεοὺς σεβί-
ζουσ' ἕξεις εὐαμερίαν, ὦ παῖ.

ΗΛ. Οὐδεὶς θεῶν ἐνοπᾶς κλύει (Ἀντ. β΄.)
Τᾶς δυσδαίμονος, οὐ παλαι-
ῶν πατρὸς σφαγιασμῶν.
Οἴμοι τοῦ καταφθιμένου,
Τοῦ τε ζῶντος ἀλάτα!
Ὅς που γᾶν ἄλλαν κατέχει
Μέλεος, ἀλαίνων ποτὶ θῆσσαν ἑστίαν,

κοσμηθεῖσαν, χοροὺς ἱστάναι σὺν παρθένοις Ἀργείαις, εὔστροφον κινοῦσαν πόδα, ἀλλὰ δάκρυα ἐπὶ δάκρυσι χέουσαν καθ' ἑκάστην, καὶ θρήνοις θρήνους ἐπιτιθεῖσαν, τὸν ἅπαντα στένειν χρόνον· ἴδε γάρ μου τὸ τῆς κόμης αὐχμηρὸν καὶ τὸ τῆς ἐσθῆτος πιναρὸν καὶ τριχῶδες, εἴσοι ἄξια δοκεῖ εἶναι ταῦτα τῆς τοῦ Ἀγαμέμνονος κόρης, καὶ βασιλίδος, καὶ τῆς Τροίας αὐτῆς· ἥτις ὑπ' ἐκείνου πόθ' ἁλοῦσα, οὐκ ἂν ἐς λήθην ἔλθοι.

**ΧΟ.** Μεγάλη ἐστὶν ἡ θεός· σὺ δὲ κόσμον παρ' ἐμοῦ λαβοῦσα, ἐσθῆτα λαμπρὰν, καὶ ἄλλα χρυσεῖα, οἷς τὸ θῆλυ μάλιστα χαίρει, χώρει πρὸς ἐκείνας· τί γάρ; δάκρυσί τε καὶ θρήνοις νομίζεις κρατήσειν τῶν ἐχθρῶν; δεῖ γὰρ δὴ τὸν βουλόμενον εὐδαιμονεῖν, οὐ θρήνοις καὶ ὀλολυγαῖς, ἀλλ' εὐχαῖς μάλιστα τοὺς θεοὺς τιμᾶν.

**ΗΛ.** Ἀλλ' οὐδεὶς, ὦ φίλαι, ἐθέλει οὔτε τῶν ἐμῶν ἐπακούειν εὐχῶν, οὔθ' ὧν ποτὲ οὑμὸς πατὴρ ἔθυσεν αὐτοῖς, μνημονεύειν· ἀλλ' οἴμοι ἀμφοτέρων, τοῦτε πατρὸς ἀπολωλότος καὶ τοῦ φίλου Ὀρέστου, ὅπῃ δήποτε γῆς ἐκεῖνος πλανᾶται τρυχόμενος· δύστηνος ἐκεῖνος· ὃς πατρὸς ἀρίστου γενόμενος, ἑστίαν ἐξ ἑστίας νῦν, καθάπερ οἱ

190. Μεγάλη θεὸς] ἐπιεικὴς, οἰκτείρμων· ἐννοεῖ δὲ τὴν Τύχην, ἢ τὴν

Τοῦ κλεινοῦ πατρὸς ἐκφύς.
Αὐτὰ δ' ἐν χέρνησι δόμοις
Ναίω ψυχὰν τακομένα,
Δωμάτων πατρῴων φυγὰς,
Οὐρείας ναίουσ' ἐριπνάς.
Μάτηρ δ' ἐν λέκτροις φονίοις
Ἄλλῳ σύγγαμος οἰκεῖ.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΟΡΕΣΤΗΣ, ΗΛΕΚΤΡΑ, ΑΥΤΟΥΡΓΟΣ, ΧΟΡΟΣ, ΠΥΛΑΔΗΣ.

ΧΟ. Πολλῶν κακῶν Ἕλλησιν αἰτίαν ἔχει
Σῆς μητρὸς Ἑλένη σύγγονος, δόμοις τε σοῖς.
ΗΛ. Οἴμοι, γυναῖκες! ἐξέβην θρηνημάτων·
Ξένοι τινὲς παρ' οἶκον οἵδ' ἐφεστίους
Εὐνὰς ἔχοντες, ἐξανίστανται λόχου.
Φυγῇ, σὺ μὲν κατ' οἶμον, ἐς δόμους δ' ἐγὼ,
Φῶτας κακούργους ἐξαλύξωμεν ποδί.
ΟΡ. Μέν', ὦ τάλαινα· μὴ τρέσῃς ἐμὴν χέρα.
ΗΛ. Ὦ Φοῖβ' Ἄπολλον! προσπιτνῶ σε μὴ θανεῖν.
ΟΡ. Ἄλλους κτάνοιμι μᾶλλον ἐχθίους σέθεν.
ΗΛ. Ἄπελθε, μὴ ψαῦ', ὧν σὲ μὴ ψαύειν χρεών.
ΟΡ. Οὐκ ἔσθ', ὅτου θίγοιμ' ἂν ἐνδικώτερον.
ΗΛ. Καὶ πῶς ξιφήρης πρὸς δόμοις λοχᾷς ἐμοῖς;
ΟΡ. Μείνασ' ἄκουσον, καὶ τάχ' οὐκ ἄλλως ἐρεῖς.

θῆτες, παραμείβει· ἐγὼ δ' αὐτὴ παρ' αὐτουργοῖς καὶ ἀποχειροβιώτοις διαιτουμένη, τήκομαι δάκρυσι, φυγὰς τῶν πατρῴων ὑπὸ σκοπέλοις τούτοις· ἡ δὲ προώλης μήτηρ χαίρει, ἀνδρὶ συνοικοῦσα μιαιφόνῳ.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΟΡΕΣΤΗΣ, ΗΛΕΚΤΡΑ, ΑΥΤΟΥΡΓΟΣ, ΧΟΡΟΣ, ΠΥΛΑΔΗΣ

ΧΟ. Ὡς πολλῶν κακῶν τοῖςθ' Ἕλλησι πᾶσι καὶ τῷ σῷ οἴκῳ Ἑλένη, ἡ τῆς σῆς μητρὸς ἀδελφὴ γέγονεν αἰτία.

ΗΛ. Γυναῖκες, οἴμοι, ἀφεῖσα τοὺς θρήνους, εἰς φόβον ἐμπέπτωκα· ἢ οὐχ ὁρᾶθ' ὑμεῖς ξένους ἐκείνους πρὸς τῷ οἴκῳ, ἐξανισταμένους ὡς ἀπὸ ἐνέδρας; φεύγωμεν οὖν κακούργους ἐκείνους ὄντας, σὺ μὲν καθ' ὁδὸν ἐκεῖσε· ἐγὼ δὲ δεῦρο οἴκαδε καταδυσομένη.

ΟΡ. Μένε, ὦ δύστηνε, μηδὲν ἐμὲ φοβουμένη.

ΗΛ. Ἄπολλον! ἱκετεύω σε, μήμε δράσῃς τὶ κακόν.

ΟΡ. Ἕτεροι τοῦτο πάθοιεν ἄν, πολέμιοί σου ὄντες.

ΗΛ. Ἄπελθ', ἄνθρωπε, μὴ ψαῦε τῶν ἀψαύστων.

ΟΡ. Οὐκ ἔσθ', οὗ δικαιότερον ψαύσαιμ' ἄν, ἢ σοῦ.

ΗΛ. Τι δ' ἔνοπλος πρὸς τῇ ἐμῇ ἐνεδρεύεις οἰκίᾳ;

ΟΡ. Μείνασ' ἄκουσον, καὶ τάχ' οὐκ ἂν ἀντείποις ἔτι.

---

Ἥραν, ὡς πολιοῦχον τοῦ Ἄργους. 214. Ἐξέβην θρηνημάτων] ἐπελαθόμην τῶν θρήνων, ξένους ἰδοῦσα τούςδε· οἱ γὰρ ἀμφὶ Ὀρέστην, ἀκούσαντες, ἃ λέγει Ἠλέκτρα, καὶ γνόντες, ἥτις ἐστίν, ἀναστάντες προσίασι πρὸς αὐτήν. 224 Προς δόμοις λοχᾶς ἐμοῖς] ἐν ἄλλοις ἀντὶ τοῦ ἐμοῖς, ἐμὲ, κεῖται. 231. Μισθὸν] μισθὸν

ΔΗΜΟ ... ΚΗ ... ΕΙΟΣ ΔΗΜΟΤ...

ΗΛ. Ἕστηκα· πάντως δ' εἰμὶ σή· κρείσσων γὰρ εἶ.
ΟΡ. Ἥκω φέρων σοι σοῦ κασιγνήτου λόγους.
ΗΛ. Ὦ φίλτατ', ἆρα ζῶντος, ἢ τεθνηκότος;
ΟΡ. Ζῇ· πρῶτα γάρ σοι τἀγάθ' ἀγγέλλειν θέλω.
ΗΛ. Εὐδαιμονοίης, μισθὸν ἡδίστων λόγων.
ΟΡ. Κοινῇ δίδωμι τοῦτο νῷν ἀμφοῖν ἔχειν.
ΗΛ. Ποῦ γῆς ὁ τλήμων, τλήμονας φυγὰς ἔχων;
ΟΡ. Οὐχ ἕνα νομίζων, φθείρεται, πόλεως νόμον.
ΗΛ. Ἤ που σπανίζων τοῦ καθ' ἡμέραν βίου;
ΟΡ. Ἔχει μὲν, ἀσθενὴς δὲ δὴ φεύγων ἀνήρ.
ΗΛ. Λόγον δὲ δὴ τίν' ἦλθες ἐκ κείνου φέρων;
ΟΡ. Εἰ ζῇς, ὅπου τε ζῶσα, συμφορὰς ἔχεις.
ΗΛ. Οὐκοῦν ὁρᾷς μου πρῶτον ὡς ξηρὸν δέμας.
ΟΡ. Λύπαις γε συντετηκὸς, ὥστε με στένειν.
ΗΛ. Καὶ κρᾶτα, πλόκαμόν τ' ἐσκυθισμένον ξυρῷ.
ΟΡ. Δάκνει σ' ἀδελφὸς, ὅ,τε θανὼν ἴσως πατήρ;
ΗΛ. Οἴμοι! τί γάρ μοι τῶνδέ γ' ἐστὶ φίλτερον;
ΟΡ. Φεῦ φεῦ! τί δαὶ σὺ σῷ κασιγνήτῳ δοκεῖς;
ΗΛ. Ἀπὼν ἐκεῖνος, οὐ παρὼν ἡμῖν φίλος.
ΟΡ. Ἐκ τοῦδε ναίεις ἐνθάδ' ἄστεως ἑκάς;
ΗΛ. Ἐγημάμεσθ', ὦ ξεῖνε, θανάσιμον γάμον.
ΟΡ. Ὤμωξ' ἀδελφὸν σόν. Μυκηναίων τίνι;
ΗΛ. Οὐχ, ὡς πατήρ μ' ἤλπιζεν ἐκδώσειν ποτέ.
ΟΡ. Εἴφ', ὡς ἀκούσας, σῷ κασιγνήτῳ λέγω.
ΗΛ. Ἐν τοῖσδ' ἐκείνου τηλορὸς ναίω δόμοις.

---

ἔχων τοῦ λόγου τὴν εὐχὴν ταύτην. 240. Ἐσκυθισμένον] ἐξυρημένον ἐν χρῷ

ΗΛ. Καὶ μὴν κρείττων ὢν, ἤδη κεκράτηκάς μου.
ΟΡ. Οὐκοῦν παρὰ τοῦ σοῦ ἀδελφοῦ φέρω λόγους.
ΗΛ. ὦ φίλ' εἰπών· ἀλλ' ἆρα ζῶντος, ἢ τεθνεῶτος;
ΟΡ. Ζῶντός γε· πρῶτον γὰρ τοῦτο δεῖ σε ἀκοῦσαι.
ΗΛ. Εὐδαιμονοίης, μισθὸν λαβὼν τοῦτο τοῦ λόγου.
ΟΡ. Κοινὸν τοῦτ' ἐμοὶ καί σοι, ὦ γύναι, εἴη.
ΗΛ. Ποῖ γῆς ὁ τλήμων ἐκεῖνος φυγὰς ἀποπλανᾶται;
ΟΡ. Τήκεται ὅλως ἐκ νόμων ἀμείβων νόμους.
ΗΛ. Ἆρα σπανίζων τοῦ καθ' ἡμέραν βίου;
ΟΡ. Οὔμενουν τοῦτο, ἀλλ' ἀσθενὴς πᾶς ὁ φεύγων.
ΗΛ. Τίνα οὖν λόγον ἦλθες ἐκεῖθεν φέρων;
ΟΡ. Εἰ ζῇς πρῶτον, εἶτα ποῦ φέρεις τὰ παρόντα.
ΗΛ. Καὶ μὴν ὁρᾷς με ὅλως ἐῤῥικνωμένην.
ΟΡ. Οἵαν ἐκ λύπης οἰκτρῶς συντετηκέναι ὅλως.
ΗΛ. Ὁρᾷς καὶ τὴν κεφαλὴν σκυθικῶς ἐξυρημένην;
ΟΡ. Μανθάνω, ὁ ἀδελφὸς, καὶ ὁ πατὴρ θανὼν λυπεῖ σε.
ΗΛ. Τί γάρ ποτ' ἔμοιγε φίλτερον ἐκείνων ἦει;
ΟΡ. Φεῦ! σὺ δὲ τί φρονεῖς περὶ Ὀρέστου;
ΗΛ. Πόῤῥωθεν μὲν, ἀλλὰ φιλεῖ εὖ οἶδά με ἐκεῖνος.
ΟΡ. Τί δε ὧδε κατοικεῖς μακρὰν τοῦ Ἄργους;
ΗΛ. Δυστυχεῖ, ὦ ξένε, συναρμοσθεῖσα γάμῳ.
ΟΡ. Τίνα λαβοῦσα; οἰκτείρω γὰρ τὸν Ὀρέστην.
ΗΛ. Οὐχ οἵῳ ὁ πατὴρ ἐφρόνει με ἐκδώσειν.
ΟΡ. Λέγε τοῦτον, ἵν' ἔχοιμι σαφὲς εἰπεῖν ἐκείνῳ.
ΗΛ. Ὡς μακρὰν ἐκείνου συνοικῶ ἐν τῇδε τῇ οἰκίᾳ.

---

κατὰ τοὺς Σκύθας. 247. Τίνι;] ἐν ἄλλοις κεῖται τίνα, πρὸς τὸν γάμον ἀναφερό-

ΟΡ. Σκαφεύς τις ἢ βουφορβὸς ἄξιος δόμων.
ΗΛ. Πένης ἀνὴρ γενναῖος, ἔς τ' ἔμ' εὐσεβής.
ΟΡ. Ἡ δ' εὐσέβεια τίς πρόσεστι σῷ πόσει;
ΗΛ. Οὐ πώποτ' εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν.
ΟΡ. Ἅγνευμ' ἔχων τι θεῖον, ἤ σ' ἀπαξιῶν;
ΗΛ. Γονέας ὑβρίζειν τοὺς ἐμοὺς οὐκ ἠξίου.
ΟΡ. Καὶ πῶς γάμον τοιοῦτον οὐχ ἥσθη λαβών;
ΗΛ. Οὐ κύριον τὸν δόντα μ' ἡγεῖται, ξένε.
ΟΡ. Ξυνῆκ'. Ὀρέστῃ μή ποτ' ἐκτίσῃ δίκην.
ΗΛ. Τοῦτ' αὐτὸ ταρβῶν, πρὸς δὲ καὶ σώφρων ἔφυ.
ΟΡ. (Φεῦ!) γενναῖον ἄνδρ' ἔλεξας, εὖ τε δραστέον.
ΗΛ. Εἰ δή ποθ' ἥξει γ' ἐς δόμους ὁ νῦν ἀπών.
ΟΡ. Μήτηρ δέ σ' ἡ τεκοῦσα ταῦτ' ἠνέσχετο;
ΗΛ. Γυναῖκες ἀνδρῶν, ὦ ξέν', οὐ παίδων, φίλαι.
ΟΡ. Τίνος δέ σ' οὕνεχ' ὕβρισ' Αἴγισθος τάδε;
ΗΛ. Τεκεῖν μ' ἐβούλετ' ἀσθενῆ, τοιῷδε δούς.
ΟΡ. Ὡς δῆθε παῖδας μὴ τέκοις ποινάτορας;
ΗΛ. Τοιαῦτ' ἐβούλευσ', ὧν ἐμοὶ δοίη δίκην.
ΟΡ. Οἶδεν δέ σ' οὖσαν παρθένον μητρὸς πόσις;
ΗΛ. Οὐκ οἶδε· σιγῇ τοῦθ' ὑφαιρούμεσθά νιν.
ΟΡ. Αἵδ' οὖν φίλαι σοι τούσδ' ἀκούουσιν λόγους;
ΗΛ. Ὥστε στέγειν γε τἀμὰ καὶ σ' ἔπη καλῶς.
ΟΡ. Τί δῆτ' Ὀρέστης πρὸς τόδ' Ἄργος ἢν μόλῃ;
ΗΛ. Ἤρου τόδ'; αἰσχρόν γ' εἶπας· οὐ γὰρ νῦν ἀκμή;
ΟΡ. Ἐλθὼν δὲ δὴ, πῶς φονέας ἂν κτάνοι πατρός;

---

μενον. 274. Αἰσχρὸν] παράδοξον ἔδοξε τοῦτο τῇ Ἠλέκτρᾳ, τὸ μὴ ἐλθεῖν Ὀρέστην

ΟΡ. Σκαφεὺς, ἢ βουκόλος τίς ἐστιν, ὅσον ἐκ τῆς οἰκίας.

ΗΛ. Πένης μὲν, ἀλλ' εὐσεβὴς ἔμοιγε καὶ γενναῖος.

ΟΡ. Τίνα δ' εὐσέβειαν φὴς ἐνεῖναι τούτῳ;

ΗΛ. Οὔπω γὰρ ἠνέσχετο ὡς γυναικὸς ἅψεσθαί μου.

ΟΡ. Ἁγνεύειν θέλων, ἢ ἀνάξιον τοῦτο κρίνων.

ΗΛ. Ἵνα μὴ ἐξυβρίσῃ εἰς τοὺς ἐμοὺς γονέας.

ΟΡ. Καὶ πῶς οὐχ ἥσθη, τοιαύτην γυναῖκα γήμας;

ΗΛ. Οὐ γὰρ κύριον τὸν δόνθ' ἡγεῖται δήπου.

ΟΡ. Μανθάνω. Ὀρέστην ἔοικε δεδιέναι.

ΗΛ. Ἴσως καὶ τοῦτο, ἀλλὰ καὶ φύσει τυγχάνει σώφρων.

ΟΡ. Γενναῖος ἔσθ' ὡνὴρ, καὶ ἄξιος εὖ πάσχειν.

ΗΛ. Εἴποθ' ἥξει ὁ νῦν ἀποδημῶν Ὀρέστης.

ΟΡ. Πῶς δὲ φέρει ταῦθ' ἡ σὲ τεκοῦσα μήτηρ;

ΗΛ. Ἀνδρῶν, ὦ ξένε, αἱ μητέρες, οὐ τέκνων φίλαι.

ΟΡ. Αἴγισθος δὲ ἀνθ' ὧν οὕτως ἠτίμασέ σε;

ΗΛ. Ἵν' ἀσθενῆ ποτε τούτῳ τέκοιμι τέκνα.

ΟΡ. Ὅπως μὴ ἔχῃ δῆθεν τιμωροὺς ποτὲ τοῦ φόνου;

ΗΛ. Τοῦτό γε· ἀλλὰ μὴ ἐκφύγοι ποτὲ τὴν δίκην.

ΟΡ. Οἶδε δέ σε ἐκεῖνος παρθένον ἔτι οὖσαν;

ΗΛ. Οὔμενουν· ἀπεκρυπτόμην γὰρ σιγῇ ἐκεῖνον.

ΟΡ. Αἱ δὲ γυναῖκες αἵδε φίλαι σοι, ὥστ' ἀκούειν;

ΗΛ. Μάλιστα, ὥστε φυλάττειν τοὺς λόγους ἀποῤῥήτους.

ΟΡ. Τί σοι δοκεῖ, εἰ Ὀρέστης ἔλθοι δεῦρο;

ΗΛ. Τοῦτ' ἐρωτᾷς; εὔηθες γὰρ, τῆς ἀκμῆς τῶν καιρῶν βιαζομένης.

ΟΡ. Ἐλθὼν δὲ, πῶς ἂν ἐπεξέλθοι τῷ τοῦ πατρὸς θανάτῳ;

---

ἀπαιτοῦντος ἤδη τοῦ καιροῦ· τὸ δὲ αἰσχρὸν ἔξω ἀντὶ τοῦ εὔηθες ἢ ἀνάξιον.

ΗΛ. Τόλμῶν, ὑπ' ἐχθρῶν οἷ' ἐτολμήθη πατήρ.
ΟΡ. Ἦ καὶ μετ' αὐτοῦ μητέρ' ἂν τλαίης κτανεῖν;
ΗΛ. Ταὐτῷ γε πελέκει, τῷ πατὴρ ἀπώλετο.
ΟΡ. Λέγω τάδ' αὐτῷ, καὶ βέβαια τἀπὸ σοῦ;
ΗΛ. Θάνοιμι, μητρὸς αἷμ' ἐπισφάξασ' ἐμῆς.
ΟΡ. (Φεῦ·) εἴθ' ἦν' Ὀρέστης πλησίον κλύων τάδε!
ΗΛ. Ἀλλ' ὦ ξέν', οὐ γνοίην ἄν, εἰσιδοῦσά νιν.
ΟΡ. Νέα γάρ, οὐδὲν θαῦμ', ἀπεζεύχθης νέου.
ΗΛ. Εἷς ἂν μόνος νιν τῶν ἐμῶν γνοίη φίλων.
ΟΡ. Ἆρ' ὃν λέγουσιν αὐτὸν ἐκκλέψαι φόνου;
ΗΛ. Πατρός γε παιδαγωγὸς ἀρχαῖος γέρων.
ΟΡ. Ὁ κατθανὼν δὲ σὸς πατὴρ τύμβου κυρεῖ;
ΗΛ. Ἔκυρσεν, ὡς ἔκυρσεν, ἐκβληθεὶς δόμων.
ΟΡ. Οἴμοι, τόδ' οἷον εἶπας! αἴσθησις γὰρ οὖν
Κἀκ τῶν θυραίων πημάτων δάκνειν βροτούς.
Λέξον δ', ἵν' εἰδὼς, σῷ κασιγνήτῳ φέρω
Λόγους ἀτερπεῖς, ἀλλ' ἀναγκαίους κλύειν·
Ἔνεστι δ' οἶκτος, ἀμαθίᾳ μὲν οὐδαμοῦ,
Σοφοῖσι δ' ἀνδρῶν· καὶ γὰρ οὐδ' ἀζήμιον,
Γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφήν.
ΧΟ. Κἀγὼ τὸν αὐτὸν τῷδ' ἔρον ψυχῆς ἔχω·
Πρόσω γὰρ ἄστεως οὖσα, τἀν πόλει κακὰ
Οὐκ οἶδα, νῦν δὲ βούλομαι κἀγὼ μαθεῖν.

---

294 Σοφοῖσι δ' ἀνδρῶν] ἐν ἄλλοις δὲ κεῖται, σοφοῖσιν ἀνδρῶν· ἄμεινόν δ' ἐστι γράφειν,

» Ἔνεστι δ' οἶκτος, ἀμαθίᾳ μὲν οὐδαμοῦ,
» Σοφοῖσι δ' ἀνδρῶν· οὐ γὰρ οὐδ' ἀζήμιον
» Γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφήν.

ΗΛ. Τολμῶν, οἷα οἱ ἐχθροὶ ἐποίησαν ἐκεῖνον.

ΟΡ. Τί δέ; σὺ τλαίης ἂν συγκατακτανεῖν καὶ τὴν μητέρα·

ΗΛ. Τῷ αὐτῷ ἂν πελέκει, ᾧ ἀνεῖλε τὸν πατέρα.

ΟΡ. Ἀπαγγείλω ταῦθ' ὡς βέβαια ἐκείνῳ;

ΗΛ. Καὶ αὐτὸ τὸ ζῆν τῷ ἐκείνης ἀλλαξαίμην θανάτῳ.

ΟΡ. Φεῦ! ποῦ ἂν εἴη Ὀρέστης νῦν ἀκοῦσαι ταῦτα.

ΗΛ. Ἐγὼ δ' οὖν καὶ ἰδοῦσ' ἐκεῖνον, οὐκ ἂν γνοίην.

ΟΡ. Οὐδὲν θαυμαστόν· νέοι γὰρ διέστητ' ἀπ' ἀλλήλων·

ΗΛ. Εἷς δὲ μόνος αὐτὸν τῶν ἐμῶν φίλων γνοίη.

ΟΡ. Τὸν ἐξηρπακότα φὴς αὐτὸν ἐκ τοῦ κινδύνου;

ΗΛ· Τὸν γέρονθ', ὃς ἦν τοῦ πατρὸς τροφὸς ἀρχαῖος.

ΟΡ. Ὁ δ' Ἀγαμέμνων ἀποθανὼν, ἔτυχε ταφῆς ἀξίας;

ΗΛ. Ἔτυχεν, ὡς ἔτυχεν, ἐκβληθεὶς τῆς οἰκίας.

ΟΡ. Οἴμοι! καὶ τἀλλότρια γὰρ τοὺς αἰσθανομένους δάκνει. λέγε δὲ, ἵν' εἰδὼς ἀγγείλω τῷ σῷ ἀδελφῷ, καίτοι λυπηρὰ, ἀλλ' ἐκείνῳ πάνυ ἀναγκαῖα μαθεῖν· οἶκτος γὰρ ἐνυπάρχει οὔμενον τοῖς ἀμαθέσι, τοῖς δὲ φρονίμοις καὶ φιλανθρώποις· τὸ γὰρ λίαν ἀνένδοτον καὶ ἀσυμπαθὲς πρὸς τὰ συμβαίνοντα οὐκ ἂν εἴη ἀζήμιον τοῖς ὑπερσόφοις ταῦτα.

ΧΟ. Ταὐτὰ κἀμοὶ ἡδύ ἐστιν ἀκούειν· βουλοίμην γὰρ εἰδέναι τὰ ἐν Ἄργει κἀγὼ, ὡς πόρρω κατοικοῦσα.

---

Αἰνίττεται δὲ τὴν τῶν Στωϊκῶν ἀπάθειαν, ἥτις ἦν μηδέποτ' ἐπὶ ταῖς τύχαις ἀλγεῖν· ὃ σκληρὸν ὂν, καὶ τῆς φύσεως ἀλλότριον, οὐκ ἔστιν ἀζήμιον· καλὸν μὲν φιλοσοφεῖν ἐν ταῖς δυςυχίαις, μετριάζοντας τὰ πάθη· οὐ μὴν δ' ἐξαλείφειν πειρᾶσθαι, ὑπεριπταμένους τοὺς ὅρους τῆς φύσεως, καὶ τἀσύγκλωστα κλώθοντας.

ΗΛ. Λέγοιμ' ἄν, εἰ χρή· χρὴ δὲ πρὸς φίλον λέγειν
Τύχας βορείας τὰς ἐμὰς κἀμοῦ πατρός.
Ἐπεὶ δὲ κινεῖς μῦθον ἱκετεύω, ξένε,
Ἄγγελλ' Ὀρέστῃ τἀμὰ καὶ κείνου κακὰ,
Πρῶτον μὲν οἵοις ἐν πέπλοις αὐλίζομαι,
Πίνῳ θ' ὅσῳ βέβριθ', ὑπὸ στέγαισί τε
Οἵαισι ναίω βασιλικῶν ἐκ δωμάτων,
Αὐτὴ μὲν ἐκμοχθοῦσα κερκίσιν πέπλους,
Ἢ γυμνὸν ἕξω σῶμα, καὶ στερήσομαι,
Αὐτὴ δὲ πηγὰς ποταμίους φορουμένη,
Ἀνέορτος ἱερῶν, καὶ χορῶν τητωμένη,
Ἀναίνομαι γυναῖκας, οὖσα παρθένος,
Ἀναίνομαι δὲ Κάστορ', ᾧ, πρὶν ἐς θεοὺς
Ἐλθεῖν, ἔμ' ἐμνήστευον, οὖσαν ἐγγενῆ.
Μήτηρ δ' ἐμὴ Φρυγίοισιν ἐν σκυλεύμασιν
Θρόνῳ κάθηται, πρὸς δ' ἕδρας Ἀσιήτιδες
Δμωαὶ στατίζουσ'. ἃς ἔπερσ' ἐμὸς πατὴρ,
Ἰδαῖα φάρη χρυσέαις ἐζευγμέναι
Πόρπαισιν· αἷμα δ' ἔτι πατρὸς κατὰ στέγας
Μέλαν σέσηπεν· ὃς δ' ἐκεῖνον ἔκτανεν,
Ἐς ταὐτὰ βαίνων ἅρματ' ἐκφοιτᾷ πατρὶ,
Καὶ σκῆπτρ', ἐν οἷς Ἕλλησιν ἐστρατηλάτει,
Μιαιφόνοισι χερσὶ γαυροῦται λαβών.
Ἀγαμέμνονος δὲ τύμβος ἠτιμασμένος,
Οὐ πώποτε χοὰς, οὐδὲ κλῶνα μυρσίνης
Ἔλαβε, πυρὰ δὲ χέρσος ἀγλαϊσμάτων.
Μέθῃ δὲ βρεχθεὶς τῆς ἐμῆς μητρὸς πόσις
Ὁ κλεινὸς, ὡς λέγουσιν, ἐνθρώσκει τάφῳ.
Πέτροις τε λεύει μνῆμα λάϊνον πατρὸς,

ΗΛ. Οὐκοῦν σύντεινόν μοι τὸ οὖς· τί γὰρ ἂν τὰς ἐμαυτῆς καὶ τοῦ πατρὸς δυστυχίας ἀποκρυψαίμην φίλον; ἀλλὰ συγ', ὡς ἐρεῖς ταῦτ' Ὀρέστῃ· πρῶτον ἐν οἵοις μὲν ἱματίοις διανυκτερεύω βεβριθόσι τῷ ῥύπῳ· ὑφ' οἵαις δὲ ςέγαις κατοικῶ, ἡ ποτὲ μὲν ἐν βασιλείοις ἀνατεθραμμένη, νῦν δ' ἱστουργοῦσα τὰ πρὸς σκέπην τοῦ σώματος, καὶ ὑδρευομένη, μήθ' ἑορτὰς, μήτε χοροὺς ὁρῶσα· καίτοι γὰρ παρθένος οὖσα, ἀλλ' ἀποστρέφομαι τὰς γυναῖκας· οὐδὲ πρὸς Κάστορ' αὐτὸν ἡδέως ἔχω, ᾧ, πρὶν εἰς θεοὺς ἐλθεῖν, ἐμνήστευόν με, ὡς οὖσαν συγγενῆ· ἡ δὲ μήτηρ ἡ ἐμὴ, Φρυγίοις εὐτυχοῦσα λαφύροις, κάθηται ἐπὶ θρόνου προσπόλοις Ἀσιάτισι περιεστοιχισμένη, ἃς οὐμὸς πατὴρ ἧκεν ἐκ Τροίας ἄγων, ἐσθῆτι Τρωϊκῇ διαχρύσῳ ἐμπεπορπημέναις· τὸ δὲ πατρῷον αἷμα ἀπόζει ἔτι οἴκοι· ὁ δὲ ἀποκτείνας, τοῖς ἐκείνου χρώμενος ἅρμασιν, ἔξεισι σοβῶν ὡς μέγας, καὶ ἃ ἐκεῖνος ἔφερε σκῆπτρα στρατηγῶν τῶν Ἑλλήνων, ταῦθ' οὗτος νῦν ἐν χερσὶ λαβὼν μιαιφόνοις, γαυροῦται ὅλως, μονονουχὶ τὸν οὐρανὸν τῇ κορυφῇ ἀράσσων· ὁ δ' Ἀγαμέμνονος τάφος κεῖται ἄτιμος ὅλως, οὐ χοὰς, οὔτε μὴν κλῶνα πώποτε μυρσίνης δεξάμενος· καὶ ἡ πυρὰ ἀγλαϊσμάτων τὸ σύνολον ἄμοιρος. Αἴγισθος δ', ὡς λέγεται, οἴνῳ βεβρεγμένος, προσιὼν τῷ τάφῳ, ἐξύβρισε, λίθοις βαλὼν ἐκεῖ-

311. Αναίνομαι] ἐς τοσοῦτον ἥκω δυστυχίας, ὥστε καὶ ἅμοι ποτὲ ἦν ζηλωτὰ καὶ περισπούδαστα, οἷον χοροί τε γυναικῶν, καὶ γάμοι εὐδαίμονες, ταῦτα νῦν οὐ τοιαῦτα, οὔτε ζηλωτά μοι εἰσίν, οὔτε ἐν ἐλπίδι.

Καὶ τοῦτο τολμᾷ τοὔπος εἰς ἡμᾶς λέγειν·
Ποῦ παῖς Ὀρέστης; ἆρά σοι τύμβῳ καλῶς
Παρὼν ἀμύνει; ταῦτ' ἀπὼν ὑβρίζεται.
Ἀλλ', ὦ ξέν', ἱκετεύω σ', ἀπάγγειλον τάδε.
Πολλοὶ δ' ἐπιστέλλουσιν, ἑρμηνεὺς δ' ἐγὼ,
Αἱ χεῖρες, ἡ γλῶσσ', ἡ ταλαίπωρός τε φρὴν,
Κάρα τ' ἐμὸν ξυρῆκες, ὅ,τ' ἐκείνου τεκών.
Αἰσχρὸν γὰρ, εἰ πατὴρ μὲν ἐξεῖλεν Φρύγας,
Ὁ δ' ἄνδρ' ἕν', εἷς ὢν, οὐ δυνήσεται κτανεῖν,
Νέος πεφυκὼς, κἀξ ἀμείνονος πατρός.
ΧΟ. Καὶ μὴν δέδορκα τόνδε, σὸν λέγω πόσιν,
Λήξαντα μόχθου πρὸς δόμους ὡρμημένον.
ΑΥ. Ἔα· τίνας τούσδ' ἐν πύλαις ὁρῶ ξένους;
Τίνος δ' ἕκατι τάσδ' ἐπ' ἀγραύλους πύλας
Προσῆλθον; ἢ μου δεόμενοι; γυναικί τοι
Αἰσχρὸν μετ' ἀνδρῶν ἑστάναι νεανιῶν·
ΗΛ. Ὦ φίλτατ', εἰς ὕποπτα μὴ μόλῃς ἐμοί.
Τὸν ὄντα δ' εἴσῃ μῦθον. οἵδε γὰρ ξένοι
Ἥκουσ' Ὀρέστου πρός με κήρυκες λόγων.
Ἀλλ', ὦ ξένοι, σύγγνωτε τοῖς εἰρημένοις.
ΑΥ. Τί φασιν; ὡνὴρ ἔστι καὶ λεύσσει φάος;
ΗΛ. Ἔστιν λόγῳ γοῦν· φασὶ δ' οὐκ ἄπιστ' ἐμοί.
ΑΥ. Ἦ καί τι πατρὸς σῶν τε μέμνηται κακῶν;
ΗΛ. Ἐν ἐλπίσιν ταῦτ'· ἀσθενὴς φεύγων ἀνήρ.
ΑΥ. Ἦλθον δ' Ὀρέστου τίν' ἀγορεύοντες λόγον;
ΗΛ. Σκοποὺς ἔπεμψε τούσδε τῶν ἐμῶν κακῶν.
ΑΥ. Οὐκοῦν τὰ μὲν λεύσσουσι, τὰ δὲ σύ που λέγεις.
ΗΛ. Ἴσασιν, οὐδὲν τῶνδ' ἔχουσιν ἐνδεές.

νον, κἀκεῖν' ἅμα ἐφ' ἡμᾶς ἐκτοξεύσας· ποῦ νῦν Ὀρέστης; ποῦ σοι παρὼν ἀμυνεῖ πρὸς τῷ τάφῳ; τοιαῦτ' ἐκεῖνος εἰς ἐκεῖνον ἀπόντα, ἐξυβρίζει· διὸ ἀπάγγειλόν μοι ἐκείνῳ ταῦτ', ὦ ξένε· πολλοὶ δὲ ταῦτ' ἐπισκήπτουσιν, ὧν ἐγὼ τὴν ἑρμηνείαν ποιοῦμαι, αἱ χεῖρες αὗται, οἱ πόδες οὗτοι, ἡ γλῶσσα, ἡ τάλαινα ἔνδοθεν καρδία, ἡ κεκαρμένη ἤδη ταλαίπωρος αὕτη γε κεφαλὴ, κᾀυτὸς ὁ ἀποθανὼν πατήρ· αἰσχρὸν γὰρ, ἐκείνου συνεξελόντος Φρύγας, αὐτὸν μὴ τολμῆσαι ἕνα διαχρήσασθαι ἄνδρα, ἀκμαῖος ἤδη, καὶ ἐξ ἀρίστου πατρὸς γεγονώς.

ΧΟ. Καὶ μὴν ὁρῶ τὸν σὸν ἄνδρ' ἥκοντα ἤδη οἴκαδε ἀπὸ τῶν πόνων ἀναπαυσόμενον.

ΑΥ. Ἔα, τί ταῦθ' ὁρῶ; ξένους τούτους ἐν πύλαις ἀγραύλαις προσφοιτῶντας; τί ποτε βουλόμενοι ἥκουσιν, εἰ μή τι δέονταί μου; σοὶ δ' αὖ γυναικὶ οὔσῃ αἰσχρὸν ἐν ἀνδράσιν ἀναστρέφεσθαι νέοις.

ΗΛ. Ὦ φίλτατε, ὑπόνοιαν παρ' ἐμοῦ ἀπώθου πᾶσαν, μαθὼν τἀληθές· παρ' Ὀρέστου γὰρ ἥκουσιν οἵδε, λόγους μοι κομίσαντες ἐκεῖθεν· ἀλλ' ὑμεῖς γ', ὦ ξένοι, σύγγνωτε τὰ εἰρημένα τούτῳ.

ΑΥ. Τί οὖν φασι; περίεστιν ὡνὴρ ἐκεῖνος;

ΗΛ. Ζῇ γ', ὥς φασι· κοὐκ ἄπιστόν ἐστι τοῦτ' ἔμοιγε.

ΑΥ. Ἆρα μέμνηται τῶν σῶν καὶ τοῦ πατρὸς κακῶν;

ΗΛ. Ἐν ἐλπίσι ταῦτ' ἐστί· πλὴν πᾶς φυγὰς ἀσθενής.

ΑΥ. Τί οὖν ἥκουσιν φέροντες νέον παρ' ἐκείνου;

ΗΛ. Ἦλθον τὰς ἐμὰς ἀνιστορήσοντες δυστυχίας.

ΑΥ. Καὶ μὴν τὰ μὲν πάρεσθ' ὁρᾷν· τὰ δὲ ἐρεῖς καὶ αὐτή.

ΗΛ. Εἴρηται κοὐκέτι δέονται ἑτέρου, διδαχθέντες.

ΑΓ. Οὐκοῦν πάλαι χρῆν τοῖσδ᾽ ἀνεπτύχθαι πύλας.
Χωρεῖτ᾽ ἐς οἴκους· ἀντὶ γὰρ χρηστῶν λόγων
Ξενίων κυρήσεθ᾽, οἷ᾽ ἐμὸς κεύθει δόμος.
Αἴρεσθ᾽, ὀπαδοὶ, τῶνδ᾽ ἔσω τεύχη δόμων·
Καὶ μηδὲν ἀντείπητε, παρὰ φίλου φίλοι
Μολόντες ἀνδρός· καὶ γὰρ εἰ πένης ἔφυν,
Οὔ τοι τό γ᾽ ἦθος δυσγενὲς παρέξομαι.
ΟΡ. Πρὸς θεῶν, ὅδ᾽ ὡνὴρ, ὃς συνεκλέπτει γάμους
Τοὺς σοὺς, Ὀρέστην οὐ καταισχύνειν θέλων;
ΗΛ. Οὗτος κέκληται πόσις ἐμὸς τῆς ἀθλίας.
ΟΡ. (Φεῦ.) οὐκ ἔστ᾽ ἀκριβὲς οὐδὲν εἰς εὐανδρίαν·
Ἔχουσι γὰρ ταραγμὸν αἱ φύσεις βροτῶν.
Ἤδη γὰρ εἶδον ἄνδρα γενναίου πατρὸς
Τὸ μηδὲν ὄντα, χρηστά τ᾽ ἐκ κακῶν τέκνα,
Λιμόν τ᾽ ἐν ἀνδρὸς πλουσίου φρονήματι,
Γνώμην τε μεγάλην ἐν πένητι σώματι.
Πῶς οὖν τις αὐτὰ διαλαβὼν ὀρθῶς κρινεῖ;
Πλούτῳ; πονηρῷ γ᾽ ἆρα χρήσεται κριτῇ.
Ἢ τοῖς ἔχουσι μηδέν; ἀλλ᾽ ἔχει νόσον
Πενία, διδάσκει δ᾽ ἄνδρα τῇ χρείᾳ κακόν.
Ἀλλ᾽ εἰς ὅπλ᾽ ἔλθω; τίς δὲ πρὸς λόγχην βλέπων
Μάρτυς γένοιτ᾽ ἂν, ὅστις ἐστὶν ἀγαθός;
Κράτιστον εἰκῆ ταῦτ᾽ ἐᾶν ἀφειμένα.

363. Συνεκλέπτει γάμους] συγκαλύπτει καὶ σώζει τὴν σὴν παρθενίαν ἐν τῷ γάμῳ. ἀναφέρεται δὲ ταῦτα ἀνωτέρω. στίχ. 252. καὶ ἑξῆς. Τὸ δὲ, πρὸς θεῶν] εἷς ποὺς τὸ σύνολον εἰλήφθω κατὰ συνίζησιν. 366. Εἰς εὐανδρίαν] μέμφεται τοὺς ἀποδιδόντας

ΑΥ. Τί οὖν οὐκ ἠνέῳξας αὐτοῖς τὰς θύρας; χωρεῖθ' ὑμεῖς, εἰσέλθετε εἰς τὴν οἰκίαν ἔνδον, τὰ τῶν χρηστῶν λόγων ληψόμενοι κόμιστρα, οἷα δὴ πένης οἶκος, οἷός τ' ἂν εἴη προσενεγκεῖν· ἡμεῖς δ' οἱ ὀπαδοὶ εἰσκομίσατε τὰ τούτων σκεύη εἴσω· ἀξιῶ δὲ μηδὲν ἀντιπεῖν πρὸς ταῦτα, ἅτε δὴ φίλοι παρὰ φίλου ἐληλυθότες· καὶ γὰρ πένης μέν εἰμι· ἀλλὰ τόγ' ἦθος εὐγενὴς βούλομαι εἶναι.

ΟΡ. Πρὸς θεῶν οὗτος ἐςὶν ὁ σὸς ἀνὴρ, ὃς τοὺς σοὺς συγκρύπτει γάμους, Ὀρέστην τιμῶν;

ΚΛ. Αὐτὸς οὗτος εἰς γαμον ἄγαμον ἠγάγετό με.

ΟΡ. Φεῦ! οὐκ ἔστ' εὑρεῖν οὐδὲν πάγιον προς εὐγένειαν ἀνθρώπος, ἄλλοτ' ἄλλως αὐτοῖς μεταβαλλομένων τῶν προαιρέσεων· ἴδοις γὰρ ἂν ἐν αὐτοῖς τὸν μὲν, πατρὸς ἀγαθοῦ ὄντος, κακὸν γεγονότα· τὸν δὲ ἐκ κακοῦ, χρηστὸν ἀποβάντα· καὶ τὸν μεν πλουτοῦντα ἐκ τύχης, λιμώττοντα προαιρέσει. τὸν δ' ἐν πενίᾳ πολλάκις, μεγαλόδωρον γνώμῃ· πῶς ἄντις ὀρθῶς κρίνοι ταῦτα; ἐκ τοῦ πλούτου; ἀλλὰ σφαλερὸς κριτὴς ἐστὶν οὗτος· τι δέ; ἐκ τῆς πενίας; ἀλλὰ και αὕτη ἔχει οὐ μικράν τινα νόσον, ἀναγκάζουσα τῇ χρείᾳ τοὺς αὐτῇ χρωμένους κακοὺς γενέσθαι· ἀλλ' οὐδ' ἐκ τῶν ὅπλων αὖ διακρίνοιμ' ἂν ταῦτα· τίς γὰρ τῶν ἐν καταλόγοις διατρεπόντων ςρατιωτικοῖς ἐκ τοῦ δόρατος γνωρίζοιτ' ἂν ἀνὴρ ἀγαθὸς εἶναι; Ἐῶμεν οὖν ταυθ' ὡς ἔτυχε φέρεσθαι· αὐτίκα γὰρ ὁ

---

ἀρετὴν εἰς τὴν εὐγένειαν καὶ ἀνδρίαν· τὸ γὰρ χρηστὸν ἦθος ἔνεστι καὶ τοῖς μὴ τοιούτοις. 373. Πονηρῷ κριτῇ] ὁ μὲν πλοῦτος ἐκφέρει τὸν κεκτημένον εἰς ἀτόπους ἡδονάς· ἡ δὲ πενία ἀναγκάζει εἰς ἁρπαγάς· ἔστιν ἄρα το μέσον ἡ αὐτάρκεια ἡ μήτηρ τῶν καλῶν. μέτιθι δὲ τὸν τρίτον μοι τῶν περὶ εὐδαιμονίας λόγων περὶ Αὐταρκίας· ἐν τῷ Σοφιστῇ.

Οὗτος γὰρ ὠνὴρ οὔτ' ἐν Ἀργείοις μέγας,
Οὔτ' αὖ δοκήσει δωμάτων ὠγκωμένος,
Ἐν τοῖς τε πολλοῖς ὤν, ἄριστος εὑρέθη.
Οὐ μὴ φρονήσεθ', οἳ κενῶν δοξασμάτων
Πλήρεις πλανᾶσθε, τῇ δ' ὁμιλίᾳ βροτοὺς
Κρινεῖτε, καὶ τοῖς ἤθεσιν τοὺς εὐγενεῖς;
Οἱ γὰρ τοιοῦτοι τὰς πόλεις οἰκοῦσιν εὖ
Καὶ δώμαθ', αἱ δὲ σάρκες αἱ κεναὶ φρενῶν
Ἀγάλματ' ἀγορᾶς εἰσίν· οὐδὲ γὰρ δόρυ
Μᾶλλον βραχίων σθεναρὸς ἀσθενοῦς μένει·
Ἐν τῇ φύσει δὲ τοῦτο κἀν εὐψυχίᾳ.
Ἀλλ', ἄξιος γὰρ ὅ,τε παρὼν ὅ,τ' οὐ παρὼν
Ἀγαμέμνονος παῖς, οὗπερ οὕνεχ' ἥκομεν,
Δεξώμεθ' οἴκων καταλύσεις· χωρεῖν χρεὼν,
Δμῶες δόμων τῶνδ' ἐντός· ὡς ἐμοὶ πένης
Εἴη πρόθυμος πλουσίου μᾶλλον ξένος!
Αἰνῶ μὲν οὖν τοῦδ' ἀνδρὸς ἐσδοχὰς δόμων·
Ἐβουλόμην δ' ἂν, εἰ κασίγνητός με σὸς
Ἐς εὐτυχοῦντας ἦγεν εὐτυχῶν δόμους.
Ἴσως δ' ἂν ἔλθοι· Λοξίου γὰρ ἔμπεδοι
Χρησμοὶ, βροτῶν δὲ μαντικὴν χαίρειν ἐῶ.

ΧΟ. Νῦν, ἢ πάροιθεν, μᾶλλον, Ἠλέκτρα, χαρᾷ
Θερμαινόμεσθα καρδίαν· ἴσως γὰρ ἂν
Μόλις προβαίνουσ' ἡ τύχη σταίη καλῶς.

ΗΛ. Ὦ τλῆμον εἰδὼς δωμάτων χρείαν σέθεν,
Τί τούσδ' ἐδέξω μείζονας σαυτοῦ ξένους;

ἀνὴρ οὗτος, οὐδ' ἐν Ἀργείοις ἐπίσημος, οὔτ' ἐν ὑψηρόφοις οἰκίαις, ἀλλ' ἐν ὄχλῳ ἀγροίκῳ ἄριστος ἀνευρέθη. Οὔκουν ποῦ νῦν εἰσιν οἱ μέγα φρονοῦντες, καὶ κενῇ δόξῃ πεφυσιωμένοι; ποῖ ποτ', ὦ ἄνδρες, σοβεῖτε πλανώμενοι μάτην; τὸ γὰρ εὐγενὲς ἐν τῷ ἤθει, κἂν τῷ πρὸς ἀλλήλους κεῖται κοινωνικῷ· τὸ δ' εὔσαρκον, εἰ μὴ καὶ φρένας σχοίη, μόνῃ τῇ ἀγορᾷ ἐμπρέπει· οὐδὲ γὰρ ἐν μάχαις ὁ στιβαρὸς βραχίων μᾶλλον τοῦ ἀσθενοῦς διακαρτερεῖ· εἴγε ψυχῆς καὶ φύσεως, οὐ σαρκὸς τὸ ἀνδρεῖον· ἀλλ' ἡμεῖςγε εἰσίωμεν· ὁ γὰρ παῖς Ἀγαμέμνονος, ὑπὲρ οὗ τυγχάνομεν δεῦρ' ἀφιγμένοι, εἴτε παρὼν, εἴτ' ἀπὼν, ἄξιός ἐστι τιμᾶσθαι· Ἕπεσθέ μοι, ὀπαδοὶ, συνεισιόντες· ξένος γὰρ πρόθυμος, κἂν πένης ᾖ, πλουσίου ἔμοιγε προτιμότερος· ἐπαινῶ μὲν οὖν τὸν ἄνδρα τόνδε, φιλόξενον ὄντα· ἥδιστον δ' ἦν μοι, εἰ ὁ σὸς ἀδελφὸς, εὐτυχὴς ὢν, ἦγέ με εἰς ἀνάκτορα εὐτυχῆ· ἀλλ' ἔχ' ἀτρέμας, ἐλπίζουσα ἥξειν οὐκ ἐς μακρὰν ἐκεῖνον· τοὺς γὰρ ἐκ μαντικῆς τῶν βροτῶν ἐῶν λόγους, τοῖς τοῦ Λοξίου μόνου χρησμοῖς πιστεύω.

ΧΟ. Νῦν ἄρ', ὦ Ἠλέκτρα, μᾶλλον ἢ τὸ πρόσθεν ἡμᾶς τὸ πρᾶγμ' ὑποθάλπει ταῖς ἐλπίσι· δυνατὸν γὰρ τὴν τύχην, δύσκολον ἡμῖν μέχρι τούτου προβᾶσαν, νῦν μεταβαλεῖν εἰς τὸ κρεῖττον.

ΗΛ. Ὦ τλῆμον, τί δήποτε μεῖζον τοῦθ' οὕτως, ἢ κατὰ σεαυτὸν ἔπραξας, εἰσδεξάμενος τούτους τοιούτους, πένης αὐτὸς ὤν;

ΗΩ. Τί δ'; εἴπερ εἰσὶν, ὡς δοκοῦσιν, εὐγενεῖς,
Οὐκ ἔν τε μικροῖς ἔν τε μὴ στέρξουσ' ὅμως;
ΗΛ. Ἐπεί νυν ἐξήμαρτες ἐν σμικροῖσιν ὤν,
Ἔλθ' ὡς παλαιὸν τροφὸν ἐμοῦ φίλου πατρός.
Ὃς ἀμφὶ ποταμὸν Τανάον Ἀργείας ὅρους
Τέμνοντα γαίας Σπαρτιάτιδός τε γῆς
Ποίμναις ὁμαρτεῖ, πόλεος ἐκβεβλημένος.
Κέλευε δ' αὐτὸν, εἰς δόμους ἀφιγμένον,
Ἐλθεῖν, ξένων τ' ἐς δαῖτα πορσῦναί τινά.
Ἡσθήσεταί τοι καὶ προσεύξεται θεοῖς,
Ζῶντ' εἰσακούσας παῖδ', ὃν ἐκσώζει ποτέ.
Οὐ γὰρ πατρῴων ἐκ δόμων μητρὸς πάρα
Λάβοιμεν ἄν τι· πικρὰ δ' ἀγγείλαιμεν ἄν,
Εἰ ζῶντ' Ὀρέστην ἡ τάλαιν' αἴσθοιτ' ἔτι.
ΑΥ. Ἀλλ' εἰ δοκεῖ σοι, τούσδ' ἀπαγγελῶ λόγους
Γέροντι· χώρει δ' ἐς δόμους ὅσον τάχος,
Καὶ τἄνδον ἐξάρτυε· πολλά τοι γυνὴ
Χρήζουσ' ἂν εὕροι δαιτὶ προσφορήματα.
Ἔστιν δὲ δὴ τοσαῦτα τἀν δόμοις ἔτι,
Ὥσθ' ἕν γ' ἐπ' ἦμαρ τούσδε πληρῶσαι βορᾶς.
Ἐν τοῖς τοιούτοις δ' ἡνίκ' ἂν γνώμη πέσῃ,
Σκοπῶ τὰ χρήμαθ', ὡς ἔχει μέγα σθένος,
Φίλοις τε δοῦναι, σῶμά τ' ἐν νόσον πεσὸν
Δαπάναισι σῶσαι· τῆς δ' ἐφ' ἡμέραν βορᾶς
Ἐς μικρὸν ἥκει· πᾶς γὰρ ἐμπλησθεὶς ἀνὴρ
Ὁ πλούσιός τε χὠ πένης, ἴσον φέρει.
ΧΟ. Κλειναὶ νᾶες, αἵ ποτ' ἔμβατε Τροίαν (Στρ. α'.)
Τοῖς ἀμετρήτοις ἐρετμοῖς,

ΑΥ. Τί δαί; εἴπερ εἰσὶν εὐγενεῖς, ὡς δοκοῦσιν, οὐχὶ ἀγαπήσουσι τοῖς παροῦσι, κἂν εὐτελῆ, κἂν πολυτελῆ ὦσι ταῦτα;

ΗΛ. Ἀλλ' εἴπερ σοι ἐξημάρτηται τοῦτο, ἴθι σπουδῇ παρὰ τὸν ἀρχαῖον τοῦ ἐμοῦ πατρὸς τροφὸν, φυγάδα μὲν ὄντα καὶ αὐτὸν, νέμοντα δὲ τὰ ποίμνια παρὰ τὸν Ταναὸν, ὃς ἀπείργει τῆς Σπάρτης τὴν Ἀργείων· κέλευε δ' αὐτὸν ἐλθεῖν ὡς ἡμᾶς κομίζων ὁ,τιδήποτε τοῖς ξένοις εἰς βρῶσιν· ἀκούσας γὰρ, ὅνποτε ἐξέσωσεν Ὀρέστην περιόνθ', ἡσθήσεται καὶ προσεύξεταί γ' εὖ οἶδα τοῖς θεοῖς· παρὰ γὰρ τῆς μητρὸς οἴκοθεν οὐκ ἂν λάβοιμέν τι· πικρῶς δὲ διατεθήσεται, εἰ μάθοι Ὀρέστην περιόντα.

ΑΥ. Ἐρῶ ταῦτ' αὐτίκα μάλα τῷ γέροντι ἐκείνῳ, ἐπεὶ οὕτως ἔδοξέ σοι· σὺ δ' εἰσιοῦσα παρασκεύαζε τἄνδον σπουδῇ· πολλὰ γὰρ ἂν εὕροι γυνὴ εἰς βρῶσιν· καὶ γὰρ οὐδὲ σπάνις ἡμῖν τοσαύτη, ὥςε μηδεμίαν γ' ἡμέραν τούτοις ἐπαρκέσαι· εἰ γὰρ σκοποῖμεν ὀρθῶς χρημάτων πέρι, πρὸς μὲν τὸ δοῦναι ξένοις, καὶ τὸ σῶμα θεραπεύειν ἐν νόσοις, μέγα δύνανται ταῦτα πάντως· πρὸς δὲ τὸν καθ' ἡμέραν βίον οὐ πάνυ τοί ἐστιν ἄξια λόγου· πᾶς γὰρ ἀνὴρ κορεσθεὶς, κἂν πένης ᾖ, εἰς ταὐτὸν ἥκει τῷ πλουσίῳ.

ΧΟ. Ὦ χιλιόναυς στόλος, ὁ ἀναριθμήτοις ἐρετμοῖς, οἷον ἐν

---

405. Εἴπερ εἰσὶν εὐγενεῖς] οἱ γὰρ τοιοῦτοι, ὡς ἀρετῆς μέτοχοι μικρὰν, τῆς γαστρὸς πρὸς ἡδονὴν φροντίδα ποιήσονται.

Πέμπουσαι χοροὺς μετὰ Νηρήδων,
Ἵν' ὁ φίλαυλος ἔπαλλε δελ-
Φὶς πρώραις κυανεμβόλοι-
Σιν εἱλισσόμενος,
Πορεύων τὸν τᾶς Θέτιδος
Κοῦφον ἅλμα ποδῶν Ἀχιλῆ
Σὺν Ἀγαμέμνονι Τρωϊκὰς
Ἐπὶ Σιμουντίδας ἀκτάς.
Νηρῆδες δ' Εὐβοΐδας ἀκτὰς λιποῦσαι (ἀντ. α΄.)
Ἡφαίστου χρυσέων ἀκμόνων
Μόχθους ἀσπιστὰς ἔφερον τευχέων,
Ἀνά τε Πήλιον ἀνά τε πρύ-
Μνας Ὄσσας ἱερὰς νάπας,
Νυμφαίας σκοπιὰς,
Κόραι ματεύουσ' ἔνθα πατὴρ
Ἱππότας τρέφειν Ἑλλάδι φῶς,
Θέτιδος εἰνάλιον γόνον,
Ταχύπορον πόδ' Ἀτρείδαις.
Ἰλιόθεν δ' ἔκλυον τινὸς ἐν λιμέσιν (Στ. β΄.)
Ναυπλίοισι βεβῶτος
Τᾶς σᾶς, ὦ Θέτιδος παῖ,
Κλεινᾶς ἀσπίδος ἐν κύκλῳ
Τοιάδε σήματα, δείματα
Φρύγια τετύχθαι·
Περιδρόμῳ μὲν ἴτυος ἕδρᾳ

---

433. Πέμπουσαι χοροὺς] πλέουσαι αἱ νῆες, καὶ ἐπὶ τῶν κυμάτων ἄλλοτε ἄλλως ῥέπουσαι ἐφ' ἑκάτερα, τρόπον τινὰ χορεύουσι· τὸ δὲ συμπεριλαβεῖν κα τὰς Νύμφας τὴν ἐν τοῖς ὕδασιν αὐτῶν ἐννοεῖ δίαιταν.

ῥυθμῷ χοροῦ ἐκπλεύσας ἐπὶ Τροίαν μετὰ τῶν Νηρηΐδων, ἔνθ' ὁ φιλόμουσος Δελφὶν ἐνήχετο, ἑλισσόμενος ἀμφὶ τὰς κυανοπρώρους τριήρεις, Ἀγαμέμνονά τε καὶ Ἀχιλλέα τὸν τῆς Θέτιδος, τὸν ὠκύποδα παρὰ τὰς ἀκτὰς τοῦ Σιμοῦντος ἐκεῖσε παραπέμπων.

Νηρηΐδες δὲ, τὰς τῆς Εὐβοίας ἀκτὰς καταλιποῦσαι, ἔφερον τὴν ἐκ τῶν χρυσῶν ἀκμόνων τοῦ Ἡφέστου πανοπλίαν τῷ νέῳ Ἥρωι, σκοποῦσαι ἀνά τε τὰς τοῦ Πηλίου κορυφὰς, καὶ τὰς τῶν Νυμφῶν σκοπιὰς κατὰ τὰς κεκλιμένας τῆς Ὄσσης νάπας τε καὶ κοιλάδας, ἔνθ' ὁ Πηλεὺς μέγ' ὄφελος ἔτρεφε τῇ Ἑλλάδι, τὸν τῆς Θέτιδός φημι ταχύπουν παῖδα, ὃς ἤμελλε συμμαχήσειν τοῖς Ἀτρείδαις.

Ὦ παῖ Θέτιδος, ἐλθών τις Ἰλιόθεν εἰς Ναυπλίαν, πολλὰ ἔλεγε φέρειν τὴν σὴν κλεινὴν ἀσπίδα φόβητρα

---

344. **Φίλαυλος]** λέγεται γὰρ ὁ Δελφὶν λίαν φιλόμουσος καὶ φιλάνθρωπος εἶναι, ὥστε καὶ παρακολουθεῖν τοῖς πλωϊζομένοις· τοῦτο δὲ θρυλλεῖται ἐκ τοῦ συμβάντος τῷ Ἀρείωνι ἐπὶ Περιάνδρου· ὃν μουσικὸν ὄντα, καὶ τῆς νεὼς ἐκπεσόντα εἰς τὴν θάλασσαν, ἀναλαβὼν Δελφὶς, ἐξήγαγεν εἰς τὴν Κόρινθον. 438. Κοῦφον] ἡ θέσις τῶν ὀνομάτων οὕτω μᾶλλον· πορεύω Ἀχιλλέα τὸν τῆς Θέτιδος τὸν κοῦφον (κατὰ) τὸ ἅλμα τῶν ποδῶν. 443. Μόχθους ἀσπιστὰς] βάρος ἀσπιδικὸν τῶν ὅπλων· ἐννοεῖ τὴν τοῦ Ἀχιλλέως πανοπλίαν, ἣν αὐτῷ ἐχάλκευσεν Ἥφαιστος, Θέτιδι τῇ μητρὶ χαριζόμενος. ἴδε Ὅμ. Ἰλ. Λ'. 18. καὶ ἑξῆς. 447. Κόραι ματεύουσ'·] ὅ ἐστι, ματεύουσιν, ἢ ματεύουσαι· εἰσὶ δὲ κόραι αἱ αὐταὶ Νηρηΐδες· ἐν ἄλλοις δὲ κεῖται, Κόρας μέτεισ'· τοῦτο εἰ μὲν ὡς γενικὴν ἐκλάβοιμεν, ἐννοητέον τὴν Περσεφόνην· εἰ δὲ ὡς αἰτιατικὴν, τὰς εἰς τὰς σκοπιὰς ταύτας νύμφας· ἀλλὰ τὸ πρῶτον ἐν τῷ κειμένῳ δοκεῖ μοι ἄμεινον· καίτοι τὸ δεύτερον ἀκριβέστερον ἐν τῷ μέτρῳ· αἱ γὰρ Νηρηΐδες οὐ Νύμφας ἐζήτουν, ἀλλ' αὐτὸν Ἀχιλλέα, τὴν πανοπλίαν αὐτῷ προσφέρουσαι.

Περσέα λαιμοτόμον ὑπὲρ
Ἁλὸς ποτανοῖσι πεδίλοι-
Σι φυὰν Γοργόνος ἴσχειν,
Διὸς ἀγγέλῳ σὺν Ἑρμᾷ,
Τῷ Μαίας ἀγροτῆρι κούρῳ·
Ἐν δὲ μέσῳ κατέλαμπε σάκει φαέθων (Ἀντ. β'.)
Κύκλος ἀελίοιο
Ἵπποις ἂν πτεροέσσαις,
Ἄστρων τ' αἰθέριοι χοροὶ,
Πλειάδες, Ὑάδες, Ἕκτορος
Ὄμμασι τροπαῖοι·
Ἐπὶ δὲ χρυσοτύπῳ κράνει
Σφίγγες ὄνυξιν ἀοίδιμον
Ἄγραν φέρουσαι· περιπλεύρῳ
Δὲ κύτει πυρπνόος ἔσπευ-
Δε δρόμῳ λέαινα χαλαῖς,
Πειρηναῖον θορῶσα πῶλον.
Ἐν δὲ δόρει φονίῳ τετραβάμονες ἵπποι ἔπαλλον, (Ἐπῳ)
Κελαινὰ δ' ἀμφὶ νῶθ' ἵετο κόνις.
Τοιῶνδ' ἄνακτα δοριπόνων
Ἔκανεν ἀνδρῶν Τυν
Δαρὶς ἃ λέχεα, κακόφρων κούρα.
Τοιγάρ σέ ποτ' οὐρανίδαι

459. Ποτανοῖσι πεδίλοις] περιτίθησι γὰρ ὁ μῦθος τῷ Περσεῖ πτερὰ εἰς τοὺς πόδας, τὴν τῆς Γοργόνος φέροντι κεφαλήν. 465. Ἵπποις ἂν πτεροέσσαις] τὸ, Ἂν, τί ὅτι μὴ μεταβλητέον εἰς τὸ, Ἓν; ἕτερος δὲ καὶ τὸ Πτεροέσσαις ἀξιοῖ με-

Φρυξὶ, πρῶτον μὲν Περσέα κατ' αὐτὴν τὴν ἴτυν, τὸν τῆς Γοργῶνος λαιμὸν διατεμόντα, τὴν αὐτῆς ἔχοντα κεφαλὴν, πτηνοῖς ὑπὲρ τῆς θαλάσσης ἱπταμενον πεδίλοις μετὰ τοῦ Ἑρμοῦ· ὅς ἐστιν Διὸς μὲν ἄγγελος, Μαίας δὲ παῖς χαίρων μάλιστα ἐν ἀγροῖς.

Κατὰ δ' αὖ τὸ μέσον τῆς ἀσπίδος κατέλαμπεν Φαέθων ἥλιος ἐφ' ἵππων πτερωτῶν περιεστοιχισμένος ἄλλοις τε τῶν ἀστέρων χοροῖς, καὶ δὴ ταῖς τε πλειάσι καὶ Ὑάσιν, ἃ φοβερὰ τοῖς τοῦ Ἕκτορος προσπίπτοντα ὄμμασιν, ἔτρεπεν αὐτὸν εἰς φυγήν· ἐπὶ δ' αὖ τῆς χρυσηλάτου αὐτοῦ περικεφαλαίας, Σφίγγες πεποίηντο, πολυθρύλλητον ἄγραν ἐν ὄνυξι φέρουσαι· κατὰ δὲ μέρος αὖθις ἡ πυρπνόος πέριξ ἔσπευσε χίμαιρα, ἐπὶ τὸν Πήγασον αὐτὸν δοκοῦσα ἐθέλειν ἐπιπηδῆσαι, προφήνασα τὰς χηλάς.

Τέσσαρες δὲ ἵπποι ἀνακαλπάζοντες ἐφέροντο διὰ μάχης καὶ φόνου, πολλῇ κόνει ἐπιπεπασμένοι τὰ νῶτα. Φεῦ! τοιούτων ἀρειμανῶν ἀνδρῶν στρατηγὸν ἀπέ-

---

ταβαλεῖν εἰς τὸ Πυροέσσαις διὰ τὸ πῦρ τοῦ ἡλίου 470. Ἀοίδιμον ἄγραν] τὴν παρὰ πᾶσιν ὑμνουμένην· ἐννοεῖ δὲ, ἣν εἶχεν ἡ Σφίγξ ἐν Θήβαις πρὶν Οἰδίπουν λύσαι τὸ αἴνιγμα. 473. Λέαινα] ἣν Βελλεροφόντης ἐποχούμενος τῷ Πηγάσῳ ἀπέκτεινε Χίμαιραν· ἴδε Ὅμ. Ἰλ. Ζ. 181. λέγει δέ.

» Πρόσθε Λέων, ὄπισθεν δὲ Δράκων, μέσση δε Χίμαιρα.

» Δεινὸν πνείουσα πυρὸς μένος αἰθομένοιο.

Πειρηναῖος δὲ λεγεται ὁ Πήγασος, ὅτι ἐν τῇ Πειρήνῃ πηγῇ, φασὶν, ἐγεννήθη 479. Ἄλέχεα] τὸ ἑαυτῆς λέχος· ἐν ἄλλοις δὲ κεῖται, αλέχεα, και ἐν ἄλλοις

Πέμψουσιν θανάτοισι κἂν
Ἔτ' ἔτι φόνιον ὑπὸ δέραν
Ὄψομαι αἷμα χυθὲν σιδάρῳ.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΠΡΕΣΒΥΣ, ΗΛΕΚΤΡΑ, ΟΡΕΣΤΗΣ, ΧΟΡΟΣ, ΠΥΛΑΔΗΣ.

ΠΡ· Ποῦ, ποῦ νεᾶνις πότνι' ἐμὴ δέσποινά τε,
Ἀγαμέμνονος παῖς, ἥν ποτ' ἐξέθρεψ' ἐγώ;
Ὡς πρόσβασιν τῶνδε ὀρθίαν οἴκων ἔχει
Ῥυσσῷ γέροντι τῷδε προσβῆναι ποδί·
Ὅμως δὲ πρός γε τοὺς φίλους ἐξελκτέον
Διπλῆν ἄκανθαν καὶ παλλίρροπον γόνυ.
Ὦ θύγατερ', ἄρτι γάρ σε πρὸς δόμοις ὁρῶ,
Ἥκω φέρων σοι τῶν ἐμῶν βοσκημάτων
Ποίμνης νεογνὸν θρέμμ' ὑποσπάσας τόδε,
Πελάνους τε τευχέων τ' ἐξελὼν τυρεύματα,
Παλαιόν τε θησαύρισμα Διονύσου τόδε
Ὀσμῇ κατῆρες, μικρὸν, ἀλλ' ἐπεισβαλεῖν
Ἡδὺ σκύφον τοῦδ' ἀσθενεστέρῳ ποτῷ.

ἔτι ἡ μελέα. 482. Κἂν . . . ὄψομαι] οὕτω μᾶλλον ἀντὶ τοῦ, κἂν . . ὄψωμαι· ἀλλ' οὔτε τὸ Κἂν πρὸς Ὁριστικὸν, οὔτε τὸ Ὄψωμαι εὔχρηστον ἐν ὑποτακτικῇ εἰ δὲ μεταβάλοιμεν τὸ Κἂν εἰς τὸ Καὶ, εὐοδοῦται τὸ Ὄψομαι. 486. Ὡς πρόσ βασιν . . . ἔχει] ἡ νεᾶνις ἔχει τὴν ἀνάβασιν ὀρθίαν πρὸς τὴν οἰκίαν ἐμο- προσβῆναι. 488. Ἐξελκτέον] κατὰ συγκοπὴν ἐκ τοῦ ἐξελικτέον. Ἄκανθαν δὲ

κτεινεν ἡ κακόγαμος Τυνδαρίς· ἀλλ' οἱ τὸν οὐρανὸν οἰκοῦντες θεοὶ κακήν σε κακῶς ἀπολέσουσι· κἀγὼ ὄψομαί γε τὸ αἷμα ἀπὸ τοῦ σοῦ καταῤῥέον τραχήλου.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΠΡΕΣΒΥΣ, ΗΛΕΚΤΡΑ, ΟΡΕΣΤΗΣ, ΧΟΡΟΣ, ΠΥΛΑΔΗΣ.

ΠΡ. Ποῦ ἐστιν ἡ παῖς Ἀγαμέμνονος ἡ ἐμὴ δέσποινα, ἣν ἐξέθρεψά ποτε; ἀνάντης γὰρ ἡ ἄγουσα πρὸς τὴν αὐτῆς οἰκίαν ταυτινὶ γέροντι μάλισθ' οἵῳ ἐμοὶ προσϐῆναι· ἀλλὰ πρὸς φίλους πειρατέον ἐξελίψαι τὸ σῶμα τοῦτο τὸ κεκυφὸς καὶ τὸ παλίῤῥοον γόνυ· ὦ θύγατερ (ὁρῶ γάρ σε ἤδη ἐνταῦθα οὖσαν) ἥκω σοι φέρων τῶν ἐμῶν βοσκημάτων ἄρνα νεογνὸν τουτονὶ, καὶ πελάνους, καὶ τυροὺς, ἐξελὼν τῶν ἀγγείων, καὶ πόμ' ἀρχαῖον Διονύσου τοῦτο εὔωσμον μάλα, μικρὸν μὲν καὶ ἀσθενὲς, ἀλλ'

---

τὴν ῥάχιν αὐτοῦ φησὶν, ὡς κεκυφότος. 493. Πελάνους] πέμματά τινα, μέλιτι πεφυρμένα, ἢ ὁπωσοῦν· ἐν ἄλλοις δὲ κεῖται, Στεφάνους ἀντὶ τοῦ Πελάνους· ὁ δὲ ποῦς ἐν τῷ μέτρῳ Ἀνάπαιστος ἀντὶ Σπονδείου· ἰσόχρονοι γὰρ οὗτοι· ἀλλ' οὐχ οὕτως εὐθεράπευτον καὶ ἐν τῷ ἑπομένῳ στίχῳ τὸ Παλαιόν· ὃ ἐν ἄλλοις κεῖται καὶ αὐτὸ Πολιόν· χωλαίνειν δὲ δοκεῖ τὸ μέτρον κἀν τῷ τετάρτῳ ποδὶ ἐν τῷ Ἐξελών· ἀλλ' ἐκληπτέον τὸ Τευχέων ἐν τῷ τρίτῳ ἀντὶ τοῦ Τευχῶν κατὰ συνίζησιν, καθάπερ καὶ ἀλλαχῆ πολλαχῇ, ἀλλὰ καὶ ἀνωτέρω (στίχ. 363.) τὸ, Πρὸς θεῶν. 501. Ὀσμῇ κατῆρες] κάτοχον ὀσμῇ, εὐῶδες, ὁ ἀνθοσμίας. 496. Ἡδὺ σκύφον τοῦδ'] ἐν ἄλλοις ἀντὶ τοῦ τοῦδ' κεῖται τόδ'· καὶ ἀλλαχῇ, τῷδ'· (τίδ' οὐχὶ μᾶλλον ᾧδ'.) ὁ δὲ νοῦς, οἶμαι, μικρὸν μὲν τὸ ποτὸν, ἀλλ' ἐν τούτῳ τῷ μικρῷ καὶ ἀσθενεῖ ἡδύ ἐστιν ἐπεισϐαλόντες τὸ ποτήριον ἀρύσασθαι

Ἴτω φέρων τις τοῖς ξένοις τάδ' ἐς δόμους·
Ἐγὼ δὲ τρύχει τῷδ' ἐμῶν πέπλων κόρας,
Δακρύοισι τέγξας, ἐξομόρξασθαι θέλω.

ΗΛ. Τί δ', ὦ γεραιὲ, διάβροχον τόδ' ὄμμ' ἔχεις;
Μῶν τἀμὰ διὰ χρόνου σ' ἀνέμνησαν κακά;
Ἢ τὰς Ὀρέστου τλήμονας φυγὰς στένεις,
Καὶ πατέρα τὸν ἐμὸν, ὅν ποτ' ἐν χεροῖν ἔχων,
Ἀνόνητ' ἔθρεψας σοί τε καὶ τοῖς σοῖς φίλοις;

ΠΡ. Ἀνόνηθ'· ὅμως γοῦν τοῦτό γ' οὐκ ἠνεσχόμην,
Ἦλθον γὰρ αὐτοῦ πρὸς τάφον, πάρεργ' ὁδοῦ,
Καὶ προσπεσὼν ἔκλαυσ', ἐρημίας τυχὼν,
Σπονδάς τε λύσας ἀσκὸν, ὃν φέρω ξένοις,
Ἔσπεισα, τύμβῳ δ' ἀμφέθηκα μυρσίνας.
Πυρᾶς δ' ἐπ' αὐτῆς οἶν μελάγχιμον τόκον.
Σφάγιον ἐσεῖδον, αἷμά τ' οὐ πάλαι χυθὲν,
Ξανθῆς τε χαίτης βοστρύχους κεκαρμένους,
Κἀθαύμασ', ὦ παῖ, τίς ποτ' ἀνθρώπων ἔτλη
Πρὸς τύμβον ἐλθεῖν· οὐ γὰρ Ἀργείων γέ τις.
Ἀλλ' ἦλθ' ἴσως που σὸς κασίγνητος λάθρα,
Μολὼν δ', ἐθαύμασ' ἄθλιον τύμβον πατρός.
Σκέψαι δὲ χαίτην, προστιθεῖσα σῇ κόμῃ,
Εἰ χρῶμα ταὐτὸ κουρίμης ἐστὶ τριχός.
Φιλεῖ γὰρ, αἷμα ταὐτὸν οἷς ἂν ᾖ πατρὸς,
Τὰ πόλλ' ὅμοια σώματος πεφυκέναι.

ΗΛ. Οὐκ ἄξι' ἀνδρὸς, ὦ γέρον, σοφοῦ λέγεις,
Εἰ κρυπτὸν ἐς γῆν τήνδ' ἂν Αἰγίσθου φόβῳ

ἡδὺ σκύφον ~~ἐμβαλόντι ἀρύσασθαι~~ ἀπ' αὐτοῦ· Ἴτω τοίνυν τις κομίζων ταῦτα τοῖς ξένοις εἴσω· ἐμοὶ δ' ἐξέστω ἀπομόρξασθαι ἤδη τῷ τρύχει τούτῳ τὸ καταῤῥέον δάκρυ.

ΗΛ. Τί δήποτ', ὦ γέρον, τοσοῦτον ἐκθλίβεις δάκρυ; μῶν τῶν ἐμῶν συμφορῶν εἰς μνήμην ἦλθες; ἢ τὴν τοῦ Ὀρέστου φυγὴν, καὶ τὸν τοῦ πατρὸς τοὐμοῦ δακρύεις φόνον, ὃν μάτην σεαυτῷ τε καὶ τοῖς σεαυτοῦ φίλοις τυγχάνεις ἀνατεθραφώς;

ΠΡ. Εὖ εἶπας μάτην· ἀλλ' οὖν οὐκ ἠνεσχόμην ἔγωγε μὴ οὐχὶ προσφοιτῆσαι ἀρτίως πρὸς τὸν τάφον πάρεργον ὁδοῦ, καὶ προσπεσὼν δάκρυά τε, καὶ ἀπὸ τοῦ ἀσκοῦ, ὃν τοῖς ξένοις τυγχάνω φέρων οἶνον, σπονδὰς ἐκείνῳ σπεῖσαι τὰ εἰκότα, μυρσίνῃ ὡς ἐν ἐρημίᾳ τὸν τάφον κατεστέψας· ἔνθα καὶ σφάγιον οἶν μελάγχρουν, πρόσφατον αἷμα, ἑώρακα, καὶ βόστρυχον τουτονὶ ξανθὸν ἐπιτεθειμένον· τίς ἄρ' ἐκεῖσε προσελθεῖν ἀπετόλμησε; θαυμαστὸν γὰρ ἔμοιγε τοῦτο· οὐ γάρ τις τῶν Ἀργείων· οὔμενουν· ὁ δὲ ἀδελφὸς ὁ σὸς δοκεῖ λεληθότως ἐλθεῖν, τὸν πατρῷον τάφον ἀξιώσας τιμῆσαι· λαβοῦσα τοίνυν τὸν πλόκαμον τοῦτον, καὶ πρὸς τὴν σαυτῆς παραλαβοῦσα κόμην, σκέψαι, εἴτι ὅμοιον ἔχοι· συμβαίνει γὰρ τοῖς ἐκ τῶν αὐτῶν γεγονόσιν ὁμοίους τὰ πολλὰ πεφυκέναι τῷ εἴδει.

ΗΛ. Ἀλλὰ ταῦτ', ὦ γέρον, οὐκ ἄξιά σου λέγειν· ὅ,τε γὰρ ἐμὸς ἀδελφὸς οὐκ ἂν ἔλθοι ἐνταῦθα, Αἴγισθον δεδιώς,

---

ἀπ' αὐτοῦ, καὶ πιεῖν. 517. Καὶ ἐθαύμασε] ἐν ἄλλοις ἐτίμησε.



ΔΗΜΟΚΡ... ΔΗΜΟΤΙΚΗ

Δοκεῖς ἀδελφὸν τὸν ἐμὸν εὐθαρσῆ μολεῖν.
Ἔπειτα χαίτης πῶς συνοίσεται πλόκος;
Ὁ μὲν παλαίστραις ἀνδρὸς εὐγενοῦς τραφεὶς,
Ὁ δὲ κτενισμοῖς θῆλυς· ἀλλ' ἀμήχανον.
Πολλοῖς δ' ἂν εὕροις βοστρύχους ὁμοπτέρους,
Καὶ μὴ γεγῶσιν αἵματος ταὐτοῦ, γέρον.

ΠΡ. Σὺ δ' εἰς ἴχνος βᾶσ' ἀρβύλης σκέψαι βάσιν,
Εἰ σύμμετρος σῷ ποδὶ γενήσεται, τέκνον.

ΗΛ. Πῶς δ' ἂν γένοιτ' ἂν ἐν κραταιλέῳ πέδῳ
Γαίας ποδῶν ἔκμακτρον; εἰ δ' ἔστιν τόδε,
Δυεῖν ἀδελφοῖν ποῦς ἂν οὐ γένοιτ' ἴσως
Ἀνδρός τε καὶ γυναικὸς, ἀλλ' ἄρσην κρατεῖ.

ΠΡ. Οὐκ ἔστιν, εἰ καὶ γῆν κασίγνητος μόλοι,
Κερκίδος ὅτῳ γνοίης ἂν ἐξύφασμα σῆς,
Ἐν ᾧ ποτ' αὐτὸν ἐξέκλεψα μὴ θανεῖν;

ΗΛ. Οὐκ οἶσθ', Ὀρέστης ἡνίκ' ἐκπίπτει χθονὸς,
Νέαν μ' ἔτ' οὖσαν; εἰ δὲ κἄκρεκον πέπλους,
Πῶς ἂν, τότ' ὢν παῖς, νῦν ἔχοι τἄυτ' ἂν φάρη,
Εἰ μὴ ξυναύξοινθ' οἱ πέπλοι τῷ σώματι;
Ἀλλ' ἤ τις αὐτοῦ τάφον ἐποικτείρας ξένος,
Ἐκείρατ', ἢ τῆσδε σκοποὺς λαβὼν χθονός.

ΠΡ. Οἱ δὲ ξένοι ποῦ; βούλομαι γὰρ, εἰσιδὼν,
Αὐτοὺς ἔρεσθαι σοῦ κασιγνήτου πέρι.

ΗΛ. Οἵδ' ἐκ δόμων βαίνουσι λαιψηρῷ ποδί.

ΠΡ. Ἀλλ' εὐγενεῖς μὲν, ἐν δὲ κιβδήλῳ τόδε.

---

539. Κἄκρεκον] καὶ ἔκρεκον, ὕφαινον· κατὰ μετάθεσιν τῶν στοιχείων ἐκ τοῦ κέρκω. 543. Λαβὼν] ἐν ἄλλοις κεῖται, λαθὼν, ἢ καὶ παρέφρασταί μοι.

καὶ ἡ τῆς κόμης ὁμοιότης ἀσύμβλητος μάλιστα· ὁ μὲν γὰρ ἐκείνου βόστρυχος, ἀνδρὸς εὐγενοῦς ἐστὶν ἐντραφεὶς πρὸς παλαίστραν· ὁ δ' ἐμὸς, ἐκ πολλῆς θεραπείας ἐκπρεπὴς ὢν πρὸς τὸ θῆλυ, εἰκότως πολλῷ διοίσουσιν ἀλλήλων· ἔπειτα δὲ πολλοὶ, καίτοι διαφόρων γονέων γεγεννημένοι, ὁμοίαν τῇ χροιᾷ κόμην φέρουσι.

ΠΡ. Σὺ γοῦν ἐλθοῦσα παρὰ τὸν τάφον, καὶ ἴχνος τὸ σαυτῆς πρὸς ἴχνος τὸ ἐκείνου παραβαλοῦσα, σκέψαι, εἴτι πάρισόν τε καὶ σύμμετρον ἡ βάσις ἔχοι.

ΗΛ. Πῶς ἂν γένοιτο καὶ τοῦτ' ἐν ὑπολίθῳ γηδίῳ ἐκμαγεῖον ἀπομάξασθαι ἴχνους; εἰ δὲ καὶ εἴη, πῶς ἂν ἀνδρί τε καὶ γυναικὶ ἴσον ποδὸς μέτρον εἴη, τοῦ ἄῤῥενος μεγέθει ἐπικρατοῦντος φύσει;

ΠΡ. Τί δέ; εἰ τυγχάνει ἐκεῖνος ἐλθὼν, οὐκ ἔσθ' ὅπως γνοίης ἂν αὐτή τι τῆς ἐκείνου ἐσθῆτος, ὃ τῆς σῆς χειρὸς ἂν εἴη ἔργον, ἐν ᾗ ὑπεξέκλεψά ποτε αὐτὸν, ὥστε μὴ θανεῖν;

ΗΛ. Καὶ μὴν οἶσθά με αὐτὸς κομιδῇ νέαν οὖσαν τόθ', ἡνίκα ἐκεῖνος ἐφυγαδεύθη· καίτοι καὶ τοῦτ' εἰ ἦν, κἀγὼ ἐξιστούργουν αὐτῷ παιδὶ ἔτι ὄντι, πῶς ἂν τὸ αὐτὸ καὶ νῦν ἔτι, ἀνὴρ ἤδη γεγεννημένος, ἱμάτιον φέροι, εἰ μή τις εἴποι ὡς κἀκεῖνο συνηυξήθη ταῖς τοῦ ἀνδρὸς ἡλικίαις; ἀλλὰ ξένος τὶς, ἔοικεν, ἢ αὐτοῦ διατρίβων, ἢ ἄλλοθεν ἐλθὼν, λαθὼν τὰς φρουρὰς, ἐκείρατο, οἰκτείρας τὸν πατέρα.

ΠΡ. Ποῦ τοίνυν εἰσὶν οἱ ξένοι; βούλομαι γὰρ ἐκπυθέσθαι αὐτῶν περὶ Ὀρέστου.

ΗΛ. Ἰδοὺ ἐκεῖνοι σπουδῇ ἐξίασιν ἤδη τῆς οἰκίας.

ΠΡ. Εὐγενεῖς οἱ ἄνδρες οὗτοι δοκοῦσιν εἶναι· ἀλλ' οὐδὲν πρὸς

Πολλοὶ γὰρ ὄντες εὐγενεῖς, εἰσὶν κακοί·
ὅμως δὲ χαίρειν τοὺς ξένους προσεννέπω.
ΟΡ. Χαῖρ', ὦ γεραιέ· τοῦ ποτ', Ἠλέκτρα, τόδε
Παλαιὸν ἀνδρὸς λείψανον φίλων κυρεῖ;
ΗΛ. Οὗτος τὸν ἀμὸν πατέρ' ἔθρεψεν, ὦ ξένε.
ΟΡ. Τί φής; ὅδ' ὃς σὸν ἐξέκλεψε σύγγονον;
ΗΛ. Ὅδ' ἔσθ' ὁ σώσας κεῖνον, εἴπερ ἔστ' ἔτι.
ΟΡ. (Ἔα·) τί μ' εἰσδέδορκεν, ὥσπερ ἀργύρου σκοπῶν
Λαμπρὸν χαρακτῆρ', ἢ προσεικάζει μέ τῳ;
ΗΛ. Ἴσως Ὀρέστου σ' ἥλιχ' ἥδεται βλέπων.
ΟΡ. Φίλου γε φωτός· τί δὲ κυκλεῖ πέριξ πόδα;
ΗΛ. Κᾀυτὴ τόδ' εἰσορῶσα, θαυμάζω, ξένε.
ΠΡ. Ὦ πότνι', εὔχου, θύγατερ Ἠλέκτρα, θεοῖς —
ΗΛ. Τί; τῶν ἀπόντων, ἤ τι τῶν ὄντων πέρι;
ΠΡ. Λαβεῖν φίλον θησαυρὸν, ὃν φαίνει θεός.
ΗΛ. Ἰδοὺ, καλῶ θεούς· ἢ τί δὴ λέγεις, γέρον;
ΠΡ. Βλέψον νυν ἐς τόνδ', ὦ τέκνον, τὸν φίλτατον.
ΗΛ. Πάλαι δέδοικα, μὴ σὺ γ' οὐκ ἔτ' εὖ φρονῇς.
ΠΡ. Οὐκ εὖ φρονῶ 'γὼ, σὸν κασίγνητον βλέπων;
ΗΛ. Πῶς εἶπας, ὦ γεραί', ἀνέλπιστον λόγον;
ΠΡ. Ὁρᾶν Ὀρέστην τόνδε τὸν Ἀγαμέμνονος.
ΗΛ. Ποῖον χαρακτῆρ' εἰσιδὼν, ᾧ πείσομαι;
ΠΡ. Οὐλὴν παρ' ὀφρὺν, ἥν ποτ' ἐν πατρὸς δόμοις
Νεβρὸν διώκων σοῦ μέθ' ἡμάχθη πεσών.
ΗΛ. Πῶς φής; ὁρῶ μὲν πτώματος τεκμήριον.

---

569. Εἰσιδὼν] ἀπόδος τοῦτ' ἀνωτέρω εἰς τὸ, εὖ φρονεῖς, ἐννοούμενον τοῦτο

ἔπος τοῦτο· ἴσμεν γὰρ πολλοὺς εὐγενεῖς ὄντας, κακοὺς γεγενημένους· ἀλλὰ χαίρεθ᾽ ὑμεῖς, ὦ ξένοι.

ΟΡ. Νὴ καὶ σύγ᾽, ὦ ξένε· ἀλλὰ τίς ποτ᾽, ὦ Ἠλέκτρα, φίλων ἐστὶ τῶν σῶν οὗτος, ὁ πλήθει ἐτῶν οὕτω κεκυφὼς ὅλως, καὶ κατερρικνωμένος;

ΗΛ. Ὁρᾷς, ὦ ξένε, τροφὸς τοῦ πατρός μου ἔσθ᾽ οὗτος.

ΟΡ. Τί φής; ὅδ᾽ ἄρ᾽ ἐστὶ ὁ καὶ Ὀρέστην ἀναθρέψας.

ΗΛ. Ναὶ μὴν καὶ σώσας ἐκεῖνον, εἰ περίεστιν ἔτι.

ΟΡ. Ἀλλὰ τί ποθ᾽ οὗτος εἰς ἐμὲ περιεργότερον ἐμβλέπει, ὥσπερ νόμισμα σκοπῶν, εἰ γνήσιον εἴη, ἢ παρεικάζει με τινί;

ΗΛ. Ἥδεται ἴσως, ὁρῶν σε ὁμίληκ᾽ Ὀρέστου ὄντα.

ΟΡ. Ἀνδρὸς φίλου φής· ἀλλὰ τί ποθ᾽ οὕτως σπουδῇ περισκοπεῖ με κύκλῳ;

ΗΛ. Τί γὰρ οἶδα; κἀμὲ γὰρ θαῦμα ὁρῶσαν ἔχει.

ΠΡ. Ὦ πότνια Ἠλέκτρα, ὦ θύγατερ, εὔχου θεοῖς ἤδη.

ΗΛ. Πότερον, κτήσασθαί τι, ἢ σῶσαι τὰ παρόντα;

ΠΡ. Φίλον θησαυρὸν λαβεῖν, ὃν θεοὶ διδόασί σοι.

ΗΛ. Καὶ μὴν εὔχομαί γε· ἀλλ᾽ οὐκ οἶδα ὅ,τι λέγεις.

ΠΡ. Βλέψον, ὦ τέκνον, πρὸς τὸν φίλτατον ἀδελφόν σου.

ΗΛ. Καὶ πάλαι γε ὕποπτός μοι ἦσθα μὴ τελέως ὑγιαίνειν.

ΠΡ. Ἐγὼ οὐχ ὑγιαίνειν σοι δοκῶ, ὁρῶν Ὀρέστην;

ΗΛ. Τίνα φὴς λόγον ἀνέλπιστον, ὦ γέρον;

ΠΡ. Ἀδελφὸς γὰρ σὸς οὗτος ὁ Ἀγαμεμνονίδης.

ΗΛ. Τίνι δὲ τεκμηρίῳ πιστεύσω τοῖς σοῖς λόγοις;

ΠΡ. Ὁρᾶν σοι ἐξέσται οὐλὴν τήνδε παρὰ τὴν ὀφρὺν, ἣν ἔσχε πεσὼν ποτ᾽ οἴκοι, νεβρὸν σὺν σοι διώκων.

ΗΛ. Πῶς φής; ἀλλ᾽ ὁρῶ τοῦτο κἀγὼ τὸ σημεῖον ἤδη.

ΠΡ. Ἔπειτα μέλλεις προσπιτνεῖν τοῖς φιλτάτοις;
ΗΛ. Ἀλλ' οὐκ ἔτ', ὦ γεραιέ· συμβόλοισι γὰρ
Τοῖς σοῖς πέπεισμαι θυμόν· ὦ χρόνῳ φανεὶς,
Ἔχω σ' ἀέλπτως —
ΟΡ. Κἀξ ἐμοῦ γ' ἔχῃ χρόνῳ.
ΗΛ. Οὐδέποτε δόξασ'.
ΟΡ. Οὐδ' ἐγὼ γὰρ ἤλπισα.
ΗΛ. Ἐκεῖνος εἶ σύ;
ΟΡ. Σύμμαχός γέ σοι μόνος,
Ἢν ἐκσπάσωμαί γ', ὃν μετέρχομαι, βόλον.
Πέποιθα δ'· ἢ χρὴ μηκέθ' ἡγεῖσθαι θεοὺς.
Εἰ τἄδικ' ἔσται τῆς δίκης ὑπέρτερα.
ΧΟ. Ἔμολες, ἔμολες, ὦ χρόνιος ἁμέρα,
Κατέλαμψας, ἔδειξας ἐμφανῆ
Πόλει πυρσὸν, ὃς παλαιᾷ φυγᾷ
Πατρῴων ἀπὸ δωμάτων
Τάλας ἀλαίνων ἔβα.
Θεὸς αὖ θεὸς ἁμετέραν τις ἄγει
Νίκαν, ὦ φίλα.
Ἄνεχε χέρας, ἄνεχε λόγον, ἵει λιτὰς,
Λιτὰς εἰς θεοὺς, τύχᾳ σοι, τύχᾳ
Κασίγνητον ἐμβατεῦσαι πόλιν.
ΟΡ. Εἶεν· φίλας μὲν ἡδονὰς ἀσπασμάτων
Ἔχω, χρόνῳ δὲ καὖθις αὐτὰ δώσομεν.
Σὺ δ', ὦ γεραιέ· καίριος γὰρ ἤλυθες·
Λέξον τί δρῶν ἂν φονέα τισαίμην πατρὸς,

ΠΡ. Ἔπειτ' οὐ σπεύδεις περιπτύξασθαι τοῦτον;

ΗΛ. Ἀλλ' οὐκέτι μελήσω, πειθομένη τῷ συμβόλῳ. Ὦ φίλον φάος, ὡς ἀνελπίστως καὶ σὺν χρόνῳ ἔχω σε ἡ ταλαίπωρος ἐγὼ, ὦ φίλτατε ἀδελφέ.

ΘΡ. Ταῦτα κἀμοὶ πρός σε εἴρηται πάλαι.

ΗΛ. Ὡς ἀνέλπιστόν μοι πάρεστι τοῦτο ἤδη.

ΟΡ. Οὐ μᾶλλον, ἢ κἀμοὶ τὸ γενόμενον παρ' ἐλπίδα.

ΗΛ. Σὺ εἶ Ὀρέστης;

ΟΡ. Ὁ σὸς φίλος καὶ σύμμαχος μόνος, εἴγε ἀνασπάσομαι, ὃν μετέρχομαι βόλον.

ΗΛ. Ἐλπίζω· εἰ δὲ μὴ, οὐκέτι χρὴ θεοὺς νομίζειν, εἰ τἄδικα κρατοῦσι τῶν δικαίων.

ΧΟ. Ἦλθες, ἦλθες, ὦ χρόνιος ἡμέρα· ἔλαμψας, κατέλαμψας, μέγαν πυρσὸν τῇ πόλει ἐνεγκοῦσα· ὃς φυγὰς ὢν ἐκ τοῦ πατρῴου οἴκου, ξένος ὁ τάλας πλανώμενος ἐν ξένοις, ἀφίκετο νῦν εἰς τὴν ἑαυτοῦ ἑστίαν· θεῶν, ὦ φίλη, θεῶν τις ἄγει ἡμῖν τὴν νίκην· ἀλλ' ἄνεσχε χεῖρας, ὕψωσον φωνὴν, θεοῖς εὐχομένη, ἐφ' ᾧ τύχῃ ἀγαθῇ τὸν σὸν ἀδελφὸν κατελθεῖν εἰς τὴν πόλιν.

ΘΡ. Εἶεν· ὅσον μὲν ἕνεκ' ἀσπασμάτων τὰ μὲν ἔχω· τὰ δὲ καὶ τοῦ λοιποῦ ἀποδώσομεν ἀλλήλοις· σὺ δ' ὦ γεραιὲ (καὶ γὰρ ἐν καιρῷ δοκεῖς ἐλθεῖν) ἐρεῖς νῦν ὑμῖν, ὅπως ἂν ῥᾷον γενοίμην τιμωρὸς τῷ τοῦ πατρὸς θανάτῳ, Αἴγισθόν τε αὐτὸν τοῦ φόνου τισάμενος, καὶ τὴν συμπρά-

---

κατ' ἰδίωμα διαλογικόν. 579. Βόλον] βόλον φασὶ τὸ τὰ δίκτυα εἰς τὴν θάλασσαν βαλεῖν· οὕτως οὖν ἀπὸ μεταφορᾶς ἔβαλε καὶ Ὀρέστης πως τὸ δίκτυον, ἵν' ἐκσπάσηται ὡς ἐκ τῆς θάλασσας τὸν μέγαν λαύρακα Αἴγισθον. 586. Ἔβα] ἀντὶ τοῦ ἔβη· βάω, βάσω, ἔβην· ἐν ἄλλοις κεῖται ἔβασι.

Μητέρα τε τὴν κοινωνὸν ἀνοσίων γάμων.
Ἔστιν τί μοι κατ' Ἄργος εὐμενὲς φίλων;
Ἢ πάντ' ἀνεσκευάσμεθ', ὥσπερ αἱ τύχαι;
Τῷ συγγένωμαι; νύχιος, ἢ καθ' ἡμέραν;
Ποίαν ὁδὸν τραπώμεθ' εἰς ἐχθροὺς ἐμούς;

ΠΡ. Ὦ τέκνον, οὐδεὶς δυστυχοῦντί σοι φίλος.
Εὕρημα γὰρ τὸ χρῆμα γίγνεται τόδε,
Κοινῇ μετασχεῖν τἀγαθοῦ καὶ τοῦ κακοῦ.
Σὺ δ', (ἐκ βάθρων γὰρ πᾶς ἀνῄρησαι φίλοις,
Οὐδ' ἐλλέλειπας ἐλπίδ') ἴσθι μου κλύων·
Ἐν χειρὶ τῇ σῇ πάντ' ἔχεις καὶ τῇ τύχῃ,
Πατρῷον οἶκον καὶ πόλιν λαβεῖν σέθεν.

ΟΡ. Τί δῆτα δρῶντες, τοῦδ' ἂν ἐξικοίμεθα;

ΠΡ. Κτανὼν Θυέστου παῖδα, σήν τε μητέρα.

ΟΡ. Ἥκω 'πὶ τόνδε στέφανον, ἀλλὰ πῶς λάβω;

ΠΡ. Τειχέων μὲν ἐλθὼν ἐντὸς, οὐδ' ἂν εἰ θέλοις.

ΟΡ. Φρουραῖς κέκασται, δεξιαῖς τε δορυφόρων;

ΠΡ. Ἔγνως· φοβεῖται γάρ σε, κοὐχ εὕδει σαφῶς.

ΟΡ. Εἶεν· σὺ δὴ τοὐνθένδε βούλευσον, γέρον.

ΠΡ. Κἀμοῦ γ' ἄκουσον· ἄρτι γάρ μ' ἐσῆλθέ τι.

ΟΡ. Ἐσθλόν τι μηνύσειας, αἰσθοίμην δ' ἐγώ.

ΠΡ. Αἴγισθον εἶδον, ἡνίχ' εἷρπον ἐνθάδε —

ΟΡ. Προσηκάμην τὸ ῥηθέν. ἐν ποίοις τόποις;

ΠΡ. Ἀγρῶν πέλας τῶνδ' ἱπποφορβίων ἔπι.

ΟΡ. Τί δρῶνθ'; ὁρῶ γὰρ ἐλπίδ' ἐξ ἀμηχάνων.

---

611. Τειχέων . . ἐντὸς] οὐκ ἂν τύχοις τούτου, ἐλθὼν ἐντὸς τῶν τειχῶν, οὐδ' ἂν

ξασαν μητέρα τῶν ἀνοσίων γάμων· πότερον οὖν εἰσί τινες εὐνοοῦντές μοι ἐν Ἄργει, ἢ πάντ' ἄνω καὶ κάτω, ὥσπερ αἱ τύχαι, τὰ ἡμέτερα ἀνεσκεύασται; τίνι, καὶ ὅπως ποτὲ νύκτωρ, ἢ μεθ' ἡμέρας συγγένωμαι; ποίῳ δὲ τρόπῳ τοῖς ἐχθροῖς ἐπιπέσω;

ΠΡ. Οὐδείς, ὦ τέκνον φίλος σοι δυστυχοῦντι· εὐτυχὲς μὲν γὰρ φίλου τυχεῖν, οἵου τἄτ' ἀγαθὰ, ταθ' ὡς ἑτέρως ἔχοντα κοινῇ ἐθέλειν συμφέρειν· σύ δ' ἄρδην πάντας ἀπολέσας τοὺς φίλους, μηδὲν ἐκεῖθεν ἤλπιζε σεαυτῷ ἔσεσθαι σύμμαχον· ἴσθι τοίνυν τοῦτο δήπου μαθὼν παρ' ἐμοῦ, ὡς ἐπὶ τῷ σῷ βραχίονι καὶ τῇ τύχῃ τὸ πρᾶγμα κεῖται μόνον, τοῦ πατρῴου οἴκου καὶ τῆς πόλεως κρατεῖν τῆς σαυτοῦ.

ΟΡ. Τί οὖν δράσας, κατορθωσαίμην τοῦτο;

ΠΡ. Τόν τ' Αἴγισθον καὶ τὴν μητέρα ἀποκτείνας.

ΟΡ. Καὶ μὴν ἀλήλειμμαι ἤδη πρὸς τὸν ἀγῶνα τοῦτον· ἀλλὰ πῶς τύχω τούτου, τοῦτό μοι λέγε μόνον.

ΠΡ. Οὐκ ἂν ἐντὸς τῶν τειχῶν, εἰ τοῦτό γε σκοπεῖς· οὐδὲ γὰρ εἰ θέλεις, εἰσέλθοις ἂν ἐκεῖσε.

ΟΡ. Τί δήποτε, ἢ φρουραῖς εἰσὶ κατειλημμένα τἄνδον;

ΠΡ. Συνῆκας· φόβος γὰρ ὁ σὸς οὐκ ἐᾷ αὐτὸν καθεύδειν.

ΟΡ. Εἶεν· σὺ δὲ νῦν λέγοις μοι ἄν, τί με δεῖ πράττειν;

ΠΡ. Καὶ δὴ ἄκουσον, ὃ νῦν ἐπῆλθέ μοι νοῆσαι.

ΟΡ. Εἴθε ἐσθλόν τι μοι εἴποις, κἀμοῦ τὴν ἀκοὴν εἰσέλθοι.

ΠΡ. Ἑώρακα Αἴγισθον ἐρχόμενον δεῦρο.

ΟΡ. Ποῦ δῆτα; εἴη μοι τοῦτον ἐλθεῖν ποτε εἰς ὄψιν.

ΠΡ. Ἐπὶ τῶν ἀγρῶν παρὰ τοῖς ἱπποφορβίοις τοῖσδε.

ΟΡ. Τί δὴ πράττοντα; ἡ γὰρ ἐλπὶς ἐξ ἀμηχάνων.

ΠΡ. Νύμφαις ἐπόρσυν' ἔρωτιν, ὡς ἔδοξέ μοι.
ΟΡ. Τροφεῖα παίδων, ἢ πρὸ μέλλοντος τόκου;
ΠΡ. Οὐκ οἶδα, πλὴν ἕν, βουσφαγεῖν ὡπλίζετο.
ΘΡ. Πόσων μετ' ἀνδρῶν; ἢ μόνος δμώων μέτα;
ΟΡ. Οὐδεὶς παρῆν Ἀργεῖος, οἰκεία δὲ χείρ.
ΟΡ. Ἦ πού τις, ὅς τις γνωριεῖ μ' ἰδὼν, γέρον;
ΠΡ. Δμῶες μέν εἰσιν, οἵ σέ γ' οὐκ εἶδον ποτέ.
ΘΡ. Ἡμῖν δ' ἂν εἶεν, εἰ κρατοῖμεν, εὐμενεῖς;
ΠΡ. Δούλων γὰρ ἴδιον τοῦτο, σοὶ δὲ σύμφορον.
ΟΡ. Πῶς οὖν ἂν αὐτῷ πλησιασθείην ποτέ;
ΠΡ. Στείχων, ὅθεν σε βουθυτῶν ἐσόψεται.
ΘΡ. Ὁδὸν παρ' αὐτὴν, ὡς ἔοικ', ἀγροὺς ἔχει.
ΠΡ. Ὅθεν γ' ἰδών σε, δαιτὶ κοινωνὸν καλεῖ.
ΟΡ. Πικρόν γε συνθοινάτορ', ἢν θεὸς θέλῃ.
ΠΡ. Τοὐνθένδε πρὸς τὸ πίπτον αὐτὸς ἐννόει.
ΟΡ. Καλῶς ἔλεξας. ἡ τεκοῦσα δ' ἐστὶ ποῦ;
ΠΡ. Ἄργει· παρέσται δ' ἐν πόσει θοίνην ἔπι·
ΟΡ. Τί δ' οὐχ ἅμ' ἐξωρμᾶτ' ἐμὴ μήτηρ πόσει;
ΠΡ. Ψόγον τρέμουσα δημοτῶν, ἐλείπετο.
ΟΡ. Ξυνῆχ'· ὕποπτος οὖσα γιγνώσκει πόλει.
ΠΡ. Τοιαῦτα· μισεῖται γὰρ ἀνόσιος γυνή.
ΟΡ. Πῶς οὖν ἐκείνην, τόνδε τ' ἐν ταὐτῷ κτενῶ;
ΗΛ. Ἐγὼ φόνον γε μητρὸς ἐξαρτύσομαι.
ΟΡ. Καὶ μὴν ἐκεῖνά γ' ἡ τύχη θήσει καλῶς.
ΗΛ. Ὑπηρετείτω μὲν, δυεῖν ὄντοιν, ὅδε.
ΠΡ. Ἔσται τάδ'· εὑρίσκεις δὲ μητρὶ πῶς φόνον;

---

εἰ θέλοις εἰσελθεῖν, δύναιο, τῶν φρουρῶν κωλυόντων. 629. Δούλων γὰρ ἴδιον τοῦτο]

ΠΡ. Νύμφαις ἔοικεν ἐθέλειν προσενεγκεῖν θυσίαν.

ΟΡ. Ἐφ' οἷς ἔχει, ἢ καὶ ἄλλους εὔχεται αὐτῷ γενέσθαι παῖδας;

ΠΡ. Ἀγνοῶ. ἓν δ' οἶδα μόνον, βουθυτεῖν ἕτοιμον ὄντα.

ΟΡ. Σὺν πολλοῖς ἀνδράσιν, ἢ σὺν μόνοις ὑπηρέταις;

ΠΡ. Ἦν οὐδεὶς Ἀργείων, εἰμὴ οἰκεῖοι πάντες.

ΟΡ. Ἔστι δ', ὅστις τούτων γνωριεῖ με, ὦ γέρον;

ΠΡ. Οὐδεὶς ἐκείνων ποτὲ ἑώρακέ σε.

ΟΡ. Εἰ οὖν νικῷμεν, εὐμενεῖς ἡμῖν ἂν εἶεν οὗτοι;

ΠΡ. Εἰκὸς δούλους ὄντας· κοὶ σοὶ δὲ συμφέρει τοῦτο.

ΟΡ. Ὅτῳ δὲ τρόπῳ προσέλθοιμ' ἂν ἐκείνῳ;

ΠΡ. Διϊὼν, ὅθεν ἐκεῖνος θύων, ὄψεταί σε.

ΟΡ. Οὐκοῦν ἐν ὁδῷ τοὺς ἀγροὺς τυγχάνει ἔχων.

ΠΡ. Ὄντως, ὁπόθεν ἰδών σε, καλέσει εἰς τὸ δεῖπνον.

ΟΡ. Πικρὸν συνεστιάτορα, εἰ θεὸς θέλοι.

ΠΡ. Τὸ δ' ἐκ τούτου αὐτὸς παρὰ σαυτοῦ διδάσκου.

ΟΡ. Καλῶς ἔχει ταῦτα· ποῦ δὲ ποτὲ ἡ μήτηρ;

ΠΡ. Ἐν Ἄργει· συνέσται δ' Αἰγίσθῳ εἰς τὴν θυσίαν.

ΟΡ. Τί δήποτ' οὐ συνεξῆλθε μετ' ἐκείνου;

ΠΡ. Τὸν τῶν πολιτῶν ἀποφεύγουσα ψόγον.

ΟΡ. Συνῆκα· οἶδε γὰρ οὐκ εὐμενεῖς αὐτῇ Ἀργείους ὄντας.

ΠΡ. Ἔοικε· μίσος γὰρ αὐτῇ παρ' ἐκείνων πολὺ ὡς ἀνοσίῳ.

ΟΡ. Πῶς οὖν σύναποκτείναιμι κἀκείνην;

ΗΛ. Ἄφετε δ' ἐμοὶ ἐκείνῃ τὸν ὄλεθρον τυρεῦσαι.

ΟΡ. Καὶ μὴν κἀκεῖνα καλῶς ἡ τύχη θήσει.

ΗΛ. Ὑπηρετείτω δ' ἡμῖν καὶ τρίτος ὁ γέρων οὗτος.

ΠΡ. Εἶεν ταῦτα· τῇ δὲ μητρὶ πῶς ἐπιβουλεύσεις;

ΗΛ. Λέγ', ὦ γεραιὲ, τάδε Κλυταιμνήστρᾳ μολών·
Λεχώ μ' ἀπάγγελλ' οὖσαν ἄρσενος τόκῳ.
ΠΡ. Πότερα πάλαι τεκοῦσαν, ἢ νεωστὶ δή;
ΗΛ. Λέγ' ἡλίους, ἐν οἷσιν ἁγνεύει λεχώ.
ΠΡ. Καὶ δὴ τί τοῦτο μητρὶ προσβάλλει φόνον;
ΗΛ. Ἥξει κλύουσα λόχι' ἐμοῦ νοσήματα.
ΠΡ. Πόθεν τι δ' αὐτῇ σοῦ μέλειν δοκεῖς, τέκνον;
ΗΛ. Ναί· καὶ δακρύσει γ' ἀξίωμ' ἐμῶν τόκων·
ΠΡ. Ἴσως· πάλιν τοι μῦθον ἐς καμπὴν ἄγω.
ΗΛ. Ἐλθοῦσα μέντοι δῆλον, ὡς ἀπόλλυται.
ΠΡ. Καὶ μὴν ἐπ' αὐτάς γ' εἰσίτω δόμων πύλας.
ΗΛ. Οὐκοῦν τραπέσθαι σμικρὸν εἰς Ἅδου τόδε·
ΠΡ. Εἰ γὰρ θάνοιμι, τοῦτ' ἰδὼν ἐγώ ποτε!
ΗΛ. Πρώτιστα μὲν νῦν τῷδ' ὑφήγησαι, γέρον.
ΠΡ. Αἴγισθος ἔνθα νῦν θυηπολεῖ θεοῖς;
ΗΛ. Ἔπειτ' ἀπαντῶν μητρὶ, τἀπ' ἐμοῦ φράσον.
ΠΡ. Ὥς ταῦτά γ' ἐκ σοῦ στόματος εἰρῆσθαι δοκεῖν.
ΗΛ. Σὸν ἔργον ἤδη· πρόσθεν εἴληχας φόνου.
ΟΡ. Στείχοιμ' ἂν, εἴ τις ἡγεμὼν γίγνοιθ' ὁδοῦ.
ΠΡ. Καὶ μὴν ἐγὼ πέμποιμ' ἂν οὐκ ἀκουσίως,
ΟΡ. Ὦ Ζεῦ πατρῷε καὶ τροπαῖ' ἐχθρῶν ἐμῶν,
Οἴκτειρέ θ' ἡμᾶς· οἰκτρὰ γὰρ πεπόνθαμεν·—

ἐν ἄλλοις κεῖται, Λέξω ἀντὶ τοῦ Δούλων. 650. Λέγε ἡλίους] τὰς τοῦ ἡλίου περιόδους, ὅ ἐστι τὰς ἡμέρας· ἴδε κατωτέρω στίχ. 1124.—654. Ἀξίωμα τῶν ἐμῶν τόκων] περιφραστικῶς ἀντὶ τοῦ τόκους ἁπλῶς· οὕτω κἀν τῷ Ἴωνι (στίχ. 62.) Γάμων Κρεούσης ἀξίωμ' ἐδέξατο. 655. Εἰς καμπὴν] ἐπανήξω ἐκεῖσε ἀπαγγελῶν ταῦτα· ἀπὸ μεταφορᾶς τῶν σταδιευόντων· οἳ καταλαβόντες τὸ τέρμα

ΗΛ. Σὺ αὐτὸς ἐλθὼν πρὸς αὐτὴν, ἐρεῖς. Ἠλέκτρα ἡ τάλαινα ἔτεκεν βρέφος ἄῤῥεν.

ΠΡ. Πότερον, ὡς πάλαι, ἢ νεωστὶ τεκούσης;

ΗΛ. Καθ' ὃν χρόνον ἡ λεχὼ ἁγνεύει ἀπὸ ῥύπων.

ΠΡ. Τί δ' ἐκ τούτου πρὸς τὸν θάνατον ἐκείνης;

ΗΛ. Ἥξει γὰρ, ἀκούσασά με νοσοῦσαν οὕτως.

ΠΡ. Πόθεν; οἴῃ γὰρ ἐκείνην σοῦ φροντίζειν ἔτι;

ΗΛ. Κἀπιδακρύσει γ' εὖ οἶδ' ὅτι μοι τεκούσῃ.

ΠΡ. Ἴσως· ἐγὼ ἀποίσω τὸ προστεταγμένον.

ΗΛ. Ἐλθοῦσα δὲ, κακὴ κακῶς ἀπολεῖται.

ΠΡ. Καὶ δὴ εἰσπέμψω αὐτίκα ἐκείνην ᾧδε.

ΗΛ. Οὐκοῦν μικρὸν ἔργον ἐντεῦθεν ἰδεῖν τὸν ᾅδην.

ΠΡ. Τοῦτ' ἔγωγε ἰδὼν ὀφθαλμοῖς μηκέτι ζῴην.

ΗΛ. Πρὸ δὲ τούτων, ὦ γέρων, ἥγησαι τῷ Ὀρέστῃ.

ΠΡ. Ποῖ δήποτε, ἢ ἔνθα Αἴγισθος θύει;

ΗΛ. Ναί· εἶθ' οὕτως ἐρεῖς τῇ μητρὶ, ἃ ἔφην.

ΠΡ. Ὡς παρὰ σοῦ εἰρήσεται ἐκείνῃ πάντα.

ΗΛ. Σὸν οὖν, Ὀρέστα, ἔργον ἤδη, τοῦ τὸν πρῶτον κλῆρον τοῦ φόνου εἰληχότος.

ΟΡ. Ἕτοιμος ἀπιέναι, εἴτις ἡγοῖτο μόνον.

ΠΡ. Καὶ μὴν ἐγώ σοι σὺν πολλῇ προθυμίᾳ.

ΟΡ. Ὦ Ζεῦ πατρῷε, ὁ κρατῶν τῶν ἐμῶν πολεμίων, εἴκτειρον ἡμᾶς οἰκτράγε πεπονθότας.

---

ἀνακάμπτουσιν πάλιν. 657. Εἰσίτω] οὕτως ἀπὸ τοῦ εἴσειμι ἔγραψα ἀντὶ τοῦ εἰσίω· εἰμήτι ὁ πρέσβυς αὐτὸς περὶ ἑαυτοῦ λέγει τοῦτο ἐν αὐθυποτάκτω ἐκ τοῦ εἰσίημι τὸ πέμπω. 664. Πρόσθεν εἴληχας φόνου] πρὸς Ὀρέστην ταῦτ' ἀποτείνεται, ὃς πρῶτος ὀφείλει φονεῦσαι Αἴγισθον. 681. Χεῖρας ἢ δίδωμ'

ΗΛ. Οἴκτειρε δῆτα σοῦ γε φύντας ἐκγόνους.
ΟΡ. Ἥρα τε βωμῶν ἣ Μυκηναίων κρατεῖς,
Νίκην δὸς ἡμῖν, εἰ δίκαι' αἰτούμεθα.
ΗΛ. Δὸς δῆτα πατρὸς τοῖσδε τιμωρὸν δίκην.
ΟΡ. Σύ τ', ὦ κάτω γῆς ἀνοσίως οἰκῶν πάτερ,
ΗΛ. Καὶ Γῆ τ' ἄνασσα, χεῖρας ᾗ δίδωμ' ἐμάς.
ΟΡ. Ἄμυν', ἄμυνε τοῖσδε φιλτάτοις τέκνοις.
Νῦν πάντα νεκρὸν ἐλθὲ σύμμαχον λαϐὼν,
Οἵπερ γε σὺν σοὶ Φρύγας ἀνάλωσαν δορὶ
Χὤσοι στυγοῦσιν ἀνοσίους μιάστορας.
Ἤκουσας, ὦ δείν' ἐξ ἐμῆς μητρὸς παθών;
ΗΛ. Πάντ', οἶδ', ἀκούει τάδε πατήρ· στείχειν δ' ἀκμή.
Καὶ σοὶ προφωνῶ πρὸς τάδ' Αἴγισθον θανεῖν.
Ὡς, εἰ παλαισθεὶς πτῶμα θανάσιμον πεσῇ,
Τέθνηκα κἀγὼ, μηδέ με ζῶσαν λέγε·
Παίσω κάρα γὰρ τοὐμὸν ἀμφήκει ξίφει.
Δόμων δ' ἔσω βᾶσ', εὐτρεπὲς ποιήσομαι.
Ὡς ἢν μὲν ἔλθῃ πύστις εὐτυχὴς σέθεν,
Ὀλολύξεται πᾶν δῶμα· θνήσκοντος δὲ σου,
Τἀναντί' ἔσται τῶνδε· ταῦτά σοι λέγω.
ΟΡ. Πάντ' οἶδα.
ΗΓ. Πρὸς τάδ' ἄνδρα γίγνεσθαί σε χρή.
Ὑμεῖς δέ μοι, γυναῖκες, εὖ πυρσεύετε
Κραυγὴν ἀγῶνος τοῦδε· φρουρήσω δ' ἐγὼ,
Πρόχειρον ἔγχος χειρὶ βαστάζουσ' ἐμῇ·

---

ἐμὰς] κύψας, ἥψατο, ὡς ἔοικε, τῆς γῆς· Ἠλέκτρα ἔοικε τοῦτο ποιεῖν, καὶ τοι ἄλλοις, ὡς ἐν τῇ παραφράσει, εἰς Ὀρέστην ἀναφέρεται σύμπαν· τὸ δὲ

ΗΛ. Οἴκτειρον τοὺς ἀπὸ σοῦ καταγομένους.

ΟΡ. Σύ τ', ὦ Ἥρα, ἡ τῶν ἐν Μυκήναις βωμῶν κρατοῦσα, νίκην δὸς ἡμῖν δίκαια αἰτουμένοις.

ΗΛ. Δὸς ἡμῖν τὸν τοῦ πατρὸς τίσασθαι φόνον.

ΟΡ. Σὺ δ', ὦ πάτερ, ὁ ἀνοσίως συγκατοικῶν τοῖς κάτω (καὶ σὺ, ὦ γῆ, ἧς ἐγὼ ἅπτομαί γε) ἄμυνον, σύμπραξον, τοῖς φιλτάτοις σου τέκνοις· ἄνελθε, συμμάχους λαβὼν πάντας αὐτόθεν, μεθ' ὧν συνεξεῖλες Τροίαν· ἀκούεις γὰρ, οἶμαι, ὡς δεινὰ ὑπὸ τῆς ἐμῆς μητρὸς πεπονθώς· οὐ μὴν ἀλλὰ καὶ ὅσοις ἔτι στυγητόν ἐστι τὸ τῶν ἀνοσίων φονέων γένος.

ΗΛ. Ταῦτα μὲν ἀκούει, οἶμαι, ἐκεῖνος ἐκ τοῦ Ἅδου· ἀλλὰ νῦν γ' ὥρα σοι ἀπιέναι, καί σοι προμαντεύω Αἴγισθον δώσειν δίκην· ἄλλως δὲ μηδ' ἐμὲ τίθει τὸ λοιπὸν ἐν τοῖς ζῶσι, σοῦ πεσόντος· αὐτίκα γὰρ διαχρήσομαι ἐμαυτὴν τῷ ξίφει· καὶ δὴ εἰσιοῦσα ἤδη οἴκαδε, εὐτρεπῆ ποιήσομαι πάντα· ὥστ', εἰ μὲν εὖ σοι τὸ πρᾶγμα προχωροίη, συγχαιρήσει πᾶς ὁ οἶκος· εἰδὲ τοὐναντίον, συνθρηνήσει· εἴρηται.

ΟΡ. Αἰσθάνομαι κἀγὼ ταῦθ' ὁμοίως.

ΗΛ. Πρὸς τοίνυν ταῦτα χρὴ ἀγαθόν σε ἄνδρα γενέσθαι· ὑμεῖς δ', ὦ γυναῖκες, προσχοῦσαι τοῖς γενησομένοις, ἀναγγείλατέ με διὰ τῆς κραυγῆς τὸ ἀποβαῖνον· ἐγὼ δὲ, φάσγανον φέρουσα ἕτοιμον ἐν χειρὶ πρὸς σφαγὴν, παραφυλάξω τὸν καιρὸν, ὥστε χρήσασθαι τούτῳ, εἴτι γε

---

Ἄμυνε, ἀπόδος ἀνωτέρω εἰς τὸν πατέρα. 690. Πυρσεύετε] προσχοῦσαι ἀπαγγείλατέ μοι τὸ ἀποβάν· μεταφορικῶς ἐκ τῶν διὰ πυρσῶν καὶ φρυκτωρίας μη-

Οὐ γάρ ποτ' ἐχθροῖς τοῖς ἐμοῖς νικωμένη,
Δίκην ὑφέξω σῶμ' ἐμὸν καθυβρίσαι.

ΧΟ. Ἀταλᾶς ὑπὸ ματέρος, (Στρ. ά.)
Ἀργείων ὀρέων ποτὲ κληδὼν
Ἐν πολιαῖσι μένει φήμαις,
Εὐαρμόστοις ἐν καλάμοις
Πᾶνα μοῦσαν ἡδύθροον
Πνέοντ', ἀγρῶν ταμίαν,
Χρυσέαν ἄρνα καλλιπλόκαμον πορεῦσαι.
Πετρίνοις τ' ἐπιστὰς.
Κάρυξ ἰάχει βάθροις·
Ἀγορὰν, ἀγορὰν, Μηκηναῖοι,
Στείχετε μακαρίων ὀψόμενοι τυράννων
Φάσματα, δείματα.
Χοροὶ δ' Ἀτραιδᾶν ἐγέραιον οἴκους·
Θυμέλαι δ' ἐπίτναντο χρυ- (Στρ. ά.)
Σήλατοι, σελαγεῖτο δ' ἀν' ἄστυ
Πῦρ ἐπιβώμιον Ἀργείων·
Λωτὸς δὲ φθόγγον κελάδει
Κάλλιστον, Μουσᾶν θεράπων.
Μολπαὶ δ' ηὔξοντ' ἐραταὶ
Χρυσέας ἀρνὸς, ὡς ἐπίλογοι, Θυέστου·
Κρυφίαις γὰρ εὐναῖς
Πείσας ἄλοχον φίλαν
Ἀτρέως, τέρας ἐκκομίζει πρὸς
Δώματα· νεόμενος δ' εἰς ἀγόρους, ἀΰτει

---

νυόντων τὰ μακρόθεν γιγνόμενα. 705. Ὀρέων] ἀνακτέον τοῦτο μᾶλλον κατω-

δέοι· οὐ γὰρ ἂν ἡττηθεῖσα, παραδοίην ἐμαυτὴν ζῶσαν τοῖς ἐχθροῖς καθυβρίσαι.

ΧΟ. Φήμην τινὰ ἐκ μύθων ἀρχαίων διὰ τῶν Ἀργείων ὀρέων διαφοιτήσασαν παρὰ τῆς ἐμῆς ἤκουσα μητρὸς, καὶ νῦν κατέχω μνήμῃ, ὡς ὁ Πᾶν ὁ τῶν ἀγρῶν ἐπιστατῶν, ἐναρμόνιον ἐξ εὐαρμόςων αὐλῶν ἀνακρουόμενος μέλος, χρυσῆν καὶ καλλιπλόκαμον ἄρνα ἐς τὸ τοῦ Ἀτρέως ἐφῆκε ποίμνιον· ἐκ δὲ τούτου κήρυξ ἀναβὰς ἐπὶ λίθινον βῆμα, ἐβόα. Ὦ Μυκηναῖοι, συνέλθετε, συνέλθετε εἰς τὴν ἀγορὰν ὀψόμενοι τέρατά τε καὶ φόβητρα τῶν εὐδαιμόνων τυράννων· οἱ δὲ χοροὶ ὕμνουν τὸν τοῦ Ἀτρέως οἶκον.

Οἱ δ' αὖ χρυσήλατοι βωμοὶ ἠνοίγοντο, καὶ τὸ ἐξ αὐτῶν πῦρ ἀνιὸν εἰς τὸν αἰθέρα, ἐσελάγει κατὰ πᾶν τὸ τῶν Ἀργείων ἄςυ· ὁ δ' αὐλὸς αὐτὸς ὁ τῶν Μουσῶν θεράπων, καλλίφθογον πανταχοῦ ἠφίει μέλος· καὶ μολπαὶ ποικίλαι, τῆς χρυσῆς τοῦ Θυέστου ἀρνὸς ἔπαινον ἔχουσαι, εἰς τὸν μέγαν διεχέοντο αἰθέρα· οὗτος γὰρ τὴν Ἀτρέως γυναῖκα ἀνοσίῳ πείσας ὁμιλίᾳ, σφετερίζε-

---

τέρω εἰς τὸ πορεῦσαι· ἵν' ᾖ, ἐκ τῶν ὀρέων πορεῦσαι. 701. Χρυσέαν ἄρνα] ὅρα περὶ τῆς ἀρνὸς ταύτης Ὀρέςῃ ἐν τῷ προλόγῳ, καὶ 810. Ἰφ. Ταύρ. 196. καὶ 813. ὁ δὲ νοῦς, φήμη τίςἐστιν ἐκ μύθων, ὡς ὁ Πᾶν ἔπεμψεν ἐκ τῶν Ἀργείων ὀρέων ἄρνα χρυσόμαλλον εἰς τὸν οἶκον τοῦ Θυέστου· ἣν ἰδὼν ὁ κήρυξ, συνεκάλει τοὺς πολίτας εἰς θέαν· οἱ δὲ συνελθόντες, ἐχόρευον ὑμνοῦντες τὴν εὐτυχίαν ταύτην. 715. Κρυφίαις εὐναῖς] μοιχεύσας Ἀερόπην τὴν τοῦ Ἀτρέως, ὡς ἐν Ὀρέστῃ εἴρηται· ὁμοίως καὶ περὶ τῆς παλινδρομήσεως τοῦ ἡλίου.

Τὰν κερόεσσαν ἔ-
Χειν χρυσόμαλλον κατὰ δῶμα ποίμναν.
Τότε δὴ τότε φαεν- (Στρ. β'.)
Νὰς ἄστρων μετέβασ' ὁδοὺς
Ζεὺς, καὶ φέγγος ἀελίου.
Λευκόν τε πρόσωπον Ἀ-
Οῦς, τὰ δ' ἕσπερα νῶτ' ἐλαύ-
Νει θερμᾷ φλογὶ θεοπύρῳ,
Νεφέλαι δ' ἔνυδροι πρὸς ἄρ-
Κτον, ξηραί τ' Ἀμμωνίδες ἕ-
Δραι φθίνουσ' ἀπειρόδροσοι,
Καλλίστων ὄμβρων διόθεν στερεῖσαι.
Λέγεται (τὰν δὲ πί- (Ἀντ. β'.)
Στιν σμικρὰν παρ' ἐμοί γ' ἔχει)
Στρέψαι θερμὰν ἀελίου
Χρυσωπὸν ἕδραν ἀλλά-
Ξαντα δυστυχίᾳ βροτεί-
Ω θνατᾶς ἕνεκεν δίκας.
Φοβεροὶ δὲ βροτοῖσι μῦ-
Θοι κέρδος πρὸς θεῶν θεραπεί-
Αις· ὧν οὐ μνασθεῖσα πόσιν
Κτείνεις, κλεινῶν συγγενέτειρ' ἀδελφῶν.

ται τὴν ἄρνα· καὶ ἐλθὼν εἰς ἀγορὰν, ηὔχει ἔχειν χρυσόμαλλον οἴκοι ὄϊν.

Τότε δὴ τόθ' ὁ Ζεὺς ἀναστρέφει τὰς τῶν ἄστρων φαεινὰς ὁδοὺς, τὰς τοῦ ἡλίου χρυσᾶς ἀκτῖνας, καὶ τὸ τῆς Ἠοῦς ἀγλαόμορφον πρόσωπον· τὰ δὲ πρὸς ἑσπέραν ἀπετέφρωσεν ὅλως, τῶν ἐνύδρων νεφελῶν συνηγμένων ἐπὶ τὰ ἀρκτῷα· ὥστε αἱ τοῦ Ἄμμονος καθέδραι ἐν Λιβύῃ φθείρονται, τῶν παρὰ τοῦ Διὸς ὑετῶν ἀπεστερημέναι.

Λέγεται μὲν ταῦτα· ἐγὼ δ' οὐ πάμπαν πείθομαι τούτοις, μεταβαλεῖν τὸν Δία τὴν χρυσωπὸν τοῦ ἡλίου ἕδραν ἐπὶ δυστυχίᾳ τῶν πάντων ἀνθρώπων, ἑνὸς ἁμαρτόντος· ἀλλ' ὁ λόγος ἄλλως, ὡς φόβον ἐνσείων τοῖς βροτοῖς, οὐκ ἀλυσιτελὴς ἐστὶ πρὸς εὐσέβειαν, ὡς εἰς τὴν τῶν θεῶν φέρων λατρείαν· τούτου δ' οὖν ἐπιλαθομένη τὸ σύνολον ἡ τῶν κλεινῶν Διοσκούρων ἀδελφὴ, τὸν ἑαυτῆς ἀπέκνεινεν ἄνδρα.

726. Θερμὰ ἕσπερα νῶτα] τὰ πρὸς δύσιν τετραμμένα κλίματα τῆς γῆς. 728. Ἀμμωνιάδες] ἡ ψαμώδης Λιβύη, ἔνθα Ἄμμωνος ἦν ἱερὸν, ὅπου καὶ Ἀλέξανδρος ὁ Φιλίππου πάνυ χαλεπῶς ἦλθε. 736. Θνητᾶς δίκας] τῆς μοιχίας τῆς Ἀερόπης, καὶ τῆς σφαγῆς τῶν Θυέστου παίδων. 740. Συγγενέτειρ' ἀδελφῶν] πότερον, ἡ μήτηρ τῶν ἀδελφῶν Ὀρέστου καὶ Ἠλέκτρας, ἢ ἡ ἀδελφὴ Κάστορος καὶ Πολυδεύκους; ἄμεινον τὸ δεύτερον.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΗΛΕΚΤΡΑ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ, ΟΡΕΣΤΗΣ
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ, ΠΥΛΑΔΗΣ.

Ἔα, Ἔα·
Φίλαι, βοῆς ἠκούσατ', ἢ δοκὼ κενὴ
Ὑπῆλθέ μ', ὥστε νερτέρα βροντὴ Διός;
Ἰδού· τάδ' οὐκ ἄσημα πνεύματ' αἴρεται·
Δέσποιν', ἄμειψον δώματ', Ἠλέκτρα, τάδε.
ΗΛ. Φίλαι, τί χρῆμα; πῶς ἀγῶνος ἥκομεν;
ΧΟ. Οὐκ οἶδα, πλὴν ἕν, φόνιον οἰμωγὴν κλύω.
ΗΛ. Ἤκουσα κᾀγὼ, τηλόθεν μὲν, ἀλλ' ὅμως.
ΧΟ. Μακρὰν γὰρ ἕρπει γῆρυς, ἐμφανής γε μήν.
ΗΛ. Ἀργεῖος ὁ στεναγμὸς, ἢ φίλων ἐμῶν;
ΧΟ. Οὐκ οἶδα· πᾶν γὰρ μίγνυται μέλος βοῆς.
ΗΛ. Σφαγὴν ἀϋτεῖς τήνδε μοι· τί μέλλομεν;
ΧΟ. Ἔπισχε, τρανῶς ὡς μάθῃς τύχας σέθεν.
ΗΛ. Οὐκ ἔστι, νικώμεσθα· ποῦ γὰρ ἄγγελοι;
ΧΟ. Ἥξουσιν· οὔτοι βασιλέα φαῦλον κτανεῖν.
ΑΓ. Ὦ καλλίνικοι παρθένοι Μυκηνίδες,
Νικῶντ' Ὀρέστην πᾶσιν ἀγγέλλω φίλοις,
Ἀγαμέμνονος δὲ φονέα κείμενον πέδῳ
Αἴγισθον· ἀλλὰ θεοῖσιν εὔχεσθαι χρεών.
ΗΛ. Τίς δ' εἶ σύ; πῶς μοι πιστὰ σημαίνεις τάδε;

---

742. Δοκὼ] δόκησις. 764. Οὔτοι βασιλέα] οὐ γὰρ φαῦλον, οὐδὲ μικρὸν Αἴγισθον ἀνελεῖν.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΗΛΕΚΤΡΑ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ, ΟΡΕΣΤΗΣ, ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ, ΠΥΛΑΔΗΣ.

ΧΟ. Ἔα· τί τοῦτ', ὦ φίλαι; ἠκούσαθ' ὑμεῖς βοῆς, ὡς βροντῆς Διὸς ὑποχθονίου, ἢ ἐγὼ δοκῶ μοι μάτην τοῦτ' αἰσθέσθαι; ἰδού, οἷαι φωναὶ ἐκεῖναι οὐ πάνυτοι ἄσημοι ἐκεῖθεν ἐκπέμπονται· ἀλλὰ σύγ', ὦ δέσποινα, ἔξελθ', ἔξελθ' ὡς τάχος.

ΗΛ. Τί ποτ' ἐστὶν, ὦ φίλαι; πῶς ἔχει ἡμῖν τὰ παρόντα;

ΧΟ. Οὐκ οἶδα, πλὴν ὅτι οἰμωγὴ σύμμικτος ἐξακούεται.

ΗΛ. Κἀγὼ καὶ πόῤῥωθέν γε ᾐσθόμην τοῦτο.

ΧΟ. Πόῤῥωθεν μὲν, ἀλλ' οὖν οὐκ ἀσαφὲς τὸ πρᾶγμα.

ΗΛ. Τί οὖν; τῶν Ἀργείων, ἢ τῶν φίλων ἐστὶν ὁ θρῆνος;

ΧΟ. Ἀγνοοῦμεν· συγκέχυται γὰρ πᾶσα ἡ φωνή.

ΗΛ. Σφαγῆναί με ἄρα δοκεῖς κελεύειν τούτοις· τί οὖν μέλλω;

ΧΟ. Ἐπίσχες, μηδὲν δράσῃς, πρὶν σαφῶς μάθῃς ταῦτα·

ΗΛ. Οὐκ ἔστιν, ἡττήμεθα· ποῦ γὰρ ἄγγελοι ἐκεῖθεν;

ΧΟ. Αὐτίκα· οὐ γὰρ σμικρὸν ἔργον βασιλέα ἀποκτεῖναι;

ΑΓ. Ὦ καλλίνικοι παρθένοι Μυκηνίδες, χαίρετε· ἀγγελίαν γὰρ ἀγαθὴν ὑμῖν ἥκω φέρων· ἴστε γαρ Ὀρέστην μὲν τρόπαιον στήσαντα. Αἴγισθον δὲ, τὸν Ἀγαμέμνονος φονέα, κείμενον ἐν τῷ μέσῳ πτῶμα οἰκτρόν· εὔξασθαι δ' ὑμῖν προσήκει τὰ νικητήρια τοῖς θεοῖς.

ΗΛ. Τίς δὲ σὺ εἶ; καὶ πῶς ἂν πιστεύσαιμι τούτοις;

ΑΓ. Οὐκ οἶσθ᾽ ἀδελφοῦ μ᾽ εἰσορῶσα πρόσπολον;
ΗΛ. Ὦ φίλτατ᾽, ἔκ τοι δείματος δυσγνωσίαν
Εἶχον προσώπου· νῦν δὲ γιγνώσκω σὲ δή.
Τί φής; τέθνηκε πατρὸς ἐμοῦ στυγνὸς φονεύς;
ΑΓ. Τέθνηκε· δίς σοι ταῦθ᾽, ἃ γοῦν βούλει, λέγω.
ΧΟ. Ὦ θεοὶ, Δίκη τε πάνθ᾽ ὁρῶσ᾽, ἦλθές ποτε.
ΗΛ. Ποίῳ τρόπῳ δὲ καὶ τίνι ῥυθμῷ φόνου
Κτείνει Θυέστου παῖδα, βούλομαι μαθεῖν.
ΑΓ. Ἐπεὶ μελάθρων τῶνδ᾽ ἀπήραμεν πόδα,
Εἰσβάντες ἦμεν δίκροτον εἰς ἁμαξιτὸν,
Ἔνθ᾽ ἦν ὁ κλεινὸς τῶν Μυκηναίων ἄναξ.
Κυρεῖ δὲ κήποις ἐν καταῤῥύτοις βεβὼς,
Δρέπων τερείνης μυρσίνης κάρᾳ πλόκους·
Ἰδών τ᾽ ἀϋτεῖ. χαίρετ᾽, ὦ ξένοι, τίνες;
Πόθεν πορεύεσθ᾽, ἔστε τ᾽ ἐκ ποίας χθονός;
Ὁ δ᾽ εἶπ᾽ Ὀρέστης, Θεσσαλοί. πρὸς δ᾽ Ἀλφεὸν
Θύσοντες ἐρχόμεσθ᾽ Ὀλυμπίῳ Διΐ.
Κλύων δὲ ταῦτ᾽ Αἴγισθος, ἐννέπει τάδε·
Νῦν μὲν παρ᾽ ἡμῖν χρὴ συνεστίους ἐμοὶ
Θοίνῃ γενέσθαι· τυγχάνω δὲ βουθυτῶν
Νύμφαις· ἑῷοι δ᾽ ἐξαναστάντες λέχους,
Ἐς ταυτὸν ἥξετ᾽. ἀλλ᾽ ἴωμεν ἐς δόμους,
(Καὶ ταῦθ᾽ ἅμ᾽ ἠγόρευε, καὶ χερὸς λαβὼν,
Παρῆγεν ἡμᾶς,) οὐδ᾽ ἀπαρνεῖσθαι χρεών.
Ἐπεὶ δ᾽ ἐν οἴκοις ἦμεν, ἐννέπει τάδε·
Λούτρ᾽ ὡς τάχιστα τοῖς ξένοις τις αἰρέτω,
Ὡς ἀμφὶ βωμὸν στῶσι χερνίβων πέλας.
Ἀλλ᾽ εἶπ᾽ Ὀρέστης· ἀρτίως ἡγνίσμεθα

ΑΓ. Οὐκ οἶσθ' ἰδοῦσα τὸν ὀπαδὸν Ὀρέστου;

ΗΛ. Ὦ φίλτατε, νῦν σε γινώσκω· πρόσθεν γὰρ τὸ δεδιὼς ἀπεπλάνει τὴν θέαν· τί οὖν φής; τέθνηκεν ὁ τὸν ἐμὸν ἀποκτείνας πατέρα;

ΑΓ. Τέθνηκε πάντως· καὶ εἰ βούλει, δὶς τοῦτο λέγω.

ΧΟ. Ὦ δίκη θεῶν ἡ τὰ πάνθ' ὁρῶσα, ὀψὲ μὲν, ἀλλ' ἦλθες.

ΑΓ. Τῷ δὲ τρόπῳ πέπτωκεν ὁ πολέμιος; διαφέρειμοι γὰρ μαθεῖν τοῦθ' ὅτι μάλιστα.

ΗΛ. Ἀπάραντες γὰρ ἐντεῦθεν, εἰσεβάλομεν εἰς δίκροτον ἁμαξιτὸν, ἔνθ' ὁ κλεινὸς τῶν Μυκηναίων ἄναξ ἐτύγχανε δρεπόμενος ϛεφάνους μυρσίνης ἁπαλῆς ἐκ κήπων καταῤῥύτων· ὃς ἅμ' ἰδὼν ἡμᾶς, χαίρετε, φησὶν, ὦ ξένοι· τίνες δὲ ἐστέ; ποῖ δὴ, καὶ πόθεν; ὁ δὲ Ὀρέϛης, Θεσσαλοὶ, ἔφη· ἀπερχόμεθα δὲ παρὰ τὸν Ἀλφειὸν, Ὀλυμπίῳ θύσοντες Διΐ· ὁ δὲ πρὸς ταῦτα· νῦν μὲν, φησι συνεστίους ὑμᾶς ἐμοὶ γενομένους, χρὴ συνεστιᾶσθαι· τυγχάνω γὰρ βουθυτῶν ταῖς Νύμφαις· ἅμα δὲ ἕῳ ἐξαναστάντες, ἀπελεύσεσθε, ὁπηδήποτε βούλεσθε· ἀλλ' ἴωμεν οἴκαδε· ἅμα δὲ ταῦτα λέγων, παρῆγεν ἡμᾶς τῆς χειρὸς εἰς τὴν οἰκίαν· ἡμῖν δ' οὐκ ἦν ἀποφυγεῖν τὴν ἀξίωσιν· ὡς δὲ ἐγενόμεθα ἔνδον, ἐκέλευσε παρασκευάσαι λουτρὰ τοῖς ξένοις σὺν σπουδῇ, ὡς παριϛῶσι, φησὶ, κἀκεῖνοι περὶ τὸν βωμὸν πλησίον τῶν χερνίβων· ἀλλ' Ὀρέστης, ἀρτίως, ἔφη, λελούμεθα ἐκ ποτα-

---

770. Δίκροτον ἁμαξιτὸν] ἔνθα δύο λεωφόροι δι' ἀλλήλων φέρουσιν, ὃ ἡ συνήθεια, ϛαυροδρόμιον ὀνομάζει· ἢ, δι' οὗ δύω ἅμαξαι, ἀπ' ἐναντίας διέρχονται.

Λουτροῖσι καθαροῖς ποταμίων ῥείθρων ἄπο.
Εἰ δὲ ξένους ἀστοῖσι συνθύειν χρεὼν,
Αἴγισθ', ἕτοιμοι, κοὐκ ἀπαρνούμεσθ', ἄναξ.
Τοῦτον μὲν οὖν μεθεῖσαν ἐκ μέσου λόγον·
Λόγχας δὲ θέντες, δεσπότου φρουρήματα,
Δμῶες, πρὸς ἔργον πάντες ἵεσαν χέρας.
Οἱ μὲν σφαγεῖ' ἀνέφερον, οἱ δ' ἦρον κανᾶ,
Ἄλλοι δὲ πῦρ ἀνῆπτον ἀμφί τ' ἐσχάρας
Λέβητας ὤρθουν· πᾶσα δ' ἐκτύπει στέγη.
Λαβὼν δὲ προχύτας μητρὸς εὐνέτης σέθεν,
Ἔβαλλε βωμοὺς, τοιάδ' ἐννέπων ἔπη·
Νύμφαι πετραῖαι. πολλάκις με βουθυτεῖν
Καὶ τὴν κατ' οἴκους Τυνδαρίδα δάμαρτ' ἐμὴν,
Πράσσοντας, ὡς νῦν, τοὺς δ' ἐμοὺς ἐχθροὺς κακῶς·
Λέγων Ὀρέστην καὶ σέ. δεσπότης δ' ἐμὸς
Τἀναντί' εὔχετ', οὐ γεγωνίσκων λόγους,
Λαβεῖν πατρῷα δώματ'· ἐκ κανοῦ δ' ἑλὼν
Αἴγισθος ὀρθὴν σφαγίδα, μοσχίαν τρίχα
Τεμὼν, ἐφ' ἁγνὸν πῦρ ἔθηκε δεξιᾷ,
Κἄσφαξ', ἐπ' ὤμων μόσχον ὡς ἦραν χεροῖν
Δμῶες· λέγει δὲ σῷ κασιγνήτῳ τάδε·
Ἐκ τῶν καλῶν κομποῦσι τοῖσι Θεσσαλοῖς
Εἶναι τόδ', ὅστις ταῦρον ἀρταμεῖ καλῶς,
Ἵππους τ' ὀχμάζει. λάβε σίδηρον, ὦ ξένε,
Δεῖξον τε φήμην ἔτυμον ἀμφὶ Θεσσαλῶν.

---

800. Πολλάκις με βουθυτεῖν] ἀξιοῦτε, ἢ τοιοῦτό τι ἐννοητέον. 802. Τοὺς δ' ἐμοὺς

μίων ῥείθρων· εἰ δὲ δεῖ καὶ ξένους συνθύειν πολίταις, ἕτοιμοι ἐσμὲν, καὶ οὐκ ἂν ἀπαξιοῖμεν. Τούτων οὖν οὕτω ῥηθέντων, ἀφέντες οἱ φρουροὶ τὰ δόρατα κατὰ χώραν, ἄλλος ἄλλου εἴχοντο ἔργου, οἱ μὲν φέροντες τὸ σφαγεῖον, οἱ δὲ αἴροντες τὰ κανᾶ· καὶ ἄλλοι μὲν ἐπιμελούμενοι τοῦ πυρὸς, ἄλλοι δὲ ὀρθοῦντες τοὺς λέϐητας περὶ τὰς ἐσχάρας· ἐξ ὧν κίνησις ἦν πᾶσιν οἴκοι σὺν κρότῳ πολλῷ. Αἴγισθος δὲ ὁ τὴν σὴν γήμας μητέρα, λαϐὼν τοὺς προχύτας, ἔϐαλλεν ἐπὶ τῶν βωμῶν, ἐπιλέγων τοιαῦτα. Νύμφαι πατρῷαι, δότε ἐμοί τε καὶ τῇ ἐμαυτοῦ γυναικὶ, τῇ Τυνδαρίδι λέγω, πολλάκις ὑμῖν βουθυτεῖν, ἡμᾶς μὲν εὖ πράσσοντας, τοὺς δ' ἐμοὺς πολεμίους δυστυχεῖν, σέτε αἰνιττόμενος καὶ Ὀρέστην· Ὀρέστης δ' αὖ ηὔχετο, ὡς εἰκὸς, τἀναντία φωνῇ ἀσήμῳ ἐγκρατὴς τῶν πραγμάτων γενέσθαι. Ἐκ δὴ τούτου Αἴγισθος λαϐὼν ἐκ τοῦ κανοῦ τὴν μάχαιραν, καὶ ἀποκείρας τῶν τριχῶν τοῦ μόσχου, ἔθηκεν αὐτὰς εἰς τὸ πῦρ· εἶτ' ἀναλαϐόντων τὸν μόσχον τῶν οἰκετῶν ἐπὶ τῶν ὤμων, ἔσφαξεν αὐτόν· κἀκ τούτου ἔφη πρὸς τὸν Ὀρέστην· τῶν σεμνῶν καὶ τοῦτο τίθεται παρὰ Θετταλοῖς, καλῶς τεμεῖν ταῦρον, καὶ ἵππον εὖ δαμάσαι· λαϐὼν οὖν, ὦ ξένε, τὴν μάχαιραν ταύτην, δεῖξον τὴν περὶ τῶν Θεταλῶν

ἐχθροὺς κακῶς] ἀξιοῦτε πράσσειν. 806. Σφαγίδα] μάχαιραν ὡρισμένην ἐπὶ θυσίᾳ. 808. Ὡς ἦραν] ἀναλαϐόντων, ὡς ἔοικε, τῶν ὑπηρετῶν τὸν μόσχον ἐπ' ὤμων· εἰμή τι συναπτέον τὸ ἐπ' ὤμων πρὸς τὸ ἔσφαξεν ἀνωτέρω. 811. Ἀρτεμεῖ] διαιρήσει εἰς μέρη, διατεμεῖ· φήμην γὰρ ἔσχον οἱ Θετταλοὶ καλῶς τοῦτο

Ὁ δὲ εὐκρότητον Δωρίδ' ἁρπάσας χεροῖν,
Ῥίψας ἀπ' ὤμων εὐπρεπῆ πορπάματα.
Πυλάδην μὲν εἵλετ' ἐν πόνοις ὑπηρέτην,
Δμῶας δ' ἀπωθεῖ· καὶ λαβὼν μόσχου πόδα,
Λευκὰς ἐγύμνου σάρκας, ἐκτείνων χέρα.
Θᾶσσον δὲ βύρσαν ἐξέδειρεν, ἢ δρομεὺς
Δισσοὺς διαύλους ἵππιος διήνυσεν,
Κἀνεῖτο λαγόνας. ἱερὰς δ' ἐς χεῖρας
Αἴγισθος ἦθρει. καὶ λοβὸς μὲν οὐ προσῆν
Σπλάγχνοις, πύλαι δὲ καὶ δοχαὶ χολῆς πέλας
Κακὰς ἔφαινον τῷ σκοποῦντι προσβολάς.
Χὼ μὲν σκυθράζει, δεσπότης δ' ἀνιστορεῖ.
Τί χρῆμ' ἀθυμεῖς; ὦ ξέν', ὀῤῥωδῶ τινὰ
Δόλον θυραῖον· ἔστι δ' ἔχθιστος βροτῶν
Ἀγαμέμνονος παῖς πολέμιός τ' ἐμοῖς δόμοις.
Ὁ δ' εἶπε· φυγάδος δῆτα δειμαίνεις δόλον,
Πόλεως ἀνάσσων; οὐχ, ὅπως πευστηρίαν
Θοινασόμεσθα, Φθιάδ' ἀντὶ Δωρικῆς
Οἴσει τις ἡμῖν κοπίδ', ἀποῤῥῆξαι χέλυν;
Λαβὼν δὲ κόπτει. σπλάγχνα δ' Αἴγισθος λαβὼν
Ἤθρει διαιρῶν. τοῦ δὲ νεύοντος κάτω
Ὄνυχας ἐπ' ἄκρους στὰς κασίγνητος σέθεν,
Ἐς σφονδύλους ἔπαισε, νωτιαῖα δὲ

---

ποιεῖν, καὶ ἵππους εὖ δαμάζειν. 823. Πύλαι δὲ καὶ δοχαὶ χολῆς] ἀγγεῖα ταῦτα ἐν τοῖς σπλάγχνοις, δι' ὧν τὰ ὑγρὰ κυκλοφοροῦσι 830. Πευστηρίαν] θοίνην, ἢ δαῖταν· ἵνα ᾖ, ὅπως θοινησώμεθα τὰ πευστήρια, περὶ ὧν πυνθανόμεθα. σκοτεινὸν ὅμως ἔμοιγε, καὶ οὐ πάντῃ καταληπτόν· ἡ δὲ Φθιὰς μάχαιρα, δη-

φήμην ἀληθεύουσαν ἔργῳ· ὁ δὲ ἀποσεισάμενος, ἣν ἐτύγχανεν ἐμπεπορπημένος καλὴν χλαμύδα, ἔλαβε παραχρῆμα μάχαιραν Δωρικήν· καὶ ἑλόμενος Πυλάδην μὲν τῶν πόνων συμπράκτορα, ἀπωσάμενος δὲ τοὺς ἄλλους, καὶ λαβόμενος τοῦ ποδὸς τοῦ μόσχου ἐξέδειρε, θᾶττον τὴν σάρκ' ἀπογυμνώσας, ἢ ὥστε δρομέα δὶς τὸ στάδιον διϊππεῦσαι· εἶθ' οὕτω τῶν λαγόνων διαιρεθέντων, λαβὼν Αἴγισθος τὰ ἱερὰ εἰς χεῖρας, ἐθεᾶτο· καὶ τὸ ἧπαρ ἦν ἄλοβον· αἱ δὲ πύλαι καὶ δοχαὶ πλησίον τῆς χολῆς προὔφαινον αὐτῷ σκοποῦντι οὐ πάνυ τοι αἴσια, ἐξ ὧν ὁ μὲν σκυθρωπὸς ὅλως ἦν, Ὀρέστης δ' οὑμὸς δεσπότης πυνθάνεται τὴν αἰτίαν, τί ποθ' οὕτως ἀθύμως ἔχει· ὁ δὲ, δόλον τινὰ, φησὶν, ὦ ξένε, ὑφορῶμαι θυραῖον· ὁ γὰρ παῖς Ἀγαμέμνονος ἔχθιςός μοι πάντων ἀνθρώπων ὢν, πολεμεῖ μοι καὶ τῷ ἐμῷ οἴκῳ· ὁ δὲ πρὸς ταῦτα, φυγάδος ἀνδρὸς δόλον δέδιας, ὁ τοιαύτης πόλεως κρατῶν; δότω μοί τις ἀντὶ τῆς Δωρικῆς κοπίδα Φθιάδα, ἵνα διαῤῥήξω τὸ ςῆθος τοῦ θύματος· εἶθ' οὕτως, ἐξετάσεως γενομένης ἀκριβεστέρας, εὐοχησώμεθα· Οὕτως οὖν λαβὼν τὴν κοπίδα, διέῤῥηξε· τοῦ δ' Αἰγίσθου κύψαντος, καὶ ἀνελεγομένου τῶν σπλάγχνων ἕκαστα τῇ χειρὶ, καὶ σκοποῦντος, ἀνατεινάμενος ὄπισθεν Ὀρέστης ἐπ' ἄκροις τοῖς δακτύλοις, κατιεὶς σὺν φορᾷ πολλῇ τὴν κοπίδα

---

λον, ὡς μείζων ἦν τῆς Δωρίδος, ᾗ ἔμελλε καὶ αὐτὸν τὸν ζῶντα ἔτι ταῦρον φονεύσειν. 833. Σπλάγχνα] τὰ ἀνώτατα δοκεῖ ταῦτ' εἶναι τῶν ἐν τῷ ςήθει, εἴγε ἐτύγχανε τἄλλα προσκοπήσας· εἰμήτις ἐκλάβοι τὸ Χέλυς, οὐχὶ ἐπὶ τοῦ ςήθους τοῦ ταύρου, ἀλλ' ἐπὶ τῆς χελώνης.

Ἔῤῥηξεν ἄρθρα. πᾶν δὲ σῶμ' ἄνω κάτω
Ἤσπαιρεν, ἠλάλαζε δυσθνῆσκον φόνῳ.
Δμῶες δ' ἰδόντες εὐθὺς ἦξαν ἐς δόρυ,
Πολλοὶ μάχεσθαι πρὸς δύ'. ἀνδρίας δ' ὕπο
Ἔστησαν ἀντίπρωρα σείοντες βέλη
Πυλάδης Ὀρέστης τ'. εἶπε δ'. οὐχὶ δυσμενὴς
Ἥκω πόλει τῇδ', οὐδ' ἐμοῖς ὀπάοσιν,
Φονέα δὲ πατρὸς ἀντετιμωρησάμην
Τλήμων Ὀρέστης. ἀλλὰ μή με κτείνετε,
Πατρὸς παλαιοὶ δμῶες. οἱ δ', ἐπεὶ λόγων
Ἤκουσαν ἔσχον κάμακας· ἐγνώσθη δ' ὕπο
Γέροντος ἐν δόμοισιν ἀρχαίου τινός·
Στέφουσι δ' εὐθὺς σοῦ κασιγνήτου κάρα
Χαίροντες, ἀλαλάζοντες. ἔρχεται δέ σοι
Κάρα 'πιδείξων, οὐχὶ Γοργόνος φέρων,
Ἀλλ' ὃν στυγεῖς Αἴγισθον· αἷμα δ' αἵματος
Πικρὸς δανεισμὸς ἦλθε τῷ θανόντι νῦν.

ΧΟ. Θὲς εἰς χορὸν, ὦ φίλα, ἴχνος. (Στρ.)
Ὡς νεβρὸς, οὐράνιον
Πήδημα κουφίζουσα σὺν ἀγλαΐᾳ.
Νικᾷ, στεφανηφορίαν
Κρείσσω τῆς παρ' ἀλφειοῦ ῥεέθροις τελέσας
Κασίγνητος σέθεν· ἀλλ' ἐπάειδε
Καλλίνικον ᾠδὰν ἐμῷ χορῷ·

ΗΛ. Ὦ φέγγος, ὦ τέθριππον ἡλίου σέλας,
Ὦ γαῖα καὶ νὺξ, ἣν ἐδερκόμην πάρος,
Νῦν ὄμμα τοὐμὸν ἀμπτυχαί τ' ἐλεύθεροι,

---

857. Νικᾷ] οὕτω μᾶλλον γραπτέον ἄλλοθεν ἀντὶ τοῦ, Νίκης.

κατὰ τῶν σφονδύλων, διέῤῥηξεν αὐτῷ τὰ νῶτα· ὁ δὲ ἀνασκιρτήσας, πέπτωκεν ἄθλιος ἀλαλάζων καὶ ἀσπαίρων· οἱ δὲ ὀπαδοὶ, ἰδόντες τὸ πεπραγμένον, ἀνεπήδησαν εὐθὺς ἐπὶ τὰ ὅπλα, πολλοὶ πρὸς δύο προσφερόμενοι μάχεσθαι. Ὀρέστης δὲ καὶ Πυλάδης, συστραφέντες ἐν ἑαυτοῖς, ἔστησαν ἀπ' ἐναντίας, διηγκυλισμένοι τὰ δόρατα, ὡς δεξόμενοι, κἀν τούτῳ φθὰς Ὀρέστης, εἶπε πρὸς ἐκείνους τοιαῦτα. Ἴστε με ὑμεῖς πάντες Ὀρέστην τὸν δύστηνον ὄντα, τὸν μὲν τοῦ ἐμαυτοῦ πατρὸς φονέα ἐλθόντα τιμωρησόμενον, τῇ δὲ πόλει καὶ τοῖς ἐμαυτοῦ οἰκέταις οὐδὲν ἀνεπιτήδειον βουλόμενον πρᾶξαι· διὸ ἀπέχεσθέ μου ὑμεῖς, ἀρχαῖοι τοῦ ἐμοῦ πατρὸς ὄντες λάτραι, μήδ' ἀποκτείνητέ με. Τούτων οὖν οὕτως εἰρημένων, κατέθεντο ἐκεῖνοι τὰ ὅπλα εὐθὺς, καὶ γνωσθέντα τὸν Ὀρέστην ὑπὸ γέροντός τινος. ἔστεψαν αὐτὸν χαίροντές τε καὶ ἀλαλάζοντες· καὶ νῦν ἥκει κομίζων σοι, οὐ τὴν τῆς Γοργόνος, ὡς ἄλλος Περσεὺς κεφαλὴν, ἀλλ' αὐτοῦ τοῦ στυγητοῦ σοι Αἰγίσθου τὸ πτῶμα. Οὕτως οὖν ἐκεῖνος ἀπέτισεν, ἃ κατέφαγε γίγαρτα, αἵματι τὸ αἷμα ἀπομορξάμενος.

ΧΟ. Ὦ φίλη Ἠλέκτρα, εἰς χορὸν ἤδη εὐτρέπιζε τὸν πόδα, ἐφ' ᾧ, ὡς νεβρὸς, ἀναπηδῆσαι πρὸς οὐρανὸν εὐθύμως, μηδὲ μέλλε· νικᾷ γὰρ Ὀρέστης νίκην στεφανηφόρον τῆς ἐν Ὀλυμπίᾳ πολλῷ κρείττω· διὸ ᾆσον ᾠδὴν ἐμοὶ τῇ χορευούσῃ ἤδη.

ΗΛ. Ὦ φῶς λαμπρὸν τοῦ τὸν οὐρανὸν ἐν τεθρίππῳ περιπολοῦντος ἡλίου· ὦ γῆ, καὶ νὺξ ἡ πρίν· νῦν γὰρ τοὐμὸν

Ἐπεὶ πατρὸς πέπτωκεν Αἴγισθος φονεύς.
Φέρ', οἷα δὴ 'γὼ καὶ δόμοι κεύθουσί μου
Κόμης ἀγάλματ', ἐξενέγκωμαι, φίλαι,
Στέψω τ' ἀδελφοῦ κρᾶτα τοῦ νικηφόρου.

ΧΟ. Σὺ μέν νυν ἀγάλματ' ἄειρε (Ἀντ.)
Κρατί· τὸ δ' ἁμέτερον
Χωρήσεται Μούσαισι χόρευμα φίλον·
Νῦν οἱ πάρος ἁμέτεροι
Γαίας τυραννεύσουσι φίλοι βασιλῆς,
Δικαίως τοὺς ἀδίκους καθελόντες·
Ἀλλ' ἴτω ξύναυλος βοὰ χαρᾷ.

ΗΛ. Ὦ καλλίνικε, πατρὸς ἐκ νικηφόρου
Γεγὼς, Ὀρέστα, τῆς ὑπ' Ἰλίῳ μάχης,
Δέξαι κόμης σῆς βοστρύχῳ 'ναδήματα·
Ἥκεις γὰρ οὐκ ἀχρεῖον ἔκπλεθρον δραμὼν
Ἀγῶν' ἐς οἴκους, ἀλλὰ πολέμιον κτανὼν
Αἴγισθον, ὃς σὸν πατέρα κἀμὸν ὤλεσε.
Σύ τ', ὦ παρασπίς', ἀνδρὸς εὐσεβεστάτου
Παίδευμα, Πυλάδη, στέφανον ἐξ ἐμῆς χερὸς
Δέχου· φέρῃ γὰρ καὶ σὺ τῷδ' ἴσον μέρος
Ἀγῶνος· ἀεὶ δ' εὐτυχεῖς φαίνοισθέ μοι.

ΟΡ. Θεοὺς μὲν ἡγοῦ πρῶτον, Ἠλέκτρα, τύχης
Ἀρχηγέτας τῆσδ', εἶτα κἄμ' ἐπαίνεσον,
Τὸν τῶν θεῶν τε, τῆς τύχης θ' ὑπηρέτην.
Ἥκω γὰρ οὐ λόγοισιν, ἀλλ' ἔργοις, κτανὼν
Αἴγισθον· ὡς δέ τῳ σάφ' εἰδέναι τάδε
Προθῶμεν, αὐτὸν τὸν θανόντα σοι φέρω,
Ὃν, εἴτε χρῄζεις, θηρσὶν ἁρπαγὴν πρόθες,
Ἢ σκῦλον οἰωνοῖσιν, αἰθέρος τέκνοις,

ὄμμα ἀνοίγεται ἐλευθέρως πρὸς αἰθέρα, Αἰγίσθου δόντος δίκην· ἀλλὰ φέρ' ἐξενέγκω οἶά μοι κόμης ἀγάλματα κεῖται ἔνδον, ὅπως τὴν νικηφόρον κεφαλὴν τοῦ Ὀρέστου στέψω.

ΧΟ. Σὺ μὲν ἀμφὶ ταῦτ' ἔχε· ἐγὼ δὲ χορὸν στήσω φίλον Μούσαις· νῦν γὰρ ἄρξουσιν Ἄργους δικαίως οἱ πρὶν φίλοι ὄντες. ἄρδην τοὺς πρὶν ἀδίκους ἐξελόντες· ἀλλ' ἴτε, ᾄδετε σὺν αὐλοῖς εὐφραινόμενοι.

ΗΛ. Ὦ πατρὸς καλλινίκου ἐν Τροίᾳ καλλίνικον βλάστημα, φίλτατε Ὀρέστα, δέξαι ἐπὶ τῆς σεαυτοῦ κεφαλῆς τἀναδήματα ταῦτα· σὺ γὰρ τόνδε τὸν ἀγῶνα οὐκ ἄχρηστον ἡμῖν τυγχάνεις ἠγωνισμένος, τὸν τοῦ πατρὸς ἡμῶν καταγωνισάμενος φονέα· σύ τε, ὦ Πυλάδη, παῖδευμ' ἀγαθὸν ἀνδρὸς εὐσεβεστάτου, δέξαι καὶ αὐτὸς παρὰ τῆς ἐμῆς χειρὸς τόνδε τὸν στέφανον ὁμοίως, ὡς τὸ ἴσον τοῦ ἀγῶνος καὶ αὐτὸς συμπράξας τούτῳ· εἴητε δέ μοι ἄμφω εὐτυχεῖς.

ΟΡ. Ἠλέκτρα τῷ θεῷ πρῶτον καὶ τῇ τύχῃ ἀποδοῦσα τὰ τοιαῦτα, οὕτω κἀμὲ ἐπαίνει τὸν τῶν θεῶν καὶ τῆς τύχης ὑπηρέτην· ἥκω γὰρ Αἴγισθον ἀποκτείνας· καὶ ἵνα μὴ κόμπους λόγων δόξω τισὶ συνείρειν, ἀλλ' ἔργων ἀλήθεια εἴη, πάρεστι τὸ πτῶμα τοῦ πολεμίου· σὺ δὲ ποίει περὶ αὐτοῦ ὅ,τι βούλῃ, κἂν σπάραγμα ἐθέλῃς προθεῖναι τοῖς κυσὶ ἐκεῖνο, κἂν βορὰν τοῖς πτηνοῖς,

---

877. Βοστρύχῳ] ἐν ἄλλοις κεῖται βοστρύχων.

Πήξασ' ἔρεισον σκόλοπι· σὸς γὰρ ἔστι νῦν
Δοῦλος, πάροιθε δεσπότης κεκλημένος.
ΗΛ. Αἰσχύνομαι μὲν, βούλομαι δ' εἰπεῖν ὅμως.
ΟΡ. Τί χρῆμα; λέξον, ὡς φόβου γ' ἔξωθεν εἶ.
ΗΡ. Νεκροὺς ὑβρίζειν, μή μέ τις φθόνῳ βάλῃ.
ΟΡ. Οὐκ ἔστιν οὐδεὶς, ὅστις ἂν μέμψαιτό σοι.
ΗΡ. Δυσάρεστος ἡμῶν καὶ φιλόψογος πόλις.
ΟΡ. Λέγ', εἴ τι χρῄζεις, σύγγον'· ἀσπόνδοισι γὰρ
Νόμοισιν ἔχθραν τῷδε συμβεβλήκαμεν.
ΗΛ. Εἶεν· τίν' ἀρχὴν πρῶτά σ' ἐξείπω κακῶν;
Ποίας τελευτάς; τίνα μέσον τάξω λόγον;
Καὶ μὴν δἰ ὄρθρων γ' οὔποτ' ἐξελίμπανον
Θρυλλοῦσ', ἅ γ' εἰπεῖν ἤθελον κατ' ὄμμα σὸν,
Εἰ δὴ γενοίμην δειμάτων ἐλευθέρα
Τῶν πρόσθε· νῦν οὖν ἐσμέν· ἀποδώσω δέ σοι
Ἐκεῖν', ἅ σε ζῶντ' ἔθελον λέξαι κακά.
Ἀπώλεσάς με κὠρφανὴν φίλου πατρὸς
Καὶ τόνδ' ἔθηκας, οὐδὲν ἠδικημένος,
Κἄγημας αἰσχρῶς μητέρ', ἄνδρα τ' ἔκτανες
Στρατηλατοῦνθ' Ἕλλησιν, οὐκ ἐλθὼν Φρύγας.
Ἐς τοῦτο δ' ἦλθες ἀμαθίας, ὥστ' ἤλπισας,
Ὡς ἐς σὲ μὲν δὲ μητέρ' οὐχ ἕξεις κακὴν
Γήμας, ἐμοῦ δὲ πατρὸς ἠδίκεις λέχη.
Ἴστω δ', ὅταν τὶς, διολέσας δάμαρτά του
Κρυπταῖσιν εὐναῖς, εἶτ' ἀναγκασθῇ λαβεῖν,

---

909. Ἀπώλεσάς με] δίκαια ταῦτα παρέχεται Ἠλέκτρα, ἐφ' οἷς Αἴγισθος ἀπέ-

ἀνασκολοπίσασα· σὸς γὰρ ἤδη πρόκειται δοῦλος, ὁ μικρὸν πρόσθεν δεσπότης καλούμενος.

ΗΛ. Αἰσχύνομαι μὲν εἰπεῖν, οὐκ ἀποκρύψομαι δέ.

ΟΡ. Τίνα δὲ ποτὲ φοβῇ, ὥστε λέγειν παῤῥησίᾳ;

ΗΛ. Οὐκ ἂν ἑκοῦσα εἰς νεκροὺς ἐξυβρίσαιμι.

ΟΡ. Τίς γὰρ ἂν εἴη, ὅστις καὶ μέμψαιτό σε;

ΗΛ. Φιλεῖγε πᾶς τις τῶν ἐν τῇ πόλει ψέγειν.

ΟΡ. Σὺ δ' οὖν λέγε τούτῳ ὅ,τι δήποτε βούλει· ἄσπονδος γὰρ ἡμῖν και ἀκήρυκτος κεκήρυκτο πόλεμος πρὸς τούτους.

ΗΛ. Καὶ μὴν ποιήσω γε τοῦτο· ἀλλὰ τὶ πρῶτον, τὶ δὲ μέσον, τὶ δὲ ὕστατον τῶν κακῶν πρὸς σὲ, ὦ κίναδος, καταλέξω· καὶ γὰρ ἅμα μὲν ἐξεγειρομένη τοῦ ὕπνου, ἐμελέτων, ἃ προσῆκον ἦν εἰπεῖν πρὸς σὲ παῤῥησίᾳ· τῷ δὲ τῶν προϋπαρξάντων φόβῳ ἀνεκοπτόμην· νῦν δ' οὖν ἐλευθέρα εἰμὶ τούτου· ταῦτα δὴ, ἅσοι τότε ζῶντι ἠβουλόμην εἰπεῖν, ἐρῶ γε νῦν τεθνηκότι· οἶσθα γὰρ, ὅπως ἀπώλεσας ἀμφοτέρους ὑμᾶς, ὀρφανοὺς πατρὸς καταστήσας, μηδὲν προπαθὼν, ἄνδρα στρατηγὸν τῶν Ἑλλήνων ἀποκτείνας, αὐτὸς μήποτ' ἰδὼν Φρύγας τὸ παράπαν· κᾆτα τὴν ἡμῶν μητέρα ἔγημας αἰσχρῶς· ἐς τοῦτο γὰρ ἐλήλυθας ἀμαθίας, ὥστ' ᾠήθης γήμας μὴ ἂν κακὴν πρὸς σὲ τὴν ἐμὴν γενέσθαι μητέρα· ἠδίκεις δὲ τὴν τοῦ ἐμοῦ πατρὸς εὐνὴν, συγγενόμενος ἐκείνῃ· καί τι ἐχρῆν σε συμβαλεῖν κατὰ νοῦν, ὡς οὐδεὶς ἂν εἴη, ὅστις διαφθείρας ἀλλοτρίαν γυναῖκα λάθρα, εἶτε λαβὼν ἀνάγκῃ,

---

θανεν· ἃ ἔδει πρὸ τοῦ θανάτου εἰπεῖν πρὸς αὐτὸν, εἶθ' οὕτως ὡς ἀπὸ δίκης φονεύειν· ἀλλὰ τίς ἂν ἐτόλμησε, δυνατοῦ ὄντος αὐτοῦ; πρὸς γεμὴν τὴν μητέρα κατωτέρω κατώρθωσε τοῦτο ἡ Ἠλέκτρα τεχνικῶς, ἀγνοούσης ἐκείνης·

Δύστηνός ἐστιν, εἰ δοκεῖ τὸ σωφρονεῖν
Ἐκεῖ μὲν αὐτὴν οὐκ ἔχειν, παρ' οἷ δ' ἔχειν.
Ἄλγιστα δ' ᾤκεις, οὐ δοκῶν οἰκεῖν κακῶς.
Ἤδησθα γὰρ δῆτ' ἀνόσιον γήμας γάμον,
Μήτηρ δέ σ' ἄνδρα δυσσεβῆ κεκτημένη.
Ἄμφω πονηρὼ δ' ὄντ', ἀφαιρεῖσθον τύχην,
Κείνη τε τὴν σὴν, καὶ σὺ τοὐκείνης κακόν.
Πᾶσιν δ' ἐν Ἀργείοισιν ἤκουες τάδε·
Ὁ τῆς γυναικὸς, οὐχὶ τἀνδρὸς ἡ γυνή.
Καίτοι τόδ' αἰσχρὸν, προστατεῖν γε δωμάτων
Γυναῖκα, μὴ τὸν ἄνδρα· κἀκείνους στυγῶ
Τοὺς παῖδας, ὅστις τοῦ μὲν ἄρσενος πατρὸς
Οὐκ ὠνόμασται. τῆς δὲ μητρὸς ἐν πόλει.
Ἐπίσημα γὰρ γήμαντι καὶ μείζω λέχη,
Τἀνδρὸς μὲν οὐδεὶς, τῶν δὲ θηλειῶν λόγος.
Ὃ δ' ἠπάτα σε πλεῖστον οὐκ ἐγνωκότα,
Ηὔχεις τις εἶναι, τοῖσι χρήμασι σθένων·
Τὰ δ' οὐδὲν, εἰ μὴ βραχὺν ὁμιλῆσαι χρόνον.
Ἡ γὰρ φύσις βέβαιος, οὐ τὰ χρήματα.
Ἡ μὲν γὰρ ἀεὶ παραμένουσ' αἴρει κάρα.
Ὁ δ' ὄλβος ἄδικος καὶ μετὰ σκαιῶν ξυνὼν,
Ἐξέπτατ' οἴκων, σμικρὸν ἀνθήσας χρόνον.
Ἃ δ' ἐς γυναῖκας, (παρθένῳ γὰρ οὐ καλὸν
Λέγειν) σιωπῶ, γνωρίμως δ' αἰνίξομαι.
Ὕβριζες, ὡς δὴ βασιλικοὺς ἔχων δόμους,

---

923. Ἀφαιρεῖσθον τύχην] πονηροὶ ὄντες ἄμφω, τὰ ἀλλήλων ἀνῄρησθε ἐλαττώματα, ἐκείνη μὲν τὴν σὴν κακὴν τύχην, σὺ δὲ τὴν ἐκείνης φαυλότητα.

οὐκ ἂν εἴη δυστυχὴς, εἴγε πιστεύοι ἐκείνη σωφρονήσειν παρ' αὐτῷ τὴν προδοῦσαν τὰ πρῶτα· κακῶς δὲ συνῴκεις ὁ τῆς ἄλλοις δοκῶν καλῶς· συνήδεις γὰρ αὐτός τε ἀνόσιον γήμας γάμον, καὶ ἡ μήτηρ ἄνδρα δυσεβῆ καὶ μιαρὸν γημαμένη· ἀμφότεροι δὲ πονηροὶ ὄντες καὶ τῆς ἀλλήλων κακίας μετεσχηκότες, ἀνελάβετε, ἐκεῖνοι μὲν τὴν σὴν τύχην, σὺ δὲ τὴν κακίαν ἐκείνης· ὥσθ' οἱ Ἀργεῖοι ὁρῶντες, ἐχλεύαζον λέγοντες περὶ σοῦ, οὗτος οὐκ ἔστιν ἀνὴρ γυναικὸς, ἀλλὰ γυνὴ ἀνδρός· καί τοι αἰσχρὸν δήπου τοῦτόγε οὐχὶ τὸν ἄνδρα, ἀλλὰ τὴν γυναῖκα προστάτην τοῦ οἴκου εἶναι· ἐγὼ δὲ κἀκεῖνο ἂν μεμψαίμην δικαίως, εἴτις οὐκ ἀπὸ τοῦ πατρὸς, ἀλλὰ μητρόθεν ἐθέλει παρονομάζεσθαι· εἰ γὰρ τῆς γυναικὸς ὁ γάμος ἐπισημότερος εἴη, τότε τοῦ μὲν ἀνδρὸς οὐδεὶς, τῆς δὲ γυναικὸς πολὺς ἔσται λόγος παρὰ πᾶσιν· ὃ δὲ πρὸ πάντων δοκεῖς ἐξηπατῆσθαι ἐκ πολλῆς σκαιότητος καὶ κακοηθείας· ἤλπισας γὰρ εἶναί τις, γενόμενος πλούσιος· ἀλλὰ τοῦτ' οὐδὲν, ἢ πρὸς βραχὺ κομπάσαι· μόνη γὰρ ἡ φύσις καὶ ἀρετὴ οὖσα βέβαιος, πᾶν κακὸν ἀφαιρεῖται τῷ χρόνῳ· ἡ δ' ἄδικος κτῆσις, καὶ ταῦτα κακῶν χερσὶν ἐμπεσοῦσα, ἐξίπταται μικρὸν ἀνθήσασα χρόνον. Ἃ δ' ἐπὶ τούτοις ἐς γυναῖκας λέγειν με δεῖ, παραλείπω· οὐ γὰρ ὁρῶ εὐπρεπές μοι ὂν, εἰς τοιούτους λόγους ἐμαυτὴν ἐμβαλεῖν, παρθένος οὖσα· αἰνίξομαι δέγε ὡς συνειδότι μόνον· βασιλικοὺς γὰρ οἴκους ἔχων,

927. Ὁ τῆς γυναικὸς] ὑπήκοος, ὑποδεὴς, ἢ τοιοῦτό τι.

Κάλλει τ' ἀραρώς· ἀλλ' ἐμοί γ' εἴη πόσις
Μὴ παρθενωπὸς, ἀλλὰ τἀνδρείου τρόπου.
Τὰ γὰρ τέκν' αὐτῶν Ἄρεος ἐκκρεμάννυται·
Τὰ δ' εὐπρεπῆ δὴ κόσμος ἐν χοροῖς μόνον·
Ἔῤῥ', οὐδὲν εἰδὼς, ὧν, ἐφευρεθεὶς χρόνῳ,
Δίκην δέδωκας· ὧδέ τις κακοῦργος ὢν,
Μή μοι, πρῶτον βῆμ' ἐὰν δράμῃ καλῶς,
Νικᾷν δοκείτω τὴν δίκην, πρὶν ἂν πέλας
Γραμμῆς ἵκηται, καὶ τέλος κάμψῃ βίου.

ΧΟ. Ἔπραξε δεινά· δεινὰ δ' ἀντέδωκέ σοι
Καὶ τῷδ'· ἔχει γὰρ ἡ Δίκη μέγα σθένος.

ΟΡ. Εἶεν· κομίζειν τοῦδε σῶμ' ἔσω χρεὼν
Σκότῳ τε δοῦναι, δμῶες, ὡς, ὅταν μόλῃ
Μήτηρ, σφαγῆς πάροιθε μὴ 'σίδῃ νεκρόν.

ΗΛ. Ἐπίσχες· ἐμβάλωμεν εἰς ἄλλον λόγον.

ΟΡ. Τί δ'; ἐκ Μυκηνῶν μῶν βοηδρόμους ὁρᾷς;

ΗΛ. Οὐκ, ἀλλὰ τὴν τεκοῦσαν, ἥ μ' ἐγείνατο.

ΟΡ. Καλῶς ἄρ' ἄρκυν ἐς μέσην πορεύεται.

ΗΛ. Καὶ μὴν ὄχοις γε καὶ στολῇ λαμπρύνεται.

ΟΡ. Τί δῆτα δρῶμεν; μητέρ' ἦ φονεύσομεν;

ΗΛ. Μῶν σ' οἶκτος εἷλε, μητρὸς ὡς εἶδες δέμας;

ΟΡ. (Φεῦ.) πῶς γὰρ κτάνω νιν, ἥ μ' ἔθρεψε κἄτεκεν;

ΗΛ. Ὥσπερ πατέρα σὸν ἥδε κἀμὸν ὤλεσεν.

ΟΡ. Ὦ Φοῖβε, πολλήν γ' ἀμαθίαν ἐθέσπισας, —

ΗΛ. Ὅπου δ' Ἀπόλλων σκαιὸς ᾖ, τίνες σοφοί;

ΟΡ. Ὅστις μ' ἔχρησας μητέρ', ἣν οὐ χρῆν κτανεῖν.

ΗΛ. Βλάπτει δὲ δὴ τί, πατρὶ τιμωρῶν σέθεν;

καὶ κάλλει μάλιστα ἀγαλλόμενος, ἐξύβριζες ἐς τοὺς ἄλλους· ἀλλ' ἔμοιγ' εἴη ἀνδρὸς τυχεῖν οὐ θηλυδρίου, ἀλλ' ἀῤῥενωποῦ μάλιστα καὶ ἀρίστου· τὰ γὰρ τῶν τοιούτων τέκνα πρὸς Ἄρην ὀργῶσιν· ἃ δ' ἐπὶ κάλλει κομπάζει, μόνον χοροῖς διαπρέποιεν ἄν· Ἔῤῥε τοίνυν, ὡς μηδὲν εἰδὼς, οἷς ὀψὲ ληφθεὶς, ἀξίαν δέδωκας δίκην· οὕτως οὖν πᾶς κακοῦργος, εἰ τὸ πρῶτον βῆμα εὖ αὐτῷ προχωροίη, μὴ θαῤῥείτω νικήσας τὴν δίκην πρὶν ἐς πέρας ἐλθεῖν τοῦ βίου, καταλαβόντα τὸν καμπτῆρα.

ΧΟ. Ὡς ἰσχυρὸν ἡ Δίκη· οἷα γὰρ ἔπραξεν, ἔπαθε.

ΟΡ. Εἶεν· νῦν δ' ὑμεῖς, ὀπαδοὶ, λαβόντες τὸν νεκρὸν, εἰσκομίσατε εἴσω πῃ ἐν τῷ σκότῳ, ἵνα μὴ ἡ μήτηρ ἐλθοῦσα, ἴδῃ αὐτὸν, πρὶν ἢ καὶ αὐτὴν δοῦναι δίκην.

ΗΛ. Ἐπίσχες· ἐφ' ἕτερα νῦν τῷ λόγῳ τρεπώμεθα.

ΟΡ. Τί δέ; ὁρᾷς τινας ἐξ Ἄργους ἐρχομένους;

ΗΛ. Καὶ μὴν ὁρᾶν δοκῶ αὐτήν μοι τὴν μητέρα.

ΟΡ. Ῥαδίως ἄρα ἐμπεσεῖται εἰς τὰς ἄρκεις.

ΗΛ. Ὥς γε μεγαλοπρεπὴς ἐστὶ τῇ στολῇ καὶ τῇ ἀπήνῃ.

ΟΡ. Τί οὖν σοι δοκεῖ; ἆρα φονευτέον ἐκείνην;

ΗΛ. Οἰκτείρεις σύγ' αὐτὴν, ἅμα ἰδὼν το σῶμα;

ΟΡ. Πῶς γὰρ οὒ, τὴν θρέψασάν με καὶ τεκοῦσαν;

ΗΛ. Τί δ', ὅτι καὶ αὐτὴ τὸν πατέρα ἡμῶν ἀνεῖλε;

ΟΡ. Ὦ Φοῖβε, ὡς ἀμαθῶς μοι ἐκ τρίποδος ἀνεῖλες.

ΗΛ. Εἰ Ἀπόλλων ἀμαθὴς, τίς ἂν εἴη ποτὲ σοφός;

ΟΡ. Ὃς ἔχρησάς μοι φονεῦσαι τὴν μητέρα.

ΗΛ. Τί γὰρ κωλύει, τῷ σαυτοῦ πατρὶ τιμωροῦντα;

---

957. Ἐπίσχες] Ἠλέκτρα, ἰδοῦσα τὴν μητέρα πόῤῥωθεν ἥκουσαν, τρέπεται εἰς ἄλλους περὶ ἐκείνης λόγους.

ΟΡ. Μητροκτόνος νῦν φεύξομαι, τόθ' ἁγνὸς ὤν.
ΗΛ. Καὶ, μή γ' ἀμύνων πατρὶ, δυσσεβὴς ἔσῃ.
ΟΡ. Ἐγὼ δε μητρὶ τοῦ φόνου δώσω δίκας.
ΗΛ. Τῷ δ' αὖ πατρῴαν διαμεθεὶς τιμωρίαν.
ΟΡ Ἆρ' αὔτ' ἀλάστωρ' εἶπ', ἀπεικασθεὶς θεῷ;
ΗΗ Ἱερὸν καθίζων τρίποδ'; ἐγὼ μὲν οὐ δοκῶ.
ΟΡ. Οὐδ' ἂν πιθοίμην εὖ μεμαντεῦσθαι τάδε.
ΗΛ· Οὐ μὴ κακισθεὶς, εἰς ἀνανδρίαν πέσῃς.
ΟΡ. Ἀλλ' ἦ τὸν αὐτὸν τῇδ' ὑποστήσω δόλον;
ΗΛ. 'Ω Καὶ πόσιν καθεῖλες Αἴγισθον κτανών.
ΟΡ. Εἴσειμι· δεινοῦ δ' ἄρχομαι προβλήματος.
Καὶ δεινὰ δράσσω γ'· εἰ θεοῖς δοκεῖ τάδε,
Ἔστω· πικρὸν δὲ χἡδὺ τἀγώνισμά μοι.
ΧΟ. Ἰώ! Βασίλεια γύναι χθονὸς Ἀργείας,
Παῖ Τυνδαρέου,
Καὶ τοῖν ἀγαθοῖν ξύγγονε κούροιν
Διὸς, οἳ φλογερὰν αἰθέρ' ἐν ἄστροις
Ναίουσι, βροτῶν ἐν ἁλὸς ῥοθίοις
Τιμὰς σωτῆρας ἔχοντες,
Χαῖρε, σεβίζω σ' ἴσα καὶ μάκαρας
Πλούτου μεγάλης τ' εὐδαιμονίας.
Τὰς σὰς δὲ τύχας θεραπεύεσθαι
Καιρὸς, ὦ βασίλεια.
ΚΛ. Ἔκβητ' ἀπήνης, Τρῳάδες, χειρὸς δ' ἐμῆς
Λάβεσθ', ἵν' ἔξω τοῦδ' ὄχου στήσω πόδα.
Σκύλοισι μὲν γὰρ θεῶν κεκόσμηνται δόμοι
Φρυγίοις, ἐγὼ δὲ τάσδε, Τρῳάδος χθονὸς

ΟΛ. Μητροκτόνος ἀκούσω, ἁγνὸς ὢν τὸ πρόσθεν.

ΗΛ. Μῶν ἀσεβήσεις, τῷ τοῦ πατρὸς ἐπεξιὼν θανάτῳ;

ΟΡ. Καὶ γὰρ δώσω δίκην μητροκτονίας.

ΗΛ. Πῶς δ' αὖ προήσῃ τὴν τοῦ πατρὸς τιμωρίαν;

ΟΡ. Μήτις ἀλάστωρ, ὁμοιωθεὶς θεῷ, ἀνεῖλ' ἐκεῖνα;

ΗΛ. Μῶν ἂν εἴη τοῦτο ἐκ τρίποδος γενέσθαι;

ΟΡ. Οὐ γὰρ δοκεῖ μοι ὁ χρησμὸς ὀρθῶς ἔχειν.

ΗΛ. Πῶς; ὅρα μὴ θηλυνθεὶς, μικροψυχίαν ὄφλῃς.

ΟΡ. Τίνι δὲ πρὸς ταύτην καταχρήσωμαι δόλῳ;

ΗΛ. Ὧ καὶ Αἴγισθον ἄρτι καθεῖλες, ἀποκτείνας.

ΟΡ. Ῥιφθήτω κῦβος· οἶδα μέν τοι δεινοῦ τολμήματος ἀρχόμενος, δεινὰ μέλλων δράσειν· ἀλλὰ τί ἄν τις πάθοι θεοῦ κελεύοντος οὕτω, τὸ δ' ἀγώνισμα οὐχ ἁπλοῦν τὶ ἔοικεν· γλυκύπικρον γάρ τινα ἐγκρύπτει φιλοτιμίαν.

ΧΟ. Ἰὼ βασίλισσα τοῦ Ἄργους Τυνδάρου θύγατερ, καὶ ἀδελφὴ τῶν μακαρίων Διοσκούρων· οἳ τὸν λαμπρὸν ἐν ἄστροις κατοικοῦσιν αἰθέρα, οὓς οἱ πλωΐζόμενοι τιμῶσι σωζόμενοι, χαῖρε· μακαρίζω δέ σε ἴσα καὶ δαίμονας τοῦ τε πλούτου καὶ τῆς ἄλλης εὐδαιμονίας· καιρὸς γὰρ, ὦ ὀλβιωτάτη, ἡμῖν τὴν σὴν γεραίρειν τύχην.

ΚΛ. Τρῳάδες, ἐξελθοῦσαι τῆς ἀπήνης, λάβεσθέ μου τῆς χειρὸς, ὡς κατέλθοιμι· οἱ μὲν γὰρ τῶν θεῶν ναοὶ ἄλλοις ἀπὸ τῆς Τρῳάδος λαφύροις κεκόσμηνται· ἐμοὶ δὲ αἵδε,

---

974. Ἀλάστωρ] ὑποπτεύει, μήτις Ἐριννὺς μετασχηματισθεῖσα ἐν τῷ ἱερῷ, τοιοῦτον αὐτῷ χρησμὸν ἀνεῖλεν, ὥστε φονεῦσαι τὴν τεκοῦσαν. 978. Ἀλλ' ἦ] τί δ' οὐχὶ γραπτέον, ἀλλ' ἦ; ἵνα ἦ, ἆρα; 983. Ἰὼ] ἐπὶ χαρᾶς τοῦτο.

Τίς ἂν πατρός σου φόνον ἐκοινώνησέ μοι;
Λέγ', εἴ τι χρήζεις, κἀντίθες παῤῥησίᾳ,
Ὅπως τέθνηκε σὸς πατὴρ οὐκ ἐνδίκως.
ΗΛ. Δίκαι' ἔλεξας· ἡ δίκη δ' αἰσχρῶς ἔχει·
Γυναῖκα γὰρ χρῆν πάντα συγχωρεῖν πόσει,
Ἥτις φρενήρης. εἰ δὲ μὴ δοκεῖ τάδε,
Οὐδ' εἰς ἀριθμὸν τῶν ἐμῶν ἥκεις λόγων.
Μέμνησο, μῆτερ, οὓς ἔλεξας ὑστάτους
Λόγους, διδοῦσα πρὸς σέ μοι παῤῥησίαν.
ΚΛ. Καὶ νῦν γε φημὶ, κοὐκ ἀπαρνοῦμαι, τέκνον.
ΗΛ. Ἆρα κλύουσα, μῆτερ, εἶτ' ἔρξεις κακῶς;
ΚΛ. Οὐκ ἔστι, τῇ σῇ δ' ἡδὺ προσθήσω φρενί.
ΗΛ. Λέγοιμ' ἄν· ἀρχὴ δ' ἥδε μοι προοιμίου.
Εἴθ' εἶχες, ὦ τεκοῦσα, βελτίους φρένας!
Τὸ μὲν γὰρ εἶδος αἶνον ἄξιον φέρει
Ἑλένης τε καὶ σοῦ, δύο δ' ἔφυτε συγγόνω,
Ἄμφω ματαίω Κάστορός τ' οὐκ ἀξίω.
Ἡ μὲν γὰρ ἁρπασθεῖσ' ἑκοῦσ' ἀπώχετο·
Σὺ δ' ἄνδρ' ἄριστον Ἑλλάδος διώλεσας,
Σκῆψιν προτείνουσ', ὡς ὑπὲρ τέκνου πόσιν
Ἔκτεινας· οὐ γὰρ, ὡς ἔγωγ', ἴσασιν εὖ,
Ἥ, τῆς θυγατρὸς πρὶν κεκυρῶσθαι σφαγὰς,
Νέον τ' ἀπ' οἴκων ἀνδρὰ ἐξωρμημένου,
Ξανθὸν κατόπτρῳ πλόκαμον ἐξήσκεις κόμης.
Γυνὴ δ', ἀπόντος ἀνδρὸς, ἥτις ἐκ δόμων
Ἐς κάλλος ἀσκεῖ, διάγραφ' ὡς οὖσαν κακήν.
Οὐδὲν γὰρ αὐτὴν δεῖ θύραισιν εὐπρεπὲς
Φαίνειν πρόσωπον, ἤν τι μὴ ζητῇ κακόν.

κτεινα δὲ, πρὸς ὃν ἠδυνάμην τῶν ἐκείνῳ μεταστᾶσα πολεμίων· τὶς γὰρ τῶν φίλων ἐκοινώνει μοι τοῦ φόνου; εἴτι οὖν τούτων ἀδίκως σοι δοκεῖ πεπρᾶχθαι, λέγε μηδένα δεδοικυῖα.

ΗΛ. Δίκαια μὲν ταῦτα δοκεῖς λέγειν· ἡ δὲ δίκη αἰσχρῶς ἔχει· δεῖ γὰρ δὴ γυναῖκ' οὖσαν συγχωρεῖν τῷ ἀνδρὶ πάντα, εἴγε σωφρονοίη· εἰ δέ σοι μὴ δοκεῖ ταῦτα, μήτε τοῖς ἐμοῖς λόγοις πείθῃ, μέμνησ', ὦ μῆτερ, οὕς μοι τελευταίους εἴρηκας λόγους, διδοῦσά μοι πρός σε χρήσασθαι παῤῥησίᾳ.

ΚΛ. Καὶ νῦν γ' αὖθις διδωμί σοι τὴν αὐτὴν, ὦ τέκνον·

ΗΛ. Ἀλλὰ δέδοικα, ὦ μῆτερ, μήτι κακόν με δράσῃς.

ΚΛ. Οὐκ ἔστιν· ἀλλ' ἡδέως μᾶλλον ἀκούσομαί σου.

ΗΛ. Οὐκοῦν ἔστω μοι προοίμιον τοῦ λόγου τόδε. Εἴθ', ὦ μῆτερ, ὥσπερ τὸ εἶδος, οὕτω καὶ τὴν ψυχὴν βελτίων ἦσθα· ὅρα γὰρ ὅπως σύτε καὶ ἡ Ἑλένη τὰ μὲν ἔξω εὐειδεῖς, οὐ μὴν καὶ τὰ ἔνδον ἀνεπίληπτα πάμπαν, οὐδ' ἀξίως τοῦ Κάϛορος· ἡ μὲν γὰρ ἁρπασθεῖσα, αὐτὴ ἑαυτὴν ἐνέβαλεν εἰς ἀπώλειαν· σὺ δ' αὖ τὸν ἄριστον τῶν Ἑλλήνων γημαμένη, πρόφασιν εὑροῦσ' εὐπρεπῆ, ὡς ὑπὲρ τῆς θυγατρὸς, ἀπετόλμησας αὐτὸν ἀποκτεῖναι· οὐδεὶς γὰρ οἶδε πλὴν ἐμοῦ, ὡς ἔχει ταῦτα ταῖς ἀληθείαις· πρῶτον μὲν γὰρ, ἅμα τοῦ ἐμοῦ πατρὸς ἐκϛρατεύσαντος, πρίν τι παθεῖν τὴν σὴν θυγατέρα, αὐτὴ πρὸς τὸ κάτοπτρον στᾶσα, τοὺς τῆς κόμης ἤσκεις βοστρύχους· καίτοι γυναῖκα εἴπερ ἴδοις, τοῦ ἀνδρὸς απόντος, εἰς κάλλος ἀσκοῦσαν τὰ τοιαῦτα, μηκέτι ἐν τοῖς σώφροσι τίθει· τί γὰρ δεῖ εὐπρεπὲς προφαίνουσα πρόσωπον, ἀκκίζεσθαι πρὸς τοὺς ἔξω, ἤν τι τῶν αἰσχρῶν

Μόνην δὲ πασῶν οἶδ' ἐγὼ σ' Ἑλληνίδων,
Εἰ μὲν τὰ Τρῶ' ἦν εὐτυχῆ, κεχαρμένην,
Εἰ δ' ἥσσον' εἴη, συννεφοῦσαν ὄμματα,
Ἀγαμέμνον' οὐ χρῄζουσαν ἐκ Τροίας μολεῖν.
Καίτοι καλῶς γε σωφρονεῖν παρεῖχέ σοι·
Ἄνδρ' εἶχες οὐ κακίον' Αἰγίσθου πόσιν,
Ὃν Ἑλλὰς αὑτῆς εἵλετο στρατηλάτην·
Ἑλένης δ' ἀδελφῆς τοιάδ' ἐξειργασμένης,
Ἐξῆν κλέος σοι μέγα λαβεῖν· τὰ γὰρ κακὰ
Παράδειγμα τοῖς ἐσθλοῖσιν, εἴσοψίν τ' ἔχει.
Εἰ δ', ὡς λέγεις, σὴν θυγατέρ', ἔκτεινεν πατὴρ,
Ἐγὼ τί σ' ἠδίκησ', ἐμός τε σύγγονος;
Πῶς οὐ, πόσιν κτείνασα, πατρῴους δόμους
Ἡμῖν προσῆψας, ἀλλ' ἀπηνέγκω λέχη
Τἀλλότρια, μισθοῦ τοὺς γάμους ὠνουμένη;
Κοὔτ' ἀντιφεύγει παιδὸς ἀντὶ σοῦ πόσις,
Οὔτ' ἀντ' ἐμοῦ τέθνηκε, δὶς τόσως ἐμὲ
Κτείνας ἀδελφῆς ζῶσαν· εἰ δ' ἀμείψεται
Φόνον δικάζων φόνος, ἀποκτενῶ σ' ἐγὼ,
Καὶ παῖς Ὀρέστης, πατρὶ τιμωρούμενοι·
Εἰ γὰρ δίκαι' ἐκεῖνα, καὶ τάδ' ἔνδικα.
Ὅστις δὲ, πλοῦτον ἢ 'υγένειαν εἰσιδὼν,
Γαμεῖ πονηρὰν, μῶρός ἐστι· μικρὰ γὰρ
Μεγάλων ἀμείνω σώφρον' ἐν δόμοις λέχη.

1095. Κοὔτ' ἀντιφεύγει . . . πόσις] ὁ νοῦς, εἰ διὰ τὴν Ἰφιγένειαν τέθνηκεν Ἀγαμέμνων, τί οὐχὶ οὐ διώκεται καὶ Αἴγισθος διὰ τὸν αὐτὸν λόγον, ὡς φυγα-

μὴ ζητῇ παρ' ἐκείνων; ἔπειτα μόνον σὲ ἐγῷδα τῶν Ἑλληνίδων, εὖ μὲν τοῖς Τρωσὶ τῶν πραγμάτων προχωρούντων, φαιδρυνομένην· κακῶς δὲ ἀπαγγελλομένων ἐκείνων, σκυθρωπάζουσάν τε, καὶ κατοφρυουμένην· ἀπεύχου γὰρ ἀπὸ Τροίας ἀπονοστῆσαί ποτε Ἀγαμέμνονα· καίτοι τοιοῦτον ἔχουσ' ἄνδρα, Αἰγίσθῳ οὐ πάνυ τοι ὅμοιον, ὃν πᾶσα ἡ Ἑλλὰς εἵλετο στρατηγόν, εἴγ' ἐσωφρόνεις, κλέος ἂν ἔσχες μέγα. καὶ ταῦτα τῆς Ἑλένης προεξοιστρωμένης λαγνείᾳ· ἃ γὰρ τοῖς φαύλοις ἡμάρτηται φθάσαντα, ταῦτα τοῖς ἀγαθοῖς γίγνεται διδαχὴ τὸ λοιπόν· εἰ δ' ὁ πατὴρ ἥμαρτεν, ὡς φῄς, τὴν σὴν ἀποκτείνας θυγατέρα, ἐμέ τε καὶ Ὀρέστην τί ποτ' ἀδικήσαντας, τοῦ πατρῴου οἴκου ἀπέκλεισας ἀμφοτέρους, ἀλλότριον γάμον μισθοῦ ἐξωνουμένη; καὶ νῦν ἀνὴρ ὁ σὸς οὔτ' ἀντ' Ὀρέστου τοῦ σοῦ παιδὸς διώκεται, οὔτ' ἀντ' ἐμοῦ ὑπὸ σοῦ ἀποθνήσκει, δὶς τοσοῦτον ἀποκτείνας ἐμὲ περιοῦσαν, ἢ ὁ πατὴρ τὴν ἐμὴν ἀδελφήν· οὐκοῦν δικαίως ἐγώ τε καὶ Ὀρέστης ἀποκτείναιμεν ἄν σε, τῷ τοῦ πατρὸς ἐπεξερχόμενοι φόνῳ, εἴγε δεῖ φόνῳ ἀπαλείφειν τὸν φόνον· δικαίων γὰρ ὄντων τῶν πρώτων, τοιαῦτα κρίνοιντ' ἂν καὶ τὰ δεύτερα, ὡς μηδὲν ἐκείνων παραλλάττοντα εἴδει· ὃς οὖν εἰς πλοῦτόν τε καὶ εὐγένειαν ἀπιδὼν, πονηρὰν ἀντὶ σώφρονος ἕλοιτο γῆμαι, μωρίαν ὀφλισκάνει· γάμος γὰρ σώφρων, κἂν μικρὸς ᾖ, τῶν κομπωδεστέρων πολλῷ ἀμείνων.

---

δεύσας μὲν Ὀρέστην, φονεύσας δ' ἐμὲ καὶ ζῶσαν; τὸ γὰρ ἐμὸν πάθος διπλοῦν, ἢ τῆς ἀδελφῆς Ἰφιγενείας ἐστι.

ΧΟ. Τύχη γυναικῶν ἐς γάμους· τὰ μὲν γὰρ εὖ,
Τὰ δ' οὐ καλῶς πίπτοντα δέρκομαι βροτῶν.
ΚΛ. Ὦ παῖ, πέφυκας πατέρα σὸν στέργειν ἀεί.
Ἔστιν δὲ καὶ τόδ'· οἱ μὲν εἰσὶν ἀρσένων,
Οἱ δ' αὖ φιλοῦσι μητέρας μᾶλλον πατρός.
Συγγνώσομαί σοι· καὶ γὰρ οὐχ οὕτως ἄγαν
Χαίρω τι, τέκνον, τοῖς δεδραμένοις ἐμοί.
Σὺ δ' ὧδ' ἄλουτος καὶ δυσείματος χρόα
Λεχὼ, νεογνῶν ἐκ τόκων πεπαυμένη;
Οἴμοι τάλαινα τῶν ἐμῶν βουλευμάτων!
Ὡς μᾶλλον, ἢ χρῆν, ἤλασ' εἰς ὀργὴν πόσιν!
ΗΛ. Ὀψὲ στενάζεις, ἡνίκ' οὐκ ἔχεις ἄκη.
Πατὴρ μὲν οὖν τέθνηκε· τὸν δ' ἔξω χθονὸς
Πῶς οὐ κομίζῃ παῖδ' ἀλητεύοντα σόν;
ΚΛ. Δέδοικα· τοὐμὸν δ', οὐχὶ τοὐκείνου, σκοπῶ.
Πατρὸς γὰρ, ὡς λέγουσι, θυμοῦται φόνῳ.
ΗΛ. Τί δαὶ πόσιν σὸν ἄγριον εἰς ἡμᾶς ἔχεις;
ΚΛ. Τρόποι τοιοῦτοι· καὶ σὺ δ' αὐθάδης ἔφυς.
ΗΛ. Ἀλγῶ γάρ. ἀλλὰ παύσομαι θυμουμένη.
ΚΛ. Καὶ μὴν ἐκεῖνος οὐκέτ' ἔσται σοι βαρύς.
ΗΛ. Φρονεῖ μέγ'· ἐν γὰρ τοῖς ἐμοῖς ναίει δόμοις.
ΚΛ. Ὁρᾷς ἃ, αὖ σὺ ζωπυρεῖς νείκη νέα;
ΗΛ. Σιγῶ· δέδοικα γάρ νιν, ὡς δέδοικ' ἐγώ.
ΚΛ. Παῦσαι λόγων τῶνδ'· ἀλλὰ τί μ' ἐκάλεις, τέκνον;
ΗΛ. Ἤκουσας, οἶμαι, τῶν ἐμῶν λοχευμάτων·
Τούτων ὕπέρ μοι θῦσον, οὐ γὰρ οἶδ' ἐγὼ,

ΧΟ. Τύχην μᾶλλον ὁρῶ ἐνοῦσαν γυναιξὶν ἐς τοὺς γάμους· τὰ γὰρ τῶν βροτῶν τὰ μὲν εὖ ποτε, τάδ' ὡς ἑτέρως τυγχάνει συμβαίνοντα.

ΚΛ. Ὦ παῖ, ὡς πολὺ τῶν τοῦ πατρὸς φίλτρων ἔχῃ· φύσει γὰρ συμβαίνει τοὺς μὲν τῶν παίδων τοὺς πατέρας φιλεῖν, τοὺς δὲ πρὸς τὰς μητέρας ἐπιῤῥέπειν τῷ φίλτρῳ· ἀλλὰ συγγνώσομαί σοι· οὐδὲ γὰρ ἐγὼ νῦν σφόδρα ἀγαπῶ τοῖς πεπραγμένοις· σὺ δ' ἄλουτος ὧδε, τέκνον, καὶ πενιχρῶς διάγεις, καὶ ταῦτ' ἀρτίτοκος οὖσα· οἴμοι τάλαινα τῶν ἐμῶν βουλευμάτων! τί ποθ' οὕτως εἰς ὀργὴν τὸν ἐμαυτῆς παρώξυνα ἄνδρα;

ΗΛ. Ὀψὲ μεταμανθάνεις τὰ πεπλημμελημένα· ὁπότ' ὄφελος οὐδέν· ὁ μὲν οὖν πατὴρ τέθνηκεν· τὸν δὲ παῖδα τὸν σὸν τί ποθ' οὕτως ἐν ἀλλοδαπῇ πλανώμενον παρορᾷς, καὶ οὐ μεταπέμπῃ ἐκεῖνον εἰς τὸν πατρῷον οἶκον;

ΚΛ. Δέδοικα γάρ· χρὴ δὲ τοὐμαυτῆς μᾶλλον, ἢ τὸ ἐκείνου βλέπειν, καὶ ταῦτα βαρέως αὐτοῦ, ὡς φασὶ, φέροντος τὰ παρόντα.

ΗΛ. Τὸν δὲ σαυτῆς ἄνδρα τίποθ' οὕτω παρώξυνας ἐφ' ἡμᾶς;

ΚΛ. Τοιοῦτος τῷ ἤθει φύσει, ὡς καὶ σὺ αὐθάδης ἔφυς.

ΗΛ. Ἐγὼ γὰρ πάσχω· ἀλλ' ἤδη παύσομαι θυμουμένη.

ΚΛ. Καὶ μὴν ἐκεῖνος οὐκέτι σοι βαρὺς ἔσται.

ΗΛ. Τῶν γὰρ ἐμῶν γενόμενος κύριος, φρονεῖ μέγα.

ΚΛ. Ὁρᾷς, ὅπως αὖ εἰς ἅμιλλαν λόγων ἔρχῃ;

ΗΛ. Οὐκοῦν σιγῶ φοβουμένη ἐκεῖνον, ὃν ἐγὼ οἶδα φόβον.

ΚΛ. Ἅλις τούτων· νῦν δὲ, τέκνον, λέγε, τί με ποτὲ μετεπέμψω.

ΗΛ. Ἤκουσας τὴν ἐμὴν, οἶμαι, λοχείαν· θύσον μοι τοίνυν περὶ τούτου τῇ δεκάτῃ παιδὸς γεννηθέντος κατὰ τὸν

Δεκάτῃ σελήνῃ παιδὸς ὡς νομίζεται·
Τρίϐων γὰρ οὐκ εἶμ', ἄτοκος οὖσ' ἐν τῷ πάρος.
ΚΛ. Ἄλλης τόδ' ἔργον, ἥ σ' ἔλυσεν ἐκ τόκων.
ΗΛ. Αὐτὴ λόχευον κἄτεκον μόνη βρέφος.
ΚΛ. Οὕτως ἀγείτων οἶκος ἵδρυται φίλων;
ΗΛ. Πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους.
ΚΛ. Ἀλλ' εἶμι, παιδὸς ἀριθμὸν ὡς τελεσφόρον
Θύσω θεοῖσι· σοὶ δ' ὅταν πράξω χάριν
Τήνδ', εἶμ' ἐπ' ἀγρὸν, οὗ πόσις θυηπολεῖ
Νύμφαισιν· ἀλλὰ τούσδ' ὄχους, ὀπάονες,
Φάτναις ἄγοντες πρόσθεθ'· ἡνίκ' ἂν δέ με
Δοκῆτε θυσίας τῆσδ' ἀπηλλάχθαι θεοῖς,
Πάρεστε· δεῖ γὰρ καὶ πόσει δοῦναι χάριν.
ΗΛ. Χώρει πένητας ἐς δόμους· φρούρει δέ μοι,
Μή σ' αἰθαλώσῃ πολύκαπνον στέγος πέπλους.
Θύσεις γὰρ, οἷα χρή σε δαίμοσιν θύειν.
Κανοῦν δ' ἐνῆρκται, καὶ τεθηγμένη σφαγὶς,
Ἥπερ καθεῖλε ταῦρον, οὗ πέλας πεσῇ
Πληγεῖσα· νυμφεύσῃ δὲ κἀν Ἅδου δόμοις,
Ὧπερ ξυνηῦδες ἐν φάει· τόσην δ' ἐγὼ
Δώσω χάριν σοι· σὺ δέ γ' ἐμοὶ δίκην πατρός.
ΧΟ. Ἀμοιϐαὶ κακῶν· μετάτροποι πνέου- (Στρ.)
Σιν αὖραι δόμων· τότε μὲν ἐν λουτροῖς
Ἔπεσεν ἐμὸς, ἐμὸς ἀρχέτας,
Ἰάκχησε δὲ στέγα, λάϊνοί
Τε θριγκοὶ δόμων, τάδ' ἐνέποντες· ὦ

1121. Δεκάτῃ σελήνῃ] δεκάτῃ ἡμέρᾳ· ἐν δέκα γὰρ ἡμέραις δεκάκις ἡ σελήνη περιοδεύει τὴν γῆν· οὕτω καὶ περὶ τοῦ ἡλίου ἀνωτέρω (στίχ. 658.) « λέγει· Ἡλίους ἐν οἷσιν ἁγνεύει λεχώ. »

νόμον· ἐγὼ γὰρ ἄπειρός εἰμι τοῦ πράγματος, μήπω ἐν τῷ πρόσθεν τεκοῦσα χρόνῳ.

ΚΛ. Οὐκ ἐμὸν, τέκνον, τῆς δὲ μαίας τοῦτ' ἔργον.

ΗΛ. Μόνη ἔτεκον, μαίας μοι μὴ παρούσης.

ΚΛ. Οὕτως ὁ οἶκος οὗτος σπανίζει γειτόνων φίλων;

ΗΛ. Τίς γὰρ ἂν ἐθέλοι πένησι φίλος εἶναι;

ΚΛ. Εἶμι τοίνυν τὸν τῶν ἡμερῶν τοῦ παιδὸς τέλειον ἀριθμὸν θύσουσα τοῖς θεοῖς· ταῦτα δὲ πράξασα, εἶμι ἐπὶ τὸν ἀγρὸν, ἔνθ' οὑμὸς ἀνὴρ θύει Νύμφαις· ἀλλ' ὑμεῖς, ὀπαδοὶ, ἀπαγαγόντες τὸ ζεῦγος, δήσατε ἐν τῇ φάτνῃ· ἡνίκα δ' ἂν αἴσθησθέ με τέλος δοῦσαν, οἷς μέλλω θύσειν, προσάγετ' αὖθις· δεῖ γὰρ δὴ καὶ τῷ ἀνδρὶ χαρίσασθαι τὰ εἰκότα.

ΗΛ. Εἴσιθι εἰς πένητ' οἶκον· ἀλλὰ καὶ φύλαξαί μοι, μήτι ἡ ἐσθὴς ἐμπλησθῇ τῆς ἀσβόλης· θύσεις γὰρ εἰσελθοῦσα, οἷα δεῖσε τοῖς θεοῖς θύσαι, τῶν τε κανῶν ἤδη ἀνηργμένων, καὶ τῆς μαχαίρας ἀξίως τεθηγμένης, ἣ διέτεμε τὸν ταῦρον, παρ' ᾧ πεσῇ καὶ αὐτὴ πληγεῖσα· οὕτω γὰρ νυμφευθείσῃ, ὡς κἀνταῦθα, ἐκείνῳ ἐν τῷ ᾅδῃ· τὴν δὲ χάριν ταύτην ἔχεις παρ' ἐμοῦ, ἀνθ' ὧν τὸν ἐμὸν ἀπέκτεινας πατέρα.

ΧΟ. Φόνος ἤδη ἀμείβεται φόνον, καὶ πνεύματα τῶν οἴκων παλίντροπα πνέουσι· πάλαι μὲν γὰρ ὁ δεσπότης ἡμῶν πέπτωκεν ἐν λουτροῖς· ἤχησε δὲ ἡ στέγη καὶ οἱ θριγκοὶ

---

1136. Οἷα δεῖ σε δαίμοσι θύειν] ἀλληγορικὰ ταῦθ' ἑξῆς πάντα.



ΔΗΜΟ... ΚΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

Σχετλία, τί με, γύναι, φονεύεις, φίλαν
Πατρίδα δεκέτεσιν σποραῖ-
σιν ἐλθόντ' ἐμάν;
Παλίῤῥους δὲ τάνδ' ὑπάγεται δίκα (Ἀντ.)
Διαδρόμου λέχους, μέλεον ἃ πόσιν
Χρόνιον ἱκόμενον εἰς οἴκους,
Κυκλώπειά τ', οὐράνια τείχε' ὀ-
ξυθήκτῳ βέλει κατέκαν' αὐτόχειρ,
Πέλεκυν ἐν χεροῖν λαβοῦσα· τλάμων
Πόσις, ὅτι ποτὲ τὰν τάλαι-
ναν ἔσχεν κακόν.
Ὀρεία τις ὡς λέαιν', ὀργάδων (Ἐπῳδ.)
Δρύοχα νεμομένα, τάδε κατήνυσεν.

ΚΛ. Ὦ τέκνα, πρὸς θεῶν μὴ κτάνητε μετέρα.

ΧΟ. Κλύεις ὑπώροφον βοάν;

ΚΛ. Ἰώ μοί μοι!

ΧΟ. Ὤμωξα κἀγὼ, πρὸς τέκνων χειρουμένης.
Νέμει τοι δίκαν θεὸς, ὅταν τύχῃ.
Σχέτλια μὲν ἔπαθες, Ἀνόσια δ' εἰργάσω
Τάλαιν' εὐνέταν. ...
Ἀλλ' οἵδε, μητρὸς νεοφόνοις ἐν αἵμασιν
Πεφυρμένοι, βαίνουσιν ἐξ οἴκων πόδα,
Τρόπαια δείγματ' ἀθλίων προσφθεγμάτων.
Οὐκ ἔστιν οὐδεὶς οἶκος ἀθλιώτερος
Τῶν Ταντλείων, οὐδ' ἔφυ ποτ' ἐκγόνων.

1148. Σποραῖς δεκάτεσιν] ὅ ἐστιν ἐν χρόνῳ, καθ' ὃν δεκάκις οἱ ἄνθρωποι σπείρουσιν

τοιάδε εἰπόντος ἐκείνου, γύναι σχετλία, τίποτέ με φονεύεις, δεκάτῳ ἔτει μόλις εἰς τὴν ἐμὴν ἐπανελθόντι πατρίδα.

Νῦν δὲ δίκη παλίῤῥους πλανωμένου καὶ ἀνοσίου γάμου ὑπάγεται τὴν δύστηνον ταύτην, ἥτις τὸν δύστηνον ἑαυτῆς ἄνδρα, μόλις σὺν χρόνῳ πολλῷ ἀπονοστήσαντ' οἴκαδε εἰς τὰ τῶν Κυκλώπων οὐρανομήκη τείχη, ὀξεῖ ἀνεῖλε βέλει, πέλεκυν ἀραμένη· τλήμων ὁ ἀνὴρ, τοιούτῳ πάθει χαλεπῷ τῆς ταλαίνης κρατηθείσης ἐκείνης.

Καὶ γὰρ σχέτλιον ἔπραξ' ἔργον, ὡς ὀρεσίτροφος λέαινα ἡ ἐν τοῖς δρυμοῖς τῶν ὀργάδων νεμομένη, ἐπιπηδήσασα ἐκείνῳ

ΚΛ. Ὦ τέκνα, πρὸς θεῶν μή με ἀπεκτείνετε μητέραν οὖσαν.

ΧΟ· Ἀκούεις βοὴν ἔνδον;

ΚΛ. Ἰώ μοι μοι.

ΧΟ. Συναλγῶ κἀγὼ τοῖς τῶν τέκνων χερσὶ περιπεσούσῃ· ἄφευκτον γὰρ πολλάκις τὸ τῆς δίκης· ἀνόσια γὰρ εἰργασμένη, σχέτλια δικαίως πάσχεις.

Ἀλλ' ἴδε ἐκεῖνοι ἐξίασι τῷ μητρῴῳ αἵματι πεφυρμένοι, τροπαιοῦχοι προκύπτοντες οἴκοθεν ἀθλίων προσφαγμάτων· ὥστ' οὐκ ἔστιν εὑρεῖν οἴκων τῶν Ταλαντιδῶν ἀθλιώτερον.

---

1151. Διαδρόμου λέχους] ἡ δίκη τοῦ λέχους τοῦ μοιχικοῦ, ὡς διατρέχοντος δι' ἀλλήλων. 1169. Προσφθεγμάτων] εἰκότως διορθοῖ τοῦτό τις εἰς τὸ, Προσ-

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΟΡΕΣΤΗΣ, ΗΛΕΚΤΡΑ, ΧΟΡΟΣ, ΔΙΟΣΚΟΥΡΟΙ, ΠΥΛΑΔΗΣ.

ΟΡ Ἰὼ Γᾶ καὶ Ζεῦ,
Πανδερκέτα βροτῶν, ἴδετε
Τάδ' ἔργα φόνια μυσαρὰ, δίγονα σώματ' ἐν
Χθονὶ κείμενα πλαγᾷ
Χερὸς [ὑπ'] ἐμᾶς, ἄποιν' ἐμῶν πημάτων.
ΗΛ. Δακρύτ' ἄγαν, ὦ σύγγον', αἰτία δ' ἐγώ.
Διὰ παρὸς ἔμολον ἁ τάλαινα ματρὶ τᾷδ',
Ἅ μ' ἔτικτε κούραν.
Ἰὼ τύχας, τᾶς σᾶς τύχας, μᾶτερ τεκοῦσ',
Ἄλαστα, μέλεα καὶ πέρα
[Γε] παθοῦσα σῶν τέκνων ὑπαί.
Πατρὸς δ' ἔτισας φόνον δικαίως.
ΟΡ. Ὦ Φοῖϐ', ἀνύμνησας δίκαν,
Ἄφατα φανερὰ δ' ἐξέπραξας
Ἄχεα, φόνια δ' ὤπασας
Λέχε' ἀπὸ γᾶς Ἑλλανίδος.
Τίνα δ' ἑτέραν μόλω πόλιν; τίς δὲ ξένος,
Τίς εὐσεϐὴς ἐμὸν κάρα προσόψεται
Ματέρα κτανόντος;
ΗΛ. Ἰώ! ἰώ! ποῖ δ' ἐγώ; τίν' εἰς χορὸν,
Τίνα γάμον εἶμι; τίς πόσις με δέξεται
Νυμφικὰς ἐς εὐνάς;

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΟΡΕΣΤΗΣ, ΗΛΕΚΤΡΑ, ΧΟΡΟΣ ΔΙΟΣΚΟΥΡΟΙ, ΠΥΛΑΔΗΣ

ΟΡ. Ὦ γῆ, καὶ Ζεῦ, ὁ ἐφορῶν πάντα τὰ ἐν ανθρώποις γιγνόμενα· ἴδετε τάδε, ἴδετε ἔργα μυσαρὰ καὶ ἀποτρόπαια, δύο ταῦτ' ἐπάλληλα σώματα κείμενα ἐπὶ γῆς, ὑπ' ἐμοῦ διειργασμένα, τῶν ἐμῶν ἀντίποινα συμφορῶν.

ΗΛ. Ἄξια δακρύων ταῦτ', ὦ ἀδελφὲ, ὧν ἐγὼ ἡ δύστηνός εἰμὶ αἰτία, ὡς διὰ πυρὸς ἐλθοῦσα ἐπὶ τὴν μητέρα· ὦ μῆτερ δύστηνε, ἰὼ τῆς σῆς τύχης! ὦ μέγιστα καὶ πέρα λήθης ὑπὸ τῶν σαυτῆς παθοῦσα τέκνων· ἀλλ' οὖν δικαίως τὸν τοὐμοῦ πατρὸς ἔτισας φόνον.

ΟΡ. Ὦ Φοῖϐε, σὺ ἐπῄνεσας τὴν δίκην ταύτην· ἄῤῥητ' ἄῤῥητα, φανερὰ δέ μοι δυστυχήματα ἐνεποίησας· ὀλέθριον δὲ ὑπ' αὐτῆς τῆς Ἑλλάδος καὶ τοῦ τρίποδος ἐχρησμοδότησας λόγιον· πρὸς τίνα οὖν πόλιν καταφύγω; ἢ τὶς τῶν εὐσεϐῶν πρὸς τοὐμὸν τοῦ μητροφόνου πρόσωπον ἀνάσχοιτ' ἂν προσϐλέπειν ἐναντίον;

ΗΛ. Ἰώ μοι μοι! ποῖ δήποτε ἐγώ; πρὸς τίνα χώραν καταφύγω; πρὸς τίνα γάμον; καὶ τίς τῶν πάντων συνευνασθήσεταί μοι;

---

φαγμάτων. 1177. Δακρύ τ' ἄγαν] δακρυτὰ λίαν, ἄξια δακρύων· τὸ δὲ διὰ Πυρὸς, τὸ πολὺ πρὸς τὴν μητέρα σημαίνει πάθος. 1181. Ἄλαστα, μελέα] ἡ πάσης λήθης ἐπέκεινα παθοῦσα ἀθλία. 1187. Λέχε'] διορθοῦσι τοῦτ' εἰκότως εἰς τὸ Λό-

ΟΡ. Πάλιν, πάλιν φρόνημα σὸν
Μετεστάθη πρὸς αὔραν.
Φρονεῖς γὰρ ὅσια νῦν, τότ' οὐ φρονοῦσα γ' εὖ,
Δεινὰ δ' εἰργάσω,
Φίλα, κασίγνητον οὐ θέλοντα.
Κατεῖδες, οἷον ἁ τάλαιν' ἑῶν πέπλων
Ἔβαλεν, ἔδειξε μαστὸν ἐν φοναῖσιν
(Ἰώ! ἰώ μοι!) πρὸς πέδῳ
Τιθεῖσα γόνιμα μέλεα; τακόμαν δ' ἐγώ.
ΗΛ. Σάφ' οἶδα, δι' ὀδύνας ἔβας,
Ἰήϊον κλύων γόον
Ματρὸς, ἅ σ' ἔτικτεν.
ΟΡ. Βοὰν δ' ἔλασκε τάνδε, πρὸς γένυν ἐμὰν
Τιθεῖσα χεῖρας· τέκος ἐμὸν, λιταίνω.
Παρηΐδων τέ γ' ἐξ ἐμᾶν
Ἐκρήμναθ' ὥστε χέρας ἐμὰς λιπεῖν βέλος.
ΧΟ. Τάλαινα! πῶς ἔτλας φόνον
Δι' ὀμμάτων ἰδεῖν σέθεν
Ματρὸς ἐκπνεούσας.
ΟΡ. Ἐγὼ μὲν ἐπιβαλὼν φάρη κόραις ἐμαῖ-
σι, φασγάνῳ κατηρξάμαν
Ματέρος ἔσω δέρας μεθείς.
ΗΛ. Ἐγὼ δὲ γ' ἐπεκέλευσά σοι,
Ξίφους τ' ἐφηψάμαν ἅμα.
ΧΟ. Δεινότατον παθέων ἔρεξας.
Λαβοῦ, κάλυπτε μέλεα ματέρος πέπλοις,
Καθάρμοσον σφαγάς.
Φονέας ἔτικτες ἆρά σοι.
ΗΛ. Ἰδοὺ, φίλαν τε κοὐ φίλαν

ΟΡ. Ὅλαις αὔραις φέρῃ πρὸς τὰ πρὶν ἐναντίαις, νῦν φρονοῦσα· ὡς δεινὰ δὲ εἰργάσω, ὦ φίλη, ἄκοντά με κινήσασα ἐς τοῦτο· εἶδες γὰρ, ὅπως ἡ τάλαινα μήτηρ προὔφηνεν ἡμῖν τὸν μαστόν ἐν τῷ φόνῳ, θεῖσα τὰ ἑαυτῆς μητρικὰ μέλη ἐπὶ τοῦ ἐδάφους· ἐγὼ δ' ὁ τάλας ἐτηκόμην τῷ πάθει.

ΗΛ. Σάφ' οἶδ' ὅτι ὀδυνηρόν σοι τοῦτ' ἦν, τὸν τῆς μητρὸς ἀκούοντι θρῆνον, ἐξ ἧς ἐτέχθης.

ΟΡ. Ἐκείνη γὰρ, τοῦ ἐμοῦ γενείου ἁψαμένη, ἔφη τοιαῦτα· τέκνον ἐμὸν, Ὀρέστα, ἱκετεύω· καὶ ταῦτα λέγουσα, ἀνηρτᾶτο τοῦ ἐμοῦ τραχήλου, ὥς' ἐκπεσεῖν μικροῦ δεῖν τῶν χειρῶν μου τὸ ξίφος.

ΧΟ. Ὦ τάλαιν' ἐγώ! πῶς ποτ' ἠνέσχου ὁρᾷν ὀφθαλμοῖς τὴν σὴν μητέρα ψυχοῤῥαγοῦσαν,

ΟΡ. Ἐγὼ δὲ καλυψάμενος τελευτῶν, ἠρξάμην φονεύειν, ὑπὸ τὴν δέρην εἰσωθήσας τὸ ξίφος παραβόλως.

ΗΛ. Κἀγὼ παρακελευσαμένη εἰς τοῦτο, ἡψάμην ἅμα καὶ τοῦ ξίφους.

ΧΟ. Κακῶς ποιήσασα· ἀλλὰ νῦν ἴθι συγκάλυψον τὰ τῆς μητρός σου μέλη πέπλοις· τὰς ὠτειλὰς καθαρμόσασα τῶν τραυμάτων· ὦ δυστυχὴς γύναι! φονέας ἄρ' ἔτεκες τούτους σύγε.

ΗΛ. Ἰδοὺ, περιστέλλομέν σε ὡς φίλην καὶ μὴ φίλην τοῖς

---

γι', ἵνα ᾖ χρησμούς. 1059. Πρὸς αὔραν] ὥσπερ τὸ ἱστίον πρὸς τὸ ἀντιπνεῦσαν πνεῦμα, μεταβέβλησαι. 1202. Τακόμαν δὲ ἐγὼ] οὕτως ἐξ ἄλλης γραφῆς ἀντὶ τοῦ τὴν κόμην· τὸ δὲ ἑπόμενον, Σάφ' οἶδα, ἄμεινον κατ' ἐμὲ ἐμβα-

Φάρεα σέ γ' ἀμφιβάλλομεν,
Τέρμα κακῶν μεγάλων δόμοισιν.
ΧΟ. Ἀλλ' οἵδε δόμων ὕπερ ἀκροτάτων
Φαίνουσι τινὲς δαίμονες, ἢ θεῶν
Τῶν οὐρανίων· οὐ γὰρ θνητῶν γ'
Ἥδε κέλευθος· τί ποτ' εἰς φανερὰν
Ὄψιν βαίνουσι βροτοῖσιν;
ΔΙ. Ἀγαμέμνονος παῖ, κλῦθι· δίπτυχοι δέ σε
Καλοῦσι μητρὸς σύγγονοι Διόσκοροι,
Κάστωρ, κασίγνητός τε Πολυδεύκης ὅδε.
Δεινὸν δὲ ναυσὶν ἀρτίως πόντου σάλον
Παύσαντ', ἀφίγμεθ' Ἄργος, ὡς ἐσείδομεν
Σφαγὰς ἀδελφῆς τῆσδε, μητέρος δὲ σῆς.
Δίκαια μὲν νυν ἥδ' ἔχει· σὺ δ' οὐχὶ δρᾷς,
Φοῖβός τε, Φοῖβος — ἀλλ', ἄναξ γάρ ἐστ' ἐμὸς,
Σιγῶ· σοφὸς δ' ὢν, οὐκ ἔχρησέ σοι σοφά.
Αἰνεῖν δ' ἀνάγκη ταῦτα· τἀντεῦθεν δὲ χρὴ
Πράσσειν, ἃ Μοῖρα, Ζεύς τ' ἔκρανε σοῦ πέρι.
Πυλάδῃ μὲν Ἠλέκτραν δὸς ἄλοχον ἐς δόμους,
Σὺ δ' Ἄργος ἔκλιπ'· οὐ γὰρ ἔστι σοι πόλιν
Τήνδ' ἐμβατεύειν, μητέρα κτείναντα σήν.
Δειναὶ δὲ Κῆρες, αἱ κυνώπιδες θεαὶ,
Τροχηλατήσουσ' ἐμμανῆ πλανώμενον.
Ἐλθὼν δ' Ἀθήνας, Παλλάδος σεμνὸν βρέτας
Πρόσπτυξον· εἵρξει γάρ νιν ἐπτοημένας

λεῖν τῷ στόματι τοῦ Χοροῦ. 1225. Ὑπὲρ ἀκροτάτων] ἄνωθεν ἀπὸ τῆς στέγης ἀπὸ μηχανῆς προὔφηναν ἑαυτοὺς ὡς θεοὶ οἱ Διόσκουροι. 1247. Ἐπτοημένας]

τοῖς ἱματίοις τούτοις, ὡς δῶμεν τέλος τῶν κακῶν ἐν τῷ πατρῴῳ οἴκῳ.

ΧΟ. Ἀλλ' ἔγωγε δοκῶ μοι ὁρᾷν δαίμονας ἐκείνους, ἢ θεῶν τινὰς τῶν οὐρανίων, ἐξ ἀκροτάτης τῆς στέγης κατιόντας· προσήκει γὰρ οὐδὲν θνητοῖς ἐκεῖθεν ἥκειν· τί ἆρα βουλόμενοι ἐς τοὐμφανὲς προκύπτουσιν ἡμῖν ἀνθρώποις οὖσιν;

ΔΙ. Ἀγαμέμνονος παῖ, σύντεινόν μοι τὸ οὖς. Διόσκουροι γὰρ οἱ τῆς σῆς μητρὸς ἐσμὲν ἀδελφοὶ, Κάστωρ καὶ Πολυδεύκης· μέγαν γὰρ ἀρτίως χειμῶνα καταπαύσαντες ἐν θαλάσσῃ, ἀφίγμεθα νῦν ἐς Ἄργος ὧδε, ἀγγελθὲν ἡμῖν σφαγῆναι τήνδε, ἀδελφὴν μὲν ἡμῶν οὖσαν, μητέρα δὲ σήν· αὕτη μὲν οὖν δικαίαν ὑπέσχε δίκην· οὐ γὰρ σὺ εἶ ὁ πράξας ταῦτα· ἀλλ' ὁ Φοῖϐος· ὁ Φοῖϐος· ἀλλὰ σιγῶ πρὸς τὸν ἐμὸν ἄνακτα ἀνεπιτηδείους ἀποτοξεύειν λόγους· ἀλλά γε σοφὸς ὢν, οὐ σοφὰ ἐκέλευσέ σε· ἀλλ' ἡμῖν γ' ἀνάγκη ἐπαινεῖν τὰ παρὰ τῶν θεῶν ὅ,τι εἴη· τὸ δὲ ἐντεῦθεν πρακτέον σοι, ἃ ἔδοξε τῷ τε Διῒ καὶ τῇ Μοίρᾳ περὶ σοῦ. Ἠλέκτραν μὲν οὖν τὴν σὴν ἀδελφὴν δώσεις τῷ Πυλάδῃ εἰς γυναῖκα· σὺ δὲ κατάλιπε τὸ Ἄργος· οὐ γὰρ ἂν κατοικήσειας τὴν πόλιν ταύτην, μητραλοίας γεγενημένος· ἔσῃ δὲ διὰ πολλοῦ ὑπὸ δεινῶν Ποινῶν καὶ Ἐριννύων διωκόμενος, τραπεὶς εἰς μανίαν· ἀλλ' ἐλθὼν ὀψὲ Ἀθήναζε, γενοῦ ἱκέτης τῷ ξοάνῳ τῆς Παλλάδος· αὕτη γὰρ προτιθεῖσα τὴν Γοργῶ

---

τὸν πτοήσει καὶ ὁρμῇ ἐπερχομένας· εἰσὶ δὲ αὗται, Κῆρες, Ποιναὶ, Ἐριννύες, αἱ τοὺς φονέας μετερχόμεναι πικρῶς· Δράκοντας δὲ λέγει τοὺς τῆς Γοργόνος

Δεινοῖς δράκουσιν, ὥστε μὴ ψαύειν σέθεν,
Γοργῶφ' ὑπερτείνουσά σου κάρᾳ κύκλον.
Ἔστιν δ' Ἄρεός τις ὄχθος, οὗ πρῶτον θεοὶ
Ἕζοντ' ἐπὶ ψήφοισιν αἵματος πέρι,
Ἀλιῤῥόθιον ὅτ' ἔκταν' ὠμόφρων Ἄρης,
Μῆνιν θυγατρὸς ἀνοσίων νυμφευμάτων,
Πόντου κρέοντος παῖδ' ἵν' εὐσεβεστάτη
Ψῆφος, βεβαία τ' ἐστὶν ἔκ γε τοῦ θεοῖς.
Ἐνταῦθα καὶ σὲ δεῖ δραμεῖν φόνου πέρι.
Ἴσαι δέ σ' ἐκσώζουσι μὴ θανεῖν δίκῃ
Ψῆφοι τεθεῖσαι. Λοξίας γὰρ αἰτίαν
Ἐς αὐτὸν οἴσει, μητέρος χρήσας φόνον.
Καὶ τοῖσι λοιποῖς ὅδε νόμος τεθήσεται,
Νικᾷν ἴσαις ψήφοισι τὸν φεύγοντ' ἀεί.
Δειναὶ μὲν οὖν θεαὶ, τῶνδ' ἄχει πεπληγμέναι,
Πάγον παρ' αὐτὸν χάσμα δύσονται χθονὸς,
Σεμνὸν βροτοῖσιν εὐσεβὲς χρηστήριον.
Σὲ δ' Ἀρκάδων χρὴ πόλιν ἐπ' Ἀλφειοῦ ῥοαῖς
Οἰκεῖν Λυκαίου πλησίον σηκώματος·
Ἐπώνυμος δέ σου πόλις κεκλήσεται.
Σοὶ μὲν τάδ' εἶπον· τόνδε δ' Αἰγίσθου νέκυν
Ἄργους πολῖται γῆς καλύψουσιν τάφῳ.

---

ὀφιοειδεῖς βοστρύχους. 1253. Θυγατρὸς] Ἀλκίππη αὕτη, ἡ Ἄρεως καὶ 'Αγραύλης· ἣν 'Αλιῤῥόθιος ὁ Ποσειδῶνος καὶ Εὐρύτης βιασάμενος, ἀποκτείνεται ὑπὸ Ἄρεως· κριθεὶς δ' Ἄρης φόνου, τῶν δώδεκα θεῶν δικαζόντων ἐν 'Αρείῳ πάγῳ,

ἀποσοβήσει τοῖς τῆς αἰγίδος δράκοσιν ἐκεί νας, ἐπὶ σὲ ἀφύκτως ὁρμουμένας. Ἔςι δὲ αὐτοῦ Ἄρεος πάγος, ἔνθα τὸ πρῶτον οἱ θεοὶ ἐδίκασαν περὶ φόνου, ὁπόθ' ὁ Ἄρης ἀπέκτεινεν Ἀλιῤῥόθουν τὸν Ποσειδῶνος, ὡς ἀνοσίως τῇ αὐτοῦ ὁμιλήσαντα θυγατρί· ἔκτοτε οὖν ἡ ψῆφος ἐκεῖ τῶν θεῶν ἐστιν εὐσεβεστάτη. Ἐνταῦθα τοίνυν δεῖ καί σε δικασθῆναι περὶ φόνου· αἱ δὲ ψῆφοι ἴσαι πεσοῦσαι πρὸς ἑκατέρους, ἐκσώσουσί σε, ὥστε μὴ δοῦναι δίκην. Φοῖβος γὰρ ὁ τὸν τῆς μητρὸς διδάξας φόνον, εἰς ἑαυτὸν ἀνοίσει τὴν αἰτίαν· καὶ νόμος οὗτος τεθήσεται ἐσαεὶ τὸν ἴσαις φεύγοντα ψήφοις, ἀποφεύγειν τὴν δίκην· αἱ δὲ δειναὶ θεαὶ, βαρέως ἐνεγκοῦσαι τοῦτο, καταδύσονται εἰς τὸ παρὰ τῷ Πάγῳ χάσμα τῆς χθονὸς, τοῦτο δὴ τὸ παρὰ τοῖς ἀνθρώποις σεμνόν τε καὶ εὐσεβὲς χρηστήριον· σὲ δὲ δεῖ ἐντεῦθεν μεταστῆναι εἰς πόλιν τινὰ τῶν Ἀρκάδων πρὸς τὸν Ἀλφειὸν παρὰ τῷ τάφῳ τοῦ Λυκαίου, ὅπου δὴ καὶ πόλις σοι ἐπώνυμος ἔσται.. Τὸν μὲν οὖν νεκρὸν τοῦ Αἰγίσθου Ἀργεῖοι ἐκκομίσαντες, θάψουσι· τὴν δὲ μητέρα τὴν σὴν, Μενέλαος καταχθεὶς

---

ἀπολύεται. 1264. Ἔκγε τοῦ θεοῖς] οὕτω μᾶλλον ἐξ ἑτέρας ἐκδόσεως ἀντὶ τοῦ, ἔκ τε τοῦ θεοῖς· ἵνα ᾖ, ἐξ ἐκείνου γοῦν τοῦ χρόνου. 1263. Χάσμα] τοῦτο δοκεῖ εἶναι τὸ σπήλαιον, ἐν ᾧ ἡ Κρέουσα συνελθοῦσα Ἀπόλλωνι, ἔτεκεν Ἴωνα· ὅ ἐν Ἴωνι, Μακρᾶς πέτρας καλεῖ. 1267. Ἐπώνυμος] Ὀρέστειον δηλονότι. ἴδε Ὀρέσ,

Μητέρα δὲ τὴν σὴν ἄρτι Ναυπλίαν παρὼν
Μενέλαος, ἐξ οὗ Τρωϊκὴν εἷλε χθόνα,
Ἑλένη τε θάψει. Πρωτέως γὰρ ἐκ δόμων
Ἥκει λιποῦσ' Αἴγυπτον, οὐδ' ἦλθεν Φρύγας.
Ζεὺς δ', ὡς ἔρις γένοιτο καὶ φόνος βροτῶν,
Εἴδωλον Ἑλένης ἐξέπεμψ' εἰς Ἴλιον.
Πυλάδης μὲν οὖν κόρην τε καὶ δάμαρτ' ἔχων,
Ἀχαΐδος γῆς οἴκαδ' ἐσπορευέτω,
Καὶ τὸν λόγῳ σὸν πενθερὸν κομιζέτω
Φωκέων ἐς αἶαν, καὶ δότω πλούτου βάρος.
Σὺ δ' Ἰσθμίας γῆς αὐχέν' ἐμβαίνων ποδὶ,
Χώρει πρὸς οἶκον Κεκροπίας εὐδαίμονα.
Πεπρωμένην γὰρ μοῖραν ἐκπλήσας φόνου,
Εὐδαιμονήσεις, τῶνδ' ἀπαλλαχθεὶς πόνων.

ΧΟ. Ὦ παῖδε Διὸς, θέμις ἐς φθογγὰς
Τὰς ὑμετέρας ὑμῖν πελάθειν;

ΔΙ. Θέμις, οὐ μυσαροῖς τοῖςδε σφαγίοις.

ΟΡ. Κἀμοὶ μύθου μέτα, Τυνδαρίδαι;

ΔΙ. Καὶ σοί· Φοίβῳ τήνδ' ἀναθήσω
Πρᾶξιν φονίαν.

ΧΟ. Πῶς, ὄντε θεὼ τῆσδε τ' ἀδελφὼ,
Κᾆτα φθιμένης,
Οὐκ ἠρκέσατον κῆρας μελάθροις;

ΔΙ. Μοῖραν ἀνάγκης ἦγεν τὸ χρεὼν,
Φοίβου τ' ἄσοφοι γλώσσης ἐνοπαί.

ΗΛ. Τίς δ' ἔμ' Ἀπόλλων, ποῖοι χρησμοὶ
Φονίαν ἔδοσαν μητρὶ γενέσθαι;

ἄρτι εἰς Ναυπλίαν, ἀφ᾽ οὗ ἐξεῖλε Τροίαν, καὶ ἡ Ἑλένη, τὴν τοῦ Πρωτέως ἐν Αἰγύπτῳ καταλιποῦσα οἰκίαν (οὐδὲ γὰρ ἦλθεν αὕτη, ὡς λέγεται, εἰς Τροίαν, ἀλλ᾽ ὁ Ζεὺς εἴδωλον αὐτῆς πλάσας, ἔπεμψεν εἰς Ἴλιον, ἔριν ἐμβαλὼν καὶ φόνον τοῖς ἀνθρώποις) αὐτοὶ ἀμφότεροι παραδώσουσι τῇ γῇ ἐκείνῃ. Πυλάδης τοίνυν, λαβὼν τὴν παρθένον, ἀγέτω οἴκαδε παρ᾽ ἑαυτῷ εἰς γάμον, ἀγαγὼν ἅμα καὶ τὸν δοκοῦντα ἄνδρα ταύτης ὁμοίως εἰς Φωκέας· ὅπου ἀμείψεται αὐτὸν τῆς ἀρετῆς, ὄλβιον ποιήσας· σὺ δὲ χώρει νῦν διὰ τοῦ Ἰσθμοῦ εἰς τὴν εὐδαίμονα τοῦ Κέκροπος οἰκίαν· δεῖ γάρ σε πρῶτον τὸ πεπρωμένον ἐπὶ τῷ φόνῳ ἐκπληρῶσαι, εἶθ᾽ οὕτως εὐδαιμονεῖν, πάντων τῶν κακῶν ἀπαλλαγέντα.

ΧΟ. Ὦ Διὸς παῖδες· ἔξεστιν εἰπεῖν ὅ,τι ποτὲ βουλοίμεθα πρὸς τὰ εἰρημένα.

ΔΙ. Πῶς γὰρ οὔ; καθαροὶ γὰρ ἐστὲ τοῦ φόνου.

ΟΡ. Ἔξεσθ᾽ ὁμοίως κἀμοὶ, ὦ Τυνδαρίδαι;

ΔΙ. Μάλιστα καὶ σοί γε· εἰς γὰρ Ἀπόλλωνα ἀνάγω τὴν αἰτίαν.

ΧΟ. Πῶς ὑμεῖς, θεοὶ ὄντες, καὶ ἀδελφοὶ τῆσδε τῆς τεθνηκυίας, οὐκ ἀπερύξατε τῷ οἴκῳ τήνδε τὴν ὀλεθρίαν τύχην;

ΔΙ. Τό,τε πεπρωμένον τῆς ἀναγκαίας μοίρας, καὶ ὁ ἄσοφος τοῦ Φοίβου χρησμὸς τῆς ἡμῶν βουλῆς κρείττω ἦσαν.

ΗΛ. Ἐμὲ δὲ τὶς Ἀπόλλων, ἢ χρησμὸς εἰς τοῦτ᾽ ἀποπίας προήγαγε, ὥστε με μητροκτόνον γενέσθαι;

---

στίχ. 1650. καὶ ἑξῆς. 1275. Εἴδωλον] ἴδε ταῦτα. Ἑλ. στίχ. 33. καὶ ἑξῆς 1286 Μυσαροῖς] θέμις ὑμῖν ἐστιν μὴ οὖσι μυσαροῖς ἐκ τῶν σφαγέντων τούτων.

ΔΙ. Κοιναὶ πράξεις, κοινοὶ δὲ πότμοι,
Μία δ' ἀμφοτέρους
Ἄτη πατέρων διέκναισεν.
ΟΡ. Ὦ σύγγονέ μοι, χρονίαν σ' ἐσιδὼν,
Τῶν σῶν εὐθὺς φίλτρων στέρομαι,
Καὶ σ' ἀπολείψω σοῦ λειπόμενος.
ΔΙ. Πόσις ἔστ' αὐτῇ καὶ δόμος· οὐχ ἥδ'
Οἰκτρὰ πέπονθεν, πλὴν ὅτι λείπει
Πόλιν Ἀργείων.
ΟΡ. Καὶ τίνες ἄλλαι στοναχαὶ μείζους,
Ἢ γῆς πατρῴας ὅρον ἐκλείπειν;
Ἀλλ' ἐγὼ οἴκων ἔξειμι πατρὸς,
Καὶ ἐπ' ἀλλοτρίαις ψήφοισι φόνον
Μητρὸς ὑφέξω.
ΔΙ. Θάρσει· Παλλάδος ὁσίαν ἥξεις
Πόλιν· ἀλλ' ἀνέχου·
ΗΛ. Περί μοι στέρνοις στέρνα πρόσαψον;
Σύγγονε φίλτατε·
Διὰ γὰρ ζευγνῦσ' ἡμᾶς πατρῴων
Μελάθρων μητρὸς φόνιοι κατάραι.
ΟΡ. Βάλε, πρόσπτυξον σῶμα· θανόντος δ'
Ὡς ἐπὶ τύμβῳ καταθρήνησον.
ΔΙ. Φεῦ, φεῦ, δεινὸν τόδ' ἐγηρύσω
Καὶ θεοῖσι κλύειν.
Ἔνι γὰρ κἀμοὶ τοῖς τ' οὐρανίδαις
Οἶκτοι θνητῶν πολυμόχθων.
ΟΡ. Οὐκέτι σ' ὄψομαι.
ΗΛ. Οὐδ' ἐγὼ εἰς σὸν βλέφαρον πελάσω.

ΔΙ. Ὧν γὰρ αἱ πράξεις κοιναὶ, κοιναὶ εἰσὶ καὶ αἱ τύχαι· μία γὰρ πρᾶξις προγονικὴ κατέκνησεν ὑμᾶς ἀμφοτέρους, κατιοῦσα ἐκεῖθεν.

ΟΡ. Ὦ φιλτάτη μοι ἀδελφὴ, μόλις χρόνῳ ἰδών σε, νῦν ἀποστερήσομαί σου πάλιν, πλανώμενος ἄλλῃ.

ΔΙ. Αὕτη μὲν οὐδὲν πέπονθε δεινὸν, εἰς ἄνδρ' ἀγαθὸν καὶ οἶκον ἥκουσα ὄλβιον, πλὴν ὅτι λείπει τὴν τῶν Ἀργείων πόλιν.

ΟΡ. Τί δὲ μεῖζον πρὸς κακοδαιμονίαν, ἢ πατρῴαν γῆν ἀπολιπεῖν; καὶ μὴν ἔγωγε ταύτης τε ἐκπεσοῦμαι, καὶ ἐπ' ἀλλοτρίαις ἔσομαι ψήφοις δίκην μητροκτονίας δοῦναι.

ΔΙ. Θαῤῥεῖν σε χρὴ πρὸς ταῦτα· εἰς γὰρ τὴν τῆς Παλλάδος ἥξεις πόλιν· ἀλλ' ἀνέχου μόνον.

ΗΛ. Ἀδελφὲ, δεῦρο περίπτυξαί με, στῆθος πρὸς στήθει τοὐμῷ ἁρμόσας· ὁρᾷς γὰρ, ὅπως ἡ τῆς μητρὸς ἡμᾶς ἀρὰ διαζεύγνυσιν ἀλλήλων τε καὶ τῆς πατρῴας οἰκίας.

ΟΡ. Ἄγε, προσπτυξαμένη μου τὸ σῶμα, καταθρήνησον ὡς ἀποθανόντος.

ΔΙ. Φεῦ, φεῦ! δεινὸν τοῦτ' εἶπας καὶ θεοῖς αὐτοῖς ἀκοῦσαι οἰκτρότατον· ἐμοῦ τε γὰρ τὸ πάθος τοῦτο καθικνεῖται, καὶ ἄλλως ἔτι τὸ αἴσθημα τοῦτ' οὐκ ἂν ἀδιάφορον γένοιτο, ὥστε τὰς τῶν θνητῶν συμφορὰς μὴ ἐποικτεῖραι.

ΟΡ. Οὐκέτι ὄψομαί σε.

ΗΛ. Οὐδ' ἐγώ σε φίλτατέ μοι.

---

1300. Μία ἄτη πατέρων] τὰ προγονικὰ ἀμπλακήματα, τὰ Ταντάλου, τὰ Ἀτρέως καὶ Θυέστου, καὶ Ἀερόπης, ταῦτα παιδεύουσιν ὑμᾶς· ἁμαρτίαι γὰρ γονέων, κατὰ τὸν σοφὸν ἐκεῖνον, παιδεύουσι τέκνα.

ΟΡ. Τάδε λοίσθιά μοι προσφθέγματά σου.
ΗΛ. Ὦ χαῖρε, πόλις·
Χαίρετε δ' ὑμεῖς πολλὰ, πολίτιδες.
ΟΡ. Ὦ πιστοτάτη, στείχεις ἤδη;
ΗΛ. Στείχω, βλέφαρον τέγγουσ' ἁπαλόν.
ΟΡ. Πυλάδη, χαίρων ἴθι· νυμφεύου
Δέμας Ἠλέκτρας.
ΔΙ. Τοῖσδε μελήσει γάμος· ἀλλὰ κύνας
Τάσδ' ὑποφεύγων, στεῖχ' ἐπ' Ἀθηνῶν·
Δεινὸν γὰρ ἴχνος βάλλουσ' ἐπὶ σοὶ
Χειροδράκοντες, χρῶτα κελαιναὶ,
Δεινῶν ὀδυνῶν καρπὸν ἔχουσαι·
Νὼ δ' ἐπὶ πόντον Σικελὸν σπουδῇ
Σώσοντε νεῶν πρώρας ἐνάλους.
Διὰ δ' αἰθερίας στείχοντε πλακὸς,
Τοῖς μὲν μυσαροῖς οὐκ ἐπαρήγομεν,
Οἷσιν δ' ὅσιον καὶ τὸ δίκαιον
Φίλον ἐν βιότῳ, τούτους χαλεπῶν
Ἐκλύοντες μόχθων, σώζομεν.
Οὕτως ἀδικεῖν μηθεὶς θελέτω,
Μηδ' ἐπιόρκων μέτα συμπλείτω·
Θεὸς ὢν θνητοῖς ἀγορεύω.
ΧΟ. Χαίρετε· χαίρειν δ' ὅστις δύναται,
Καὶ ξυντυχίᾳ μή τινι κάμνει
Θνητῶν, εὐδαίμονα πράσσει.

ΟΡ. Ταῦτάμοι πρὸς σὲ ὕστατα προσφεγμάτων.

ΗΛ. Ὦ πόλις χαῖρε· χαίρετε καὶ ὑμεῖς, ὦ φίλαι.

ΟΡ. Ὦ πιστοτάτη, καταλίπεις με, ἀπιοῦσα;

ΗΛ. Ἄπειμι δακρύων πεπλησμένη.

ΟΡ. Πυλάδη ἴθι χαίρων, νυμφεύου τὴν παρθένον.

ΔΙ. Ὁ μὲν γάμος ἐκείνοις μελήσει· σὺ δὲ ὑπεκφεύγων τὰς διωκούσας, σπεῦδε Ἀθήναζε· ὁρμῇ γὰρ πολλῇ δοκοῦσιν ἐπιέναι αἱ χειροδράκοντες καὶ μελάγχροοι ἐκεῖναι, μεγίστας σοι ἐπιφέρουσαι ὀδύνας. Ἡμεῖς δ' οὖν ἴωμεν παρὰ τὴν Σικελικὴν θάλασσαν σώσοντες σὺν σπουδῇ τὰς πλεούσας τῶν νεῶν· διὰ γὰρ τοῦ αἰθέρος ἰόντες, οἷς μὲν ὁ βίος φαῦλος, οὐκ ἀρήγομεν· οἷς δ' εὐσεβὴς καὶ δίκαιος, τούτους ἀπαλλάττοντες τῶν δεινῶν, διασώζομεν. Οὕτως οὖν μήτ' ἀδικήτω, μήτε συμπλείτω τὶς τοῖς ἐπιόρκοις· Ταῦτα δὲ θεὸς ὢν, θνητοῖς ὑμῖν οὖσι προστάττω.

ΧΟ. Χαίρετε· ὃς γὰρ δύναται χαίρειν, εὐδαιμόνως διαβιώσει, καὶ οὐδέποτ' ἂν οὗτος ταῖς τύχαις ἐνδιδοίη.

# ΗΡΑΚΛΗΣ
# ΜΑΙΝΟΜΕΝΟΣ.

# ΥΠΟΘΕΣΙΣ.

Ἡρακλης, γήμας Μεγάραν τὴν Κρέοντος, παῖδας ἐξ αὐτῆς ἐγέννησε· καταλιπὼν δὲ τούτους ἐν ταῖς Θήβαις, αὐτὸς εἰς Ἄργος ἦλθεν, Εὐρυσθεῖ τοὺς ἄθλους ἐκπονήσων. πάντων δὲ περιγενόμενος, ἐπὶ πᾶσιν εἰς Ἅδου κατῆλθε. καὶ πολὺν ἐκεῖ διατρίψας χρόνον, δόξαν ἀπέλιπε παρὰ τοῖς ζῶσιν, ὡς εἴη τεθνηκώς· στασιάσαντες δὲ οἱ Θηβαῖοι πρὸς τὸν δυνάστην Κρέοντα, Λύκον ἐκ τῆς Εὐβοίας κατήγαγον· ὁ δ' ἐπιὼν τόν τε τῆς γῆς κρατοῦντα Κρέοντα φονεύει, καὶ τοὺς τοῦ Ἡρακλέους παῖδας σὺν τῇ Μητρὶ αἰτεῖ, ὡς ταῦτα δράσων· ἐπιὼν δ' ὡς ληψόμενος, ἀναιρεῖται ὑπὸ Ἡρακλέους, ὃς μικροῦ πρόσθεν ἐπανεληλυθὼς ἐξ Ἅδου, ἐνήδρευσε κατὰ τὴν οἰκίαν. Ἐντεῦθεν δὲ Ἥρα, παλαιῷ δουλεύσασα πάθει, πέμψασα τὴν Λύσσαν, ἡγουμένης τῆς Ἴριδος, ἔτρεψεν αὐτὸν εἰς μανίαν μεταξὺ θύοντα. Φονεύσας οὖν τὴν Μεγάραν τε καὶ τὰ τέκνα τὰ ἑαυτοῦ, τρέπεται πρῶρον εἰς ὕπνον· εἶτα δὲ διϋπνυσθεὶς σωφρονῶν, ὡς ἔμαθε τὸ παρατράγῳδον τοῦτο ἔργον, ὀδύρεται καὶ ἐπικαλεῖται τὸν θάνατον· ἀλλ' ἐν τούτῳ ἐλθὼν ὁ Θησεὺς Ἀθήνηθεν συνδυνάμει ὡς ἐπικουρήσων, καὶ εὑρὼν αὐτὸν οὕτως ἔχοντα στυγερῶς, παραμυθεῖται· καὶ παραλαβὼν αὐτὸν ἐπανήκει Ἀθήναζε.—Ἡ σκηνὴ τοῦ δράματος ἐν Θήβαις ἐν τῇ οἰκίᾳ τοῦ Ἡρακλέους.

ΤΑ

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ἈΜΦΙΤΡΥΩΝ.

ΜΕΓΑΡΑ.

ΛΥΚΟΣ.

ΙΡΙΣ.

ΛΥΣΣΑ.

ΑΓΓΕΛΟΣ.

ΗΡΑΚΛΗΣ.

ΘΗΣΕΥΣ.

ΧΟΡΟΣ. Θηβαίων γερόντων

Προλογίζει δὲ ὁ Ἀμφιτρύων.

# ΗΡΑΚΛΗΣ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

ΑΜΦΙΤΡΥΩΝ, ΜΕΓΑΡΑ, ΛΥΚΟΣ, ΧΟΡΟΣ.

ΑΜ. ΤΙΣ τὸν Διὸς σύλλεκτρον οὐκ οἶδεν βροτῶν,
Ἀργεῖον Ἀμφιτρύων', ὃν Ἀλκαῖός ποτε
Ἔτιχθ' ὁ Περσέως, πατέρα τόνδ' Ἡρακλέους;
Ὃς τάσδε Θήβας ἔσχεν, ἔνθ' ὁ γηγενὴς
Σπαρτῶν στάχυς ἔβλαστεν, ὧν γένους Ἄρης
Ἔσωσ' ἀριθμὸν ὀλίγον, οἳ Κάδμου πόλιν
Πυργοῦσι παίδων παισίν· ἔνθεν ἐξέφυ
Κρέων, Μενοικέως παῖς, ἄναξ τῆσδε χθονός.
Κρέων δὲ Μεγάρας τῆσδε γίγνεται πατὴρ,
Ἣν πάντες ὑμεναίοισι Καδμεῖοί ποτε
Λωτῷ συνηλάλαξαν ἡνίκ' εἰς ἐμοὺς
Δόμους ὁ κλεινὸς Ἡρακλῆς νιν ἤγετο.

---

1. Σύλλεκτρον] Ζεὺς γὰρ ἐρασθεὶς Ἀλκμήνης, ἐν τρισὶ νυξὶ συνεχῶς αὐτῇ συνευνασθεὶς, ἔσπειρε τριέσπερον τὸν μέγαν Ἡρακλέα· Ἀμφιτρύων δὲ ἐγένετο Ἀλκαίου· Ἀλκαῖος δὲ, Περσέως· Περσεὺς δὲ, Δανάης καὶ Διός· Δανάη δὲ, Ἀκ-

# ΗΡΑΚΛΗΣ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ.

**ΑΜΦΙΤΡΥΩΝ, ΜΕΓΑΡΑ, ΛΥΚΟΣ, ΧΟΡΟΣ.**

**ΑΜ.** Τις τῶν πάντων ἀνθρώπων οὐκ οἶδεν Ἀμφιτρύωνα τὸν ἐξ Ἄργους τὸν σύλλεκτρον τοῦ Διός, τοῦ Λυκαίου μὲν τοῦ Περσέως αὐτὸν γενόμενον, παῖδα δὲ γεινάμενον Ἡρακλέα; ὃς Θήβας ταυτασὶ κατοικήσας τυγχάνω, ἐν αἷς ἐβλάστησαν οἱ Σπαρτοί· ὧν ὀλίγοι τινὲς διασωθέντες ἐξ Ἄρεως, τὸν τῶν πολιτῶν ἀριθμὸν διαδοχαῖς τέκνων ἐπλήθυναν ὑστέρῳ χρόνῳ, ἐξ ὧν ἐγένετο καὶ Κρέων ὁ Μενοικέως, ὁ τῆς γῆς ταύτης ἄρξας· οὗ τὴν θυγατέρα τήνδε Μεγάραν, γυναῖκα δὲ Ἡρακλέους πάντες ὕμνησαν ᾠδαῖς Καδμεῖοι ἐν ὑμεναίοις, ὁπόθ' οὑμὸς οὗτος

ρισίου. 4. Γηγενὴς στάχυς] ὁ σπαρεὶς ἐκ τῶν ὀδόντων τοῦ δράκοντος τοῦ φενευθέντος ὑπὸ Κάδμου· πολὺς δὲ περὶ τούτου ὁ λόγος ἐν Φοινίσσαις. 6. Ἀριθμὸν ὀλίγον] πέντε μόνους, Χθόνιον, Οὐδαῖον, Πέλωρον, Ὑπερήνορα, Ἐχίονα

Λιπὼν δὲ Θήβας, οὗ κατῳκίσθην ἐγὼ,
Μεγάραν τε τήνδε, πενθερούς τε παῖς ἐμὸς,
Ἀργεῖα τείχη καὶ Κυκλωπείαν πόλιν
Ὠρέξατ' οἰκεῖν, ἣν ἐγὼ φεύγω, κτανὼν
Ἠλεκτρύωνα· συμφορὰς δὲ τὰς ἐμὰς
Ἐξευμαρίζων, καὶ πάτραν οἰκεῖν θέλων,
Καθόδου δίδωσι μισθὸν Εὐρυσθεῖ μέγαν
Ἐξημερῶσαι γαῖαν, εἴθ' Ἥρας ὕπο
Κέντροις δαμασθεὶς, εἴτε του χρεὼν μέτα.
Καὶ τοὺς μὲν ἄλλους ἐξεμόχθησεν πόνους.
Τὸ λοίσθιον δὲ, Ταινάρου διὰ στόμα
Βέβηκ' ἐς Ἅδου, τὸν τρισώματον κύνα
Ἐς φῶς ἀνάξων, ἔνθεν οὐχ ἥκει πάλιν.
Γέρων δὲ δή τίς ἐστι Καδμείων λόγος,
Ὡς ἦν πάρος Δίρκης τις εὐνήτωρ Λύκος,
Τὴν ἑπτάπυργον τήνδε δεσπόζων πόλιν,
Τὼ λευκοπώλω πρὶν τυραννῆσαι χθονὸς
Ἀμφίον' ἠδὲ Ζῆθον, ἐκγόνω Διός.
Οὗ ταὐτὸν ὄνομα παῖς πατρὸς κεκλημένος,
Καδμεῖος οὐκ ὢν, ἀλλ' ἀπ' Εὐβοίας μολὼν,
Κτείνει Κρέοντα, καὶ κτανὼν, ἄρχει χθονὸς,
Στάσει νοσοῦσαν τήνδ' ἐπεσπεσὼν πόλιν.
Ἡμῖν δὲ κῆδος ἐς Κρέοντ' ἀνηγμένον,

ἴδε Φοιν. στίχ. 930. — 14. Μεγάραν δὲ] τί δ' οὐχὶ γραπτέον μᾶλλον, Μεγάραν τε; τὸ δὲ πενθεροὺς, κοινὸν τοῖς ἐξ ἐπιγαμίας συγγενέσι. 15. Κυκλω-

παῖς αὐτὴν συνηρμόσατο γάμῳ· ὃς νῦν καταλιπὼν Θήϐας τήν τε Μεγάραν ταύτην καὶ τοὺς πενθεροὺς, ὡρμήθη κατοικεῖν τὸ Ἄργος, ταῦτα δὴ τὰ τῶν Κυκλώπων τείχη· ὧν ἐγὼ τυγχάνω φυγὰς ὢν, ὡς ἀνῃρηκὼς Ἠλεκτρύωνα. Τοῦτο τοίνυν βουλόμενος καταπράξασθαι, καὶ τὴν ἐμὴν συμφορὰν παραιτεῖσθαι πρὸς Εὐρυσθέως, ὑπισχνεῖται αὐτῷ μισθὸν τῆς καθόδου πᾶσαν ἐξημερῶσαι τὴν γῆν, εἴθ᾽ ὑπὸ τῆς Ἥρας εἰς τοῦτο, εἴθ᾽ ὑπό τινος ἄλλης τύχης ἐξορμηθείς. Τοὺς μὲν οὖν ἄλλους ἄθλους ἠγωνίσαντο πάντας· ὃν δὲ νῦν ἔσχατον ὑπέστη ἐξ ᾅδου ἀναγαγεῖν διὰ Ταινάρου, τοῦτον δὴ τὸν τρικέφαλον κύνα, οὔπω δῆλος ὅ,τι ποτ᾽ ἐστὶ δεδρακώς· οὐδ᾽ ἀνεχώρησέ πω ἐκεῖθεν. Λόγος τοίνυν ἀρχαῖος διὰ πάντων τῶν Καδμείων ἀληθὴς διαῤῥεῖ, ὡς Λύκος τὶς ποτὲ Δίρκης συνευνέτης, τῆςδε τῆς ἑπταπύλου πόλεως γέγονε κρατῶν, πρὶν ἢ τῆς γῆς τοὺς ἐκ Διὸς Ἀμφίονά τε καὶ Ζῆθον τοὺς λευκοπώλους ἄρξαι· ᾧ ὁμώνυμος νῦν παῖς αὐτοῦ ἔπηλυς ἐξ Εὐϐοίας ποθὲν ἐλθὼν, καὶ ςασιάζουσιν ἐπιπεσὼν Θηϐαίοις, αὐτόν τε Κρέοντα ἀποκτείνει, καὶ τῆς πόλεως κρατεῖ· ὑμῖν δ᾽ οὖν ἐπιγα-

---

πεῖαν] τὸ Ἄργος αὐτὸ τὸ ὑπὸ Κυκλώπων τειχισθέν. ἴδε Ἰφ. Αὐλ. ςίχ. 152.— 17. Ἠλεκτρύωνα] τὸν πατέρα τῆς Ἀλκμήνης. ἴδε Ἀπολ. βιϐλ. Β. 4, 6. καὶ Ὁμ. Ὀδ. Λ. στίχ. 265. ὁ σχολιαστὴς φησὶ, Καὶ Ἀμφικτύων ἀποκτείνας ἀκουσίως Ἠλεκτρύωνα, φεύγει εἰς Θήϐας. ἴδε δὲ καὶ κατωτέρω. στίχ. 1082. — 19. Καθόδου] ἐν ἄλλοις καθόλου, οὐ καλῶς. 29. Λευκοπώλω] οἱ αὐτοὶ ἦσαν

Κακὸν μέγιστον, ὡς ἔοικε, γίγνεται.
Τοὐμοῦ γὰρ ὄντος παιδὸς ἐν μυχοῖς χθονὸς,
Ὁ κλεινὸς οὗτος τῆσδε γῆς ἄρχων Λύκος
Τοὺς Ἡρακλείους παῖδας ἐξελεῖν θέλει,
Κτανὼν Δάμαρτά θ', ὡς φόνῳ σβέσῃ φόνον,
Κἄμ', εἴ τι δὴ χρὴ κἄμ' ἐν ἀνδράσιν λέγειν,
Γέροντ' ἀχρεῖον, μή ποθ' οἵδ' ἠνδρωμένοι,
Μήτρωσιν ἐκπράξωσιν αἵματος δίκην.
Ἐγὼ δὲ, (λείπει γάρ με τοῖσδ' ἐν δώμασιν
Τροφὸν τέκνων οἰκουρὸν, ἡνίκα χθονὸς
Μέλαιναν ὄρφνην εἰσέβαινε παῖς ἐμὸς,)
Σὺν μητρὶ, τέκνα μὴ θάνωσ' Ἡρακλέους,
Βωμὸν καθίζω τόνδε σωτῆρος Διὸς,
Ὃν καλλινίκου δορὸς ἄγαλμ' ἱδρύσατο,
Μινύας κρατήσας οὑμὸς εὐγενὴς τόκος.
Πάντων δὲ χρεῖοι τάσδε ἕδρας φυλλάσσομεν,
Σίτων, ποτῶν, ἐσθῆτος, ἀστρώτῳ πέδῳ
Πλευρὰς τιθέντες· ἐκ γὰρ ἐσφραγισμένοι
Δόμων καθήμεθ' ἀπορίᾳ σωτηρίας.
Φίλων δὲ τοὺς μὲν οὐ σαφεῖς ὁρῶ φίλους,
Οἱ δ' ὄντες ὀρθῶς, ἀδύνατοι προσωφελεῖν.
Τοιοῦτον ἀνθρώποισιν ἡ δυσπραξία,
Ἧς μή ποτ', ὅστις καὶ μέσως εὔνους ἐμοὶ,
Τύχοι φίλων, ἔλεγχον ἀψευδέστατον.

---

τοῖς Διοσκούροις. ἴδε Φοιν. 619. — 43, Μήτρωσιν] ἐν ἄλλοις Μήτρωος ἑνικῶς·

μιᾶς πρὸς Κρέοντα οὔσης, εἰς κίνδυνον τὰ πράγματα περιΐσταται. Ἡρακλέους γὰρ ἐν Ἅδου ὄντος, ὁ Λύκος οὗτος ἄρχων ἤδη, οὐκ ἂν ἀποσταίη τοῦ μὴ ἐθέλειν τοὺς ἐκείνου παῖδας τουτουσὶ καὶ τὴν μητέρ' ὁμοίως, κἀμὲ αὐτὸν, εἴτι δέοι καὶ ἐμαυτὸν μετρεῖν ἐν ἀνδράσι, γέροντ' ἀβληχρὸν ἤδη ὄντα, ἐξελεῖν, ἵνα φόνῳ τὸν φόνον φθαίη· δέδοικε γὰρ, μή ποθ' οὗτοι ὑστέρῳ χρόνῳ ἀνδρωθέντες, τιμωροὶ τῷ τοῦ μητροπάτορος αἵματι γένωνται· ἐγὼ δὲ, τὴν τῶν τέκνων φροντίδα οἴκοι μοὶ τοῦ παιδὸς ἐπιτρέψαντος, ἡνίκα καταλιπὼν τὴν πόλιν ἀπῄει ἐς τὸν Ἅδην, καθίζω νῦν σὺν τῇ μητρὶ ἱκέτης, ἵνα μὴ πάθωσιν οἱ παῖδές τι, ἐπὶ τοῦ βωμοῦ τοῦ σωτῆρος Διὸς, ὃν οὑμὸς παῖς, νικήσας Μινύας, ἱδρύσατο· καθήμεθα δὲ ὧδε, ἐνδεεῖς ὄντες πάντων, σίτου, ποτοῦ, ἐσθῆτος, στρώματος, οὕτως εἰκῇ ἐπὶ γῆς ἐν ἀστρώτοις κατακλινόμενοι· τῶν γὰρ ὑπαρχόντων ἡμῖν καθάπαξ ἀποκλεισθέντες, οὐδὲν ἔσχομεν τῶν ἰδίων· τῶν δ' αὖ φίλων οἱ μὲν ἄρα λόγῳ ἦσαν τοιοῦτοι· οὓς δ' ὁρῶ ἀγαθούς γε ὄντας, οὐκ εἰσὶν οἷοι καὶ ἐπαμύναι· ἔλεγχος γὰρ ἀψευδέστατος φίλων ἐστὶν ἡ δυσπραξία· ἧς μηδεὶς, μήτε τῶν μετρίως ἐμὲ φιλούντων τύχοι.

---

τοῦ Κρέοντος, τοῦ ἐκ μητρὸς πάππου. 49. Ἄγαλμα δορὸς] τρόπαιον περὶ δὲ τῆς μάχης πρὸς Μινύας μέτιθι 'Απολ. βιβλ. Β., 4, 2. καὶ Πολυαίνου ϛρατηγ. Α. γ. 58, Ἧς] οὕτω γὰρ μᾶλλον ἐξ ἑτέρας γραφῆς, ἀντὶ τοῦ Ἦν· τὸ δὲ Ἔλεγχον ληφθήτω ὡς ἀπόλυτόν τι κατ' ἐπεξήγησιν μόνον· δυνατὸν κατὰ τὸν Ἡρωδιανὸν, καὶ οὐδετέρως ἐκλελῆφθαι τὸ, Ἔλεγχον· καθάπερ ὁ σκότος καὶ τὸ σκό-

ΜΕ. Ὦ πρέσβυ, Ταφίων ὅς πότ' ἐξεῖλες πόλιν,
Στρατηλατήσας κλεινὰ Καδμείων δορὸς,
Ὡς οὐδὲν ἀνθρώποισι τῶν θεῶν σαφές!
Ἐγὼ γὰρ οὔτ' ἐς πατέρ' ἀπηλάθην τύχης,
Ὅς οὕνεκ' ὄλβου μέγας ἐκομπάσθη ποτὲ,
Ἔχων τυραννίδ', ἧς μακραὶ λόγχαι πέρι
Πηδῶσ' ἔρωτι σώματ' εἰς εὐδαίμονα,
Ἔχων δὲ τέκνα, κἄμ' ἔδωκε παιδὶ σῷ,
Ἐπίσημον εὐνὴν Ἡρακλεῖ συνοικίσας.
Καὶ νῦν ἐκεῖνα μὲν θανόντ' ἀνέπτατο·
Ἐγὼ δὲ καὶ σὺ μέλλομεν θνήσκειν, γέρον,
Οἵ θ' Ἡράκλειοι παῖδες, οὓς ὑπὸ πτεροῖς
Σώζω νεοσσοὺς, ὄρνις ὥς, ὑφειμένη.
Οἱ δ' εἰς ἔλεγχον ἄλλος ἄλλοθεν πιτνῶν,
Ὦ μῆτερ, αὐδᾷ, ποῖ πατὴρ ἄπεστι γῆς;
Τί δρᾷ; πόθ' ἥξει; τῷ νέῳ δ' ἐσφαλμένοι,
Ζητοῦσι τὸν τεκόντ'· ἐγὼ δὲ διαφέρω
Λόγοισι μυθεύουσα· θαυμάζω δ', ὅταν
Πύλαι ψοφῶσι, πᾶς τ' ἀνίστησιν πόδα,
Ὡς πρὸς πατρῷον προσπεσούμενοι γόνυ.
Νῦν οὖν τίν' ἐλπίδ', ἢ πόρον σωτηρίας
Ἐξευμαρίζῃ, πρέσβυ; πρὸς σὲ γὰρ βλέπω.
Ὡς οὔτε γαίας ὅρι' ἂν ἐκβαῖμεν λάθρα·
(Φυλακαὶ γὰρ ἡμῶν κρείσσονες κατ' ἐξόδους·)
Οὔτ' ἐν φίλοισιν ἐλπίδες σωτηρίας

ΜΕ· Ὦ γέρων, ὁ τὴν τῶν Ταφίων πόλιν ποτὲ ἐξελὼν, μετὰ δόξης καλῆς ἡγησάμενος Καδμείων· ὡς ἀπόῤῥητά τε καὶ δυστέκμαρτά ἐστι τὰ τῶν θεῶν ἀνθρώποις· αὐτίκα γὰρ ἐγὼ πρός τε πατρὸς πρός τε τοῦ ἀνδρὸς εὐτυχὴς ἐγενόμην· ἐκεῖνος μὲν γὰρ πλούτῳ τε ἤρθη μέγας, καὶ παῖδας ἐγέννησε, καὶ βασιλείαν ἔσχε, περὶ ἧς ἄνδρες ἀγαθοὶ καὶ εὐδαίμονες τῷ περιμάχητον αὐτὴν εἶναι, διαπληκτιζόμενοι πρὸς ἀλλήλους, οἰκτρῶς ἀναιροῦνται· οὗτος δ' αὖ ὁ σὸς κλεινὸς παῖς, ᾧ οὑμὸς πατὴρ συνῴκησέ με γάμῳ, εὐκλεέστατος ἐγένετο πάντων· ἀλλὰ νῦν γ' ἐκεῖνα πάντ' ἐγένοντο φροῦδα· καὶ ἡμεῖς ἄμφω μέλλομεν ἀποθνήσκειν σὺν τοῖς παισὶν Ἡρακλέους τουτοισί· οὓς ὥσπερ ὄρνις νεοσσοὺς τοῖς ἐμοῖς πτεροῖς ὑποθάλπω· ὧν ἄλλος ἄλλοθεν προσιὼν διαπυνθάνεται, ποῦ ποτ', ὦ μῆτερ, ἐστὶν ὁ πατὴρ, ποῖ δὲ γῆς ἄπεστιν ἀπιών; τί δρᾷ; πόθ' ἥξει δεῦρο; οὕτω μὲν ἐκεῖνοι σφαλλόμενοι νηπιότητι, ζητοῦσι τὸν πατέρα· ἐγὼ δ' ἄλλοις ἄλλοτε λόγοις διαβουκολοῦσα, ἐς ἄλλα αὐτῶν παράγω τὸν νοῦν· θαυμάζω δὲ, ὅπως ἅμα τῆς θύρας μικρὸν ψοφησάσης, ἀνίσταται πᾶς, ὡς δεξιωσόμενος τὸν πατέρα. Σὺ τοίνυν, ὦ πρέσβυ, τί φρονεῖς περὶ τούτων; πρὸς σὲ γὰρ μόνον νῦν ἀποβλέπω· καὶ τίνα σωτηρίας ὑποθάλπεις ἐλπίδα; ὁρᾷς γὰρ ὅπως φυλακῆς ἰσχυρᾶς

στιχ. 60. Ταφείων] Τάφος νῆσος μία τῶν Ἐχινάδων. ἴδε κατωτέρω. στίχ. 1092.

Ἔτ' εἰσὶν ἡμῖν· ἥντιν' οὖν γνώμην ἔχεις,
Λέγ' ἐς τὸ κοινὸν, μὴ θανεῖν ἕτοιμον ᾖ,
Χρόνον δὲ μηκύνωμεν, ὄντες ἀσθενεῖς.
ΑΜ. Ὦ θύγατερ, οὔτοι ῥᾴδιον τὰ τοιάδε
Φαύλως παραινεῖν σπουδάσαντ' ἄνευ πόνου.
ΜΕ. Λύπης τι προσδεῖς; ἢ φιλεῖς οὕτω φάος;
ΑΜ. Καὶ τῷδε χαίρω, καὶ φιλῶ τὰς ἐλπίδας.
ΜΕ. Κἀγώ· δοκεῖν δὲ τἀδόκητ' οὐ χρὴ, γέρον.
ΑΜ. Ἐν ταῖς ἀναβολαῖς τῶν κακῶν ἔνεστ' ἄκη.
ΜΕ. Ὁ δ' ἐν μέσῳ με, λυπρὸς ὢν, δάκνει χρόνος.
ΑΜ. Γένοιτ' ἂν, ὦ θύγατερ, ἔτ' οὔριος δρόμος
Ἐκ τῶν παρόντων τῶνδ' ἐμοὶ καὶ σοὶ κακῶν,
Ἔλθοι τ' ἔτ' ἂν παῖς οὑμὸς, εὐνήτωρ δὲ σός.
Ἀλλ' ἡσύχαζε καὶ δακρυῤῥόους τέκνων
Πηγὰς ἀφαίρει καὶ παρευκήλει λόγοις,
Κλέπτουσα μύθοις ἀθλίους κλοπὰς ὅμως.
Κάμνουσι γάρ τοι καὶ βροτῶν αἱ συμφοραὶ,
Καὶ πνεύματ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει,
Οἵ τ' εὐτυχοῦντες διὰ τέλους οὐκ εὐτυχεῖς·
Μεθίσταται γὰρ πάντ' ἀπ' ἀλλήλων δίχα.
Οὗτος δ' ἀνὴρ ἄριστος, ὅστις ἐλπίσιν
Πέποιθεν ἀεί· τὸ δ' ἀπορεῖν, ἀνδρὸς κακοῦ.

ἴδε καὶ 'Απολ. Β. 4, 2. 86. Μὴ θανεῖν ἕτοιμον ᾖ] μὴ ἀνάγκης οὔσης ἀποθανεῖν ἡμᾶς διὰ τὸ ἀσθενεῖς εἶναι, ἀναβάλωμεν τοῦτο μάτην.

ὁρισθείσης ἡμῖν πανταχόθεν, οὔτ' ἂν ἔξω τῶν τῆς γῆς ταύτης ὅρων, λαθόντες γενοίμεθα· οὔτ' ἂν ἄλλως βοήθειαν ἑαυτοῖς παρὰ φίλων ποθὲν ἐλπίζοιμεν ἔσεσθαι· τίν' οὖν γνώμην ἔχεις εἰπεῖν περὶ τούτων, κοίνωσον κἀμοί· εἰ γὰρ ἔδοξεν ἀποθανεῖν, τί ἔτι ἀναβάλλομεν ἐκ φιλοψυχίας;

ΑΜ. Ὦ θύγατερ, ὅστις βούλεται τοιαῦτα νουθετεῖν, οὐχ ἁπλῶς, οὐδὲ ῥαθύμως, ἀλλ' ὡς μάλιστα ἐσκεμμένως καὶ σὺν σπουδῇ ὀφείλει τοῦτο ποιεῖν.

ΜΕ. Πότερον, ὅπως πλείονος μεταξὺ τύχης λύπης, ἢ ἐκ φιψυχίας;

ΑΜ. Τό,τε φῶς ἡδὺ, καὶ ἡ ἐλπὶς μάλισθ' ὑποθάλπει.

ΜΕ. Κἀμοί· ἀλλὰ τί χρὴ ποιεῖν, περὶ ὧν ἐλπὶς οὐκ ἔστιν;

ΑΜ. Ἐν ταῖς ἀναβολαῖς πολλάκις εὑρέθη σωτηρία.

ΜΕ. Ἀλλ' ὁ χρόνος μεταξὺ λυπεῖ με δάκνων.

ΑΜ. Εἴη δ' ἂν ἡμῖν, ὦ θύγατερ, τῶν παρόντων κακῶν ἀπαλλαγῆναι· οὐ γὰρ πᾶσα ἡ ἐλπὶς ἤρθη πω ἥξειν ποτὲ τὸν Ἡρακλέα· ἀλλὰ σύτ' ἔχ' [ἀτρέμας, καὶ τὰ δάκρυα τῶν παίδων ὕφελε τὰ εἰκότα, λόγοις τερπνοῖς διαπαιδαγωγοῦσα αὐτοῖς τὸ βαρύθυμον, καὶ μύθοις παράγουσα ἄλλοτ' ἄλλοσε· πεφύκασι γὰρ καὶ αἱ συμφοραὶ οὐχ ἧττον, ἢ τὰ τῶν ἀνέμων πνεύματα, λωφᾶν· ὥσπερ αὖ, οἷς τὰ πράγματ' εὐτυχῶς δοκεῖ φέρεσθαι, οὐκ ἔσθ' ὅπως ἐς τέλος τὸ εὐτυχὲς διασώσουσι· θάτερον γὰρ εἰς τὸ ἕτερον μεταβάλλει, καὶ οὐκ ἂν εἰς ταὐτὸν μέχρι τέλους βαίη εὐτυχία καὶ δυστυχία· διὸ ἄριστ' ἂν διατελοίη φρονῶν ὁ πεποιθὼς ἐλπίδι· ὁ δ' ἀπολέσας ταύτην, οὐκ ἂν εἴη ἀνὴρ ἀγαθός.

ΧΟ. Ὑπώροφα μέλαθρα (στρ.)
Καὶ γεραιὰ δέμνι', ἀμφὶ βάκτροις
Ἔρεισμα θέμενος, ἐστάλην ἰηλέμων
Γόων ἀοιδὸς, ὥστε πολιὸς ὄρνις,
Ἔπεα μόνον καὶ δόκημα νυκτερωπὸν
Ἐννύχων ὀνείρων,
Τρομερὰ μὲν, ἀλλ' ὅμως πρόθυμα·
Ὦ τέκεα, τέκεα, πατρὸς ἀπάτορ',
Ὦ γεραιὲ, σύ τε, τάλαινα μᾶ-
Τερ, ἃ τὸν Ἀΐδα δόμοις
Πόσιν ἀναστενάζεις!
Μὴ προκάμητε, πόδα (ἀντ.)
Βαρύ τε κῶλον, ὥστε πρὸς πετραῖον
Λέπας ζυγηφόρον πῶλον ἀνέντες· ὡς
Βάρος φέρων τροχηλάτοιο κώλου,
Λαβοῦ χερῶν καὶ πέπλων, ὅτου λέλοιπε
Ποδὸς ἀμαυρὸν ἴχνος·
Γέρων γέροντα παρακόμιζε,
Ὦ ξύνοπλα δόρατα νέα νέῳ
Τὸ πάρος ἐν ἡλίκων πόνοις
Ξυνῆν ποτ', εὐκλεεστάτας
Πατρίδος οὐκ ὀνείδη.
Ἴδετε, πατρὸς ὡς (ἐπῳδ.)
Γοργῶπες αἵδε προσφερεῖς

---

113. Τρομερὰ μὲν] ἐν ἄλλοις δὲ κεῖται Μόνον. 116. Τὸν ἀΐδα] ἀντὶ ᾅδου, δωρικῶς. 119. Ὥστε πρὸς] ἐν ἄλλοις δὲ ἄλλως θέσεως ἔχουσιν οἱ ςίχοι, ᾠδί.

» Ὥστε πρὸς πετραῖον
» Λέπας ζυγηφόρον
» Πῶλον ἀνέντες, ὡς

ΧΟ. Τὴν ὑπώροφον οἰκίαν καὶ τὴν ἐμαυτοῦ γεραιὰν εὐνὴν καταλιπὼν, ἀφικόμην ἐνταῦθα, ἐπιστηριζόμενος βάκτρῳ, θρήνους, ὥσπερ κύκνος πολιὸς, ἐπᾳσόμενος, λόγους, φημὶ, καὶ νυκτερινὸν φάσμα οἷον ἐνύπνιον μόνον, τρέμων μὲν, ἀλλ' ὅμως προθυμίᾳ. Ἰὼ τέκνα, τέκνα πατρὸς ἐστερημένα· ἰὼ γεραιὲ, καὶ σὺ ὦ μῆτερ δύστηνε, ἡ τὸν σαυτῆς θρηνοῦσα ἄνδρα, τὸν ἐν δόμοις τοῦ Ἅδου ἤδη ὄντα.

Μὴ προκάμηθ' ὑμεῖς ἑπόμενοί μοι, ὥστε κινεῖν τὸν πόδα, καὶ τὸ βάρος τοῦ σώματος, καθάπερ ἵππον ἀνέλκονθ' ἅμαξαν πρὸς ὄρος· ὡς οὖν βάρος φέρων ἐλαυνομένου τοῦ ποδὸς, λαβοῦ τῶν χειρῶν καὶ τῶν ἱματίων ἄλλου, εἴτινα ἡ τῶν ποδῶν ἰσχὺς ἀπέλιπεν, ὅλως καὶ γέρων γέρονθ' ἕκαστος χειραγωγῶν, χωρεῖτε· οἱ ποτὲ νέοι ὄντες, εἰς ταὐτὸν ἐτίθεσθε τὰ ὅπλα, συντεταγμένοι ἐν τοῖς τῶν συνηλίκων ἔργοις, ἃ ἔργα ἐστὶν εὐκλεῆ εὐκλεεστάτης πατρίδος.

Ἴδετε τὸ γοργὸν τῶν ὀφθαλμῶν τῶν παίδων τῶνδε,

---

Ὁ δὲ νοῦς, μὴ προκάμνετε ἀνέντες (ἀφέντες, κινοῦντες) τὸν πόδα, ὥπσερ ἵππον ἐζευγμένον πρὸς ὄρος ἄνω· ὃς χαλεπῶς ἀναβαίνει διὰ τὸ βάρος τῆς ἁμάξης· οὕτω καὶ ὑμεῖς ὡς βάρος (τὸ γῆρας) φέροντες, τῶν ποδῶν μόλις παρασυρομένων, λάβεσθε τῆς χειρὸς ἀλλήλων· ὅσους μάλιστα ἀπολέλοιπε τὸ βαδίζειν, καὶ γέρων γέροντα παρακομιζέτω. Οὕτως ἔμοιγε ταῦτ' ἐχέτω· οὐδὲν γὰρ ἢ τὴν τῶν συγγερόντων ἀδυναμίαν ὁ πρῶτος τοῦ Χοροῦ θεραπεύειν πειρᾶται· καὶ πρὸς τοὺς περὶ τὸν Ἀμφιτρύωνα οὐδὲν συντείνει ταῦτα· τὸ δὲ Κώλου, ἐν ἄλλοις κεῖται Πώλου πιθανῶς. 125. Τὸ πάρος] ἐν ἄλλοις κεῖται, τὸν πάρος. 126. Ξύνοπλα δούρατα] ἐν στρατοπέδοις ὁπλοφόροις καὶ νεανικοῖς· ἡμῶν συντεταγμένων, ἅπερ ἐστὶ, οὐκ ὀνείδη, ἀλλὰ δόξα τῆς πατρίδος. 133. Οὐκ ἀποι-

Ὀμμάτων αὐγαί.
Τὸ δὲ δὴ κακοτυχὲς οὐ λέλοιπεν ἐκ τέκνων,
Οὐδ' ἀποίχεται χάρις.
Ἑλλὰς ὦ ξυμμάχους
Οἵους οἵους ὀλέσασα
Τούσδ' ἀποστερήσῃ!
Ἀλλ' εἰσορῶ γὰρ τῆςδε κοίρανον χθονὸς,
Λύκον Περῶντα τῶνδε δωμάτων πέλας.
ΛΥ. Τὸν Ἡράκλειον πατέρα καὶ ξυνάορον,
Εἰ χρή μ', ἐρωτῶ· χρὴ δ', ἐπείγε δεσπότης
Ὑμῶν καθέστχ', ἱστορεῖν, ἃ βούλομαι.
Τίν' ἐς χρόνον ζητεῖτε μυκῦναι βίον;
Τίν' ἐλπίδ', ἀλκήν τ' εἰσορᾶτε μὴ θανεῖν;
Ἢ τὸν παρ' Ἅδῃ πατέρα τῶνδε κείμενον
Πιστεύεθ' ἥξειν; ὡς ὑπὲρ τὴν ἀξίαν
Τὸ πένθος αἴρεσθ', εἰ θανεῖν ὑμᾶς χρεὼν,
Σὺ μὲν καθ' Ἑλλάδ' ἐκβαλὼν κόμπους κενοὺς,
Ὡς σύγγαμός σοι Ζεὺς τέκοι νέον θεὸν,
Σὺ δ', ὡς ἀρίστου φωτὸς ἐκλήθης δάμαρ.
Τί δὴ τὸ σεμνὸν σῷ κατείργασται πόσει,
Ὕδραν ἕλειον εἰ διώλεσε κτανὼν,
Ἢ τὸν Νέμειον θῆρ'; ὃν ἐν βρόχοις ἑλὼν,
Βραχίονός φησ' ἀγχόναισιν ἐξελεῖν.
Τοῖσδ' ἐξαγωνίζεσθε; τῶνδ' ἄρ' οὕνεκεν
Τοὺς Ἡρακλείους παῖδας οὐ θνήσκειν χρεών;
Ὃς ἔσχε δόξαν, οὐδὲν ὢν, εὐψυχίας,
Θηρῶν ἐν αἰχμῇ, τἄλλα δ' οὐδὲν ἄλκιμος,
Ὃς οὔποτ' ἀσπίδ' ἔσχε πρὸς λαιᾷ χερὶ,

ὁμοίων ὄντων τῷ πατρὶ, καὶ οὐδὲν τῆς ἐκείνου χάριτος λειπομένων, δυστυχούντων δὲ ἄλλως. Ὦ Ἑλλὰς, οἵων οἵων συμμάχων, ἀπολέσασα τούτους, ἀποστερήσῃ. Ἀλλ' ἤδη ὁρῶ Λύκον ἐκεινονὶ, τὸν κρατοῦντα Θηβῶν, περῶντα ὡς ἡμᾶς ἐκ τῶν οἴκων.

ΛΥ. Σὲ τὸν τοῦ Ἡρακλέους πατέρα, καὶ τὴν γυναῖκα ἐρωτῶ, εἰ χρή με ἐρωτᾷν, ἃ βούλομαι μαθεῖν· τί δ' οὐχὶ, δεσπότην ὑμῶν ἤδη καθεστηκότα; μέχρι τίνος βούλεσθε ζῆν, τίς ἐλπὶς ὑμῖν τὸν θάνατον ἀποφευξεῖσθαι; ἢ τῷ πατρὶ τουτωνὶ πιστεύετε ἐπανήξειν ἐξ Ἅδου, δι' ὃν δεινὴν ποιεῖσθε τὴν τοῦ θανάτου συμφορὰν, σὺ μὲν λόγους ἐνσπείρων κομπώδεις πρὸς Ἕλληνας, ὡς Ζεὺς ἐκ τῆς σῆς γυναικὸς νέον ἐγέννησε θεόν; σὺ δ' αὖ, ὡς ἔσχες ἄνδρα τὸν ἄριστον πάντων; τί γὰρ δὴ ἐκείνῳ κατείργασται μέγα, εἰ τὴν ἐν τῷ τῆς Λέρνης ἕλει ἀπέκτεινεν Ὕδραν, ἢ τὸν ἐν Νεμέᾳ λέοντα, ὃν ἐν ἄρκυσι λαβὼν, τῷ ἑαυτῷ βραχίονι ἐκαυχήσατο συμπνῖξαι, κόμπῳ λόγων ψευδῶν ὑπερσεμνύνας τὸ ἀγώνισμα τοῦτο; εἶτ' οὐκ αἰσχύνεσθε, τοιούτοις πειρώμενοι ἀγωνίζεσθαι πρὸς ἡμᾶς δικαίοις, ἵνα μὴ εἴπω μύθοις, ὡς οὐ χρὴ ἀποθανεῖν τοὺς Ἡρακλέους παῖδας; ὃς μηδὲν ὢν, πρὸς μὲν τὴν τῶν θηρίων ἰσχὺν ἔσχε τινὰ δόξαν εὐψυχίας· τὰ δ' ἄλλα οὐδενὸς ἀλκῇ ἐφάνη κρείττων γεγενημένος· οὐδέποτε γὰρ φαίνεται συνασπίσαι· οὐδὲ δόρυ πρὸς δόρυ

χεται χάρις] ἀκόλουθον πρὸς τὸ ἀνωτέρω, ὀμμάτων αὐγαί. 161. Δορὸς τα-

Οὐδ' ἦλθε λόγχης ἐγγὺς, ἀλλὰ τόξ' ἔχων,
Κάκιστον ὅπλον, τῇ φυγῇ πρόχειρος ἦν.
Ἀνδρὸς δ' ἔλεγχος οὐχὶ τόξ' εὐψυχίας,
Ἀλλ' ὃς μένων βλέπει τε, κἀντιδέρκεται
Δορὸς ταχεῖαν ἄλοκα, τάξιν ἐμβεβώς.
Ἔχει δὲ τοὐμὸν οὐκ ἀναίδειαν, γέρον,
Ἀλλ' εὐλάβειαν· οἶδα γὰρ κατακτανὼν
Κρέοντα, πατέρα τῆσδε καὶ θρόνους ἔχων.
Οὔκουν, τραφέντων τῶνδε, τιμωροὺς ἐμοὺς
Χρῄζω λιπέσθαι τῶν δεδραμένων δίκην.

ΑΜ. Τῷ τοῦ Διὸς μὲν Ζεὺς ἀμυνέτω μέρει
Παιδός· τὸ δ' εἰς ἔμ', Ἡράκλεις, ἐμοὶ μέλει
Λόγοισι τὴν τοῦδ' ἀμαθίαν ὑπὲρ σέθεν
Δεῖξαι· κακῶς γάρ σ' οὐκ ἐατέον κλύειν.
Πρῶτον μὲν οὖν τἄῤῥητ' (ἐν ἀῤῥήτοισι γὰρ
Τὴν σὴν νομίζω δειλίαν, Ἡράκλεις,)
Σὺν μάρτυσιν θεοῖς δεῖ μ' ἀπαλλάξαι σέθεν.
Διὸς κεραυνὸν δ' ἠρόμην τέθριππά τε,
Ἐν οἷς βεβηκὼς τοῖσι γῆς βλαστήμασιν
Γίγασι πλευροῖς πτήν' ἐναρμόσας βέλη,
Τὸν καλλίνικον μετὰ θεῶν ἐκώμασεν·
Τετρασκελές θ' ὕβρισμα, Κενταύρων γένος,
Φολόην ἐπελθὼν, ὦ κάκιστε βασιλέων,

---

ταχεῖαν ἄλοκα] τὴν τοῦ δορὸς ταχεῖαν κίνησιν καὶ βουλὴν ἀπὸ τοῦ ἐναντίου· ἐῤῥέθη ἀπὸ μεταφορᾶς τοῦ ἀρότρου τὴν ἐπὶ μῆκος τέμνοντος αὔλακα. 169. Τῷ τοῦ Διός] ὅσον μέρος τοῦ παιδὸς μέτεστι τῷ Διΐ, ἐκεῖνος ἀμυνέτω ἐκείνῳ· ἀναφέρεται δὲ ἀνωτέρω εἰς τὰ εἰρημένα παρὰ τοῦ Λύκου στίχ. 149. καὶ ἑξῆς. 173. Τἄῤῥητα] συκοφαντίαν, ἣν οὐδείς πω οὔτ' ἤκουσε· 178. Γίγασι]

ἀντάρας ἐκ τοῦ ἐγγυτάτου· ἀλλὰ τόξα ἔχων, τοῦτο δὴ τὸ κάκιστον τῶν ὅπλων, κοῦφος ἦν φεύγειν· καίτοι εὐψύχου ἔλεγχος οὐ τοῦτ᾽ ἐστιν, ἀλλ᾽ ἐν τάξει διαβεβηκότα, βλέπειν ἐναντίον πρὸς τὴν ἐπιφερομένην ὁρμὴν τοῦ δορός· οὐδ᾽ ἂν ἐκεῖνό μου καταγνοίης, ὦ γέρον, ἀναίδειαν καὶ ἀσέλγειαν ἐπὶ τούτοις, ἀλλὰ προμήθειαν καὶ ἀσφάλειαν μάλιστα ταῦτα γνοὺς, ἐπαινέσεις με μᾶλλον ἐν τῷ κρυπτῷ· σύνοιδα γὰρ ἀνελὼν Κρέοντα τὸν ταύτης πατέρα, καὶ τοῦ ἐκείνου θρόνου ἐπιβάς. πῶς οὖν ἀνασχοίμην καταλιπεῖν τούτους τιμωροὺς ποθ᾽ ὕστερον τῶν παρ᾽ ἐμοῦ πεπραγμένων ἐσομένους;

ΑΜ. Ζεὺς μὲν ὡς πατὴρ τὸ ἐπιβάλλον μέρος ἀμυνέτω τῷ ἑαυτοῦ παιδὶ, ὡς βούλοιτο, ἐν μέρει· ἐμοὶ δ᾽ αὖ μελέτω, ὅσον εἰς ἐμὲ ἥκει δεῖξαι λόγῳ, ὅσον σκαιὸς πρὸς σὲ, ὦ Ἡράκλεις, καὶ ἀμαθής ἐστι γεγενημένος οὗτος. οὐ γὰρ ἐατέον σε παρὰ τούτου οὕτω κακῶς ἀκούειν· καὶ πρῶτον μὲν τὸ ἄτοπον τοῦτόγε καὶ ἀνήκουστον ὅλως (τοιοῦτον γὰρ, τέκνον, ἐστὶν ἡ σὴ δειλία) σὺν θεοῖς μάρτυσιν ἀφελεῖν σου πειράσομαι· Αὐτὸν οὖν τὸν Διὸς κεραυνὸν καὶ δίφρον ἐρωτῶ, ἐφ᾽ οὗ οὑμὸς παῖς ἐπιβεβηκὼς, καὶ πολλὰ ἐντεῦθεν τόξ᾽ ἀφεὶς τοῖς τῶν Γιγάντων πλευροῖς, τὸ καλλίνικον σὺν θεοῖς ἤρατο τρόπαιον· τό, τε γένος τὸ τετράσκελον τῶν Κενταύρων, ὦ κάκιστε ἁπάντων ἡγεμόνων, εἰς Φολόην ἐλθὼν, ἐρώτα, τίνα

---

Πολέμου ὄντος θεοῖς πρὸς Γίγαντας ἐν τῇ κατὰ τὴν Θράκην Φλέγρᾳ φασὶν εἰπεῖν τὴν γῆν μὴ ἂν ἄλλως καταπολεμήσειν ἐκείνους, εἰ μὴ λάβοιεν συμμάχους καὶ δύο τῶν ἡμιθέων· ἐκ τούτου οὖν συνελθόντων Ἡρακλέους καὶ Διονύσου, ἐνίκησαν οἱ θεοί· ἐνταῦθα οὖν Ζεὺς ἀνέλαβεν εἰς τὸν ἑαυτοῦ δίφρον Ἡρακλέα

Ἐροῦ, τίν' ἄνδρ' ἄριστον ἐγκρίναιεν ἄν.
Ἢ οὐ παῖδα τὸν ἐμὸν, ὃν σὺ φῂς εἶναι δοκεῖν;
Δίρφυν τ' ἐρωτῶν, ἥ σ' ἔθρεψ', Ἀβαντίδα,
Οὐκ ἄν σ' ἐπαινέσειεν· οὐ γὰρ ἔσθ' ὅπου
Ἐσθλόν τι δράσας, μάρτυρ' ἂν λάβοις πάτραν.
Τὸ πάνσοφον δ' εὕρημα, τοξήρη σάγην,
Μέμφῃ· κλύων νῦν τἀπ' ἐμοῦ, σοφὸς γενοῦ·
Ἀνὴρ ὁπλίτης δοῦλός ἐστι τῶν ὅπλων,
Καὶ τοῖσι συνταχθεῖσιν οὖσι μὴ 'γαθοῖς
Αὐτὸς τέθνηκε, δειλίᾳ τῇ τῶν πέλας,
Θραύσας τε λόγχην, οὐκ ἔχει τῷ σώματι
Θάνατον ἀμῦναι, τήνδ' ἔχων ἀλκὴν μόνον.
Ὅσοι δὲ τόξοις χεῖρ' ἔχουσιν εὔστοχον,
Ἓν μὲν τὸ λῷστον, μυρίους οἰστοὺς ἀφεὶς,
Ἄλλοις τὸ σῶμα ῥύεται μὴ κατθανεῖν·
Ἑκὰς δ' ἀφεστὼς, πολεμίους ἀμύνεται,
Τυφλοῖς ὁρῶντας οὐτάσας τοξεύμασιν,
Τὸ σῶμα τ' οὐ δίδωσι τοῖς ἐναντίοις,
Ἐν εὐφυλάκτῳ δ' ἐστί· τοῦτο δ' ἐν μάχῃ
Σοφὸν μάλιστα, δρῶντα πολεμίους κακῶς,
Σώζειν τὸ σῶμα, μὴ 'κ τύχης ὡρμισμένους.
Λόγοι μὲν οἵδε τοῖσι σοῖς ἐναντίαν
Γνώμην ἔχουσι τῶν καθεστώτων πέρι.

---

παρὰ τὸν κεραυνόν. 184. Δίρφυν τ'] ἐν ἄλλοις κεῖται, Δίρφην δ'. ἔστι δὲ ἡ Δίρφυς ὄρος Εὐβοίας, ἥτις Εὔβοια καὶ 'Αβαντὶς ἐκαλεῖτο. 183. Οὐκ ἦν ἐπαινέσειε] ἐν ἄλλοις, οὐκ ἄν γ' ἐπαινέσειεν. 202. Ὡρμισμένους] ἐν ἀλλαγῇ τοῦτ'

ἄνδρα οὗτοι ἐγκρίνουσιν ἄριστον, εἰ μὴ τὸν ἐμὸν παῖδα, ὅν σὺ φῂς δοκεῖν εἶναι τοιοῦτον; περὶ σοῦ δ' εἴτις ἐρωτήσειε Δίρφυν τὴν ἐν Ἀβαντίδι, ταύτην δὲ τὴν θρέψασάν σε πατρίδα, οὐδέ γε αὕτη σὲ αὐτὸν ἐπαινέσειεν· οὐ γὰρ ἔσθ' ὅπου ἄξιόν τι ποιήσας, μάρτυρα τούτων ἕξεις τὴν πατρίδα. Πρὸς δὲ τούτοις ἐμέμψω καὶ τὸ τόξον, τοῦτο δὴ τὸ σοφὸν πρὸς τὸ σώζεσθαι εὕρημα· ἀλλ' ἄκουσον κἀμοῦ, ἵν' εἰδὼς σοφώτερος γένῃ σεαυτοῦ· ἴσθι γὰρ, ὡς ἀνὴρ ὁπλίτης δοῦλός ἐστι τῶν ὅπλων, καὶ πολλάκις ἀγαθὸς ὢν αὐτὸς, τῇ τῶν παραστατῶν ἀπωλέσθη δειλίᾳ· καὶ τοῦ δόρατος αὖ, εἴπου τύχοι, κατεαγέντος οὐκ ἂν μόνῃ ῥώμῃ τὸν κίνδυνον ἀποφύγοι· οἱ δὲ τόξων εἰδήμονες, χεῖρα εὔστοχον τῇ ἕξει προσκτησάμενοι, πρῶτον μὲν μυρίους ἀφέντες ἐπ' ἄλλους ὀϊστοὺς, αὐτοὶ εἰσὶν ἐν ἀσφαλείᾳ· ἔπειτα, ἅτε δὴ ἱστάμενοι πρόσω ἐκεῖθεν τυφλὰ ἐφ' ὁρῶντας τοὺς ἐναντίους ἀφέντες τοξεύματα, ἀμύνονται αὐτοὺς ἀξίως, μηδὲν αὐτοὶ ἀποκινδυνεύοντες· ἐν γὰρ ταῖς μάχαις τοῦτο μάλιστ' ἄξιον δοκιμάζεται, κακῶς δρῶντα τοὺς πολεμίους, οὐκ ἐκ τύχης ἀλλ' ἐκ προνοίας καὶ φυλακῆς ἄτρωτον αὐτὸν καὶ ἄληπτον διαμένειν. Ταῦτ' οὖν παρ' ἡμῶν πρὸς ἃ εἴρηταί σοι περὶ τῶν καθεστώτων. Περὶ δὲ τῶν παίδων

---

ἀριθμοῦ ἀντὶ ὡρμισμένον, ἵν' ᾖ ὁμοιόπτωτον τῷ δρῶντα· ὁ δὲ νοῦς, Σοφόν ἐστι βλάπτοντά τινα τοὺς πολεμίους, σώζειν ἑαυτὸν, οὐκ ἐκ τύχης εἰς τὸν τῆς σωτηρίας ὅρμον εἰσεληλυθότα, ὅπερ συμβαίνει πολλάκις τοῖς ὁπλίταις· ἀλλ' ἐκ προβουλῆς καὶ προθέσεως· τὸ γὰρ ἐκ τύχης ὁρμίζεσθαι τὸ ἐκ τύχης εἰς τὸν

Παῖδας δὲ δὴ τί τούσδ' ἀποκτεῖναι θέλεις;
Τί σ' οἵδ' ἔδρασαν; ἕν τί σ' ἡγοῦμαι σοφὸν,
Εἰ τῶν ἀρίστων τἄκγον', αὐτὸς ὢν κακὸς,
Δέδοικας. ἀλλὰ τοῦθ' ὅμως ἡμῖν βαρὺ,
Εἰ δειλίας σῆς κατθανούμεθ' οὕνεκα,
Ὃ χρῆν σ' ὑφ' ἡμῶν τῶν ἀμεινόνων παθεῖν,
Εἰ Ζεὺς δικαίας εἶχεν εἰς ἡμᾶς φρένας.
Εἶ δ' οὖν ἔχειν γῆς σκῆπτρα τῆσδ' αὐτὸς θέλεις,
Ἔασον ἡμᾶς φυγάδας ἐξελθεῖν χθονός.
Βίᾳ δὲ δράσῃς μηδὲν, ἢ πείσῃ βίαν,
Ὅταν θεός σοι πνεῦμα μεταβαλὼν τύχῃ.
(Φεῦ·) ὦ γαῖα Κάδμου, (καὶ γὰρ ἐς σ' ἀφίξομαι,
Λόγους ὀνειδιστῆρας ἐνδατούμενος)
Τοιαῦτ' ἀμύνεθ' Ἡρακλεῖ τέκνοισί τε;
Ὃς εἷς Μινύαισι πᾶσι διὰ μάχης μολὼν,
Θήβαις ἔθηκεν ὄμμ' ἐλεύθερον βλέπειν.
Οὐδ' Ἑλλάδ' ᾔνεσ', οὐδ' ἀνέξομαί ποτε
Σιγῶν, κακίστην λαμβάνων εἰς παῖδ' ἐμὸν,
Ἣν χρῆν νεοσσοῖς τοῖσδε πῦρ, λόγχας, ὅπλα
Φέρουσαν ἐλθεῖν, ποντίων καθαρμάτων
Χέρσου τ' ἀμοιβὰς, ὧν ἐμόχθησεν χάριν.
Τὰ δ' οὐ, τέκν', ὑμῖν οὔτε Θηβαίων πόλις,
Οὔθ' Ἑλλὰς ἀρκεῖ· πρὸς δ' ἔμ' ἀσθενῆ φίλον
Δεδόρκατ', οὐδὲν ὄντα, πλὴν γλώσσης ψόφον.
Ῥώμη γὰρ ἐκλέλοιπεν, ἣν πρὶν εἴχομεν.
Γήρᾳ δὲ τρομερὰ γυῖα κἀμαυρὸν σθένος.

λιμένα σώζεσθαι βούλεται λέγειν. 214. Βίᾳ . . . βίαν] ἐν ἄλλοις κεῖται βίαν . .

τούτων, οὓς ἀποκτεῖναι θέλεις, τί ποτέ σε ἔδρασαν οὗτοι; ἢ κακὸς αὐτὸς ὤν, τοὺς τῶν ἀρίστων παῖδας φοβῇ; σοφὸν μὲν σεαυτῷ τοῦθ' ἡγήσω, ἀλλ' ἡμῖν δεινόν γ', ὦ θεοὶ, εἰ ἕνεκά γε τῆς σῆς δειλίας δέοι ἡμᾶς ἀποθνήσκειν, τοὐναντίον δ' ἔδει, σὲ κακὸν ὄντα, ὑφ' ἡμῶν κρειττόνων ὄντων ἀποθανεῖν, εἰ ὁ Ζεὺς ἐγίνετο δίκαιος εἰς ἡμᾶς. Εἰ οὖν τῆς γῆς τῆσδε βούλει ἄρχειν, ἔασον ἡμᾶς φυγάδας ἐξελθεῖν· βίᾳ δὲ δράσεις μηδὲν, ἵνα μή ποθ' ὕστερον πάθῃς ἐκ βίας πλείω, ἡνίκα θεὸς ἐξελεῖ σοι τὰς φρένας· Φεῦ· ὦ γῆ Καδμεῖα· σὲ γὰρ βούλομαι καταμέμψασθαι· ποῦ εἰσιν αἱ παρ' ὑμῖν Ἡρακλέους ἀποκείμεναι χάριτες; τοιαῦτα νῦν ἀνταποδίδοτε τοῖς ἐκείνου παισὶν, ὃς μόνος πρὸς πάντας Μινύας διὰ μάχης ἐλθὼν, περιεποίησε Θήβαις τὴν ἐλευθερίαν; ἀλλ' οὐδὲ τοὺς ἄλλους Ἕλληνας ἐπαινῶ· οὐδ' ἀνασχοίμην μὴ κακίστους ὑπολαμβάνειν ἐς τὸν ἐμὸν γενέσθαι παῖδα· οὓς ἐχρῆν ἐλθεῖν φέροντας τοῖσδε πῦρ, δόρατα, ὅπλα, πᾶσαν βοήθειαν, ἀνθ' ὧν ὁ πατὴρ αὐτῶν τὴν θάλασσαν καὶ ξηρὰν καθαίρων ἐπόνησεν. Ἀλλὰ ταῦτ', ὦ τέκνα, οὔθ' ἡ Θηβαίων πόλις, οὔθ' ἡ ἄλλη Ἑλλὰς εἰς ὑμᾶς εὐγνώμων ἐγένετο· ἀλλ' ἀφορᾶτ' ἤδη εἰς μόνον ἐμὲ, ᾧ πλὴν τῆς γλώττης οὐδὲν ὑπολείπεται, οὐ σθένος, οὐ ῥώμη ἡ πρὶν ποτ' οὖσα, τῶν μελῶν μοι τρεμόντων γήρᾳ· εἰ δὲ ἐτύγχανον ἡβῶν, ὥστ' εἶναι τοῦ σώματος

---

λίαν· ἐν δὲ τῷ ἑπομένῳ αὖθις στίχῳ ἐν ἄλλοις κεῖται οὕτω. » Ὅταν θεοῦ σοι

Εἰ δ' ἦν νέος τε, κἄτι σώματος κρατῶν,
Λαβὼν ἂν ἔγχος τοῦδε τοὺς ξανθοὺς πλόκους
Καθῃμάτωσ' ἄν, ὥστ' Ἀτλαντικῶν πέρα
Φεύγειν ὅρων ἂν δειλίᾳ τοὐμὸν δόρυ.

ΧΟ. Ἆρ' οὐκ ἀφορμὰς τοῖς λόγοισιν οἱγαθοὶ
Θνητῶν ἔχουσι, κἂν βραδύς τις ᾖ λέγειν;

ΛΥ. Σὺ μὲν λέγ' ἡμᾶς, οἷς πεπύργωσαι λόγοις,
Ἐγὼ δὲ δράσω σ' ἀντὶ τῶν λόγων κακῶς.
Ἄγ', οἱ μὲν Ἑλικῶν', οἱ δέ Παρνασοῦ πτύχας
Τέμνειν ἄνωχθ' ἐλθόντες ὑλουργοὺς δρυὸς
Κορμούς· ἐπειδὰν δ' ἐσκομισθῶσιν πόλει,
Βωμὸν πέριξ νήσαντες ἀμφήρη ξύλα,
Ἐμπίπρατ' αὐτῶν καὶ πυροῦτε σώματα
Πάντων, ἵν' εἰδῶσ', οὕνεκ' οὐχ ὁ κατθανὼν
Κρατεῖ χθονὸς τῆσδ', ἀλλ' ἐγὼ τανῦν τάδε.
Ὑμεῖς δὲ, πρέσβεις, ταῖς ἐμαῖς ἐνατίοι
Γνώμαισιν ὄντες, οὐ μόνον στενάξετε
Τοὺς Ἡρακλείους παῖδας, ἀλλὰ καὶ δόμου
Τύχας, ὅταν πάσχῃ τι· μεμνήσεσθε δὲ
Δοῦλοι γεγῶτες τῆς ἐμῆς τυραννίδος.

ΧΟ. Ὦ γῆς λοχεύμαθ', οὓς Ἄρης σπείρει ποτὲ,
Λάβρον δράκοντος ἐξερημώσας γένυν,
Οὐ σκῆπτρα, χειρὸς δεξιᾶς ἐρείσματα,
Ἀρεῖτε, καὶ τοῦδ' ἀνδρὸς ἀνόσιον κάρα
Καθαιματώσεθ'; ὅστις οὐ Καδμεῖος ὢν,
Ἄρχει κάκιστος τῶν νέων, ἔπηλυς ὤν;
Ἀλλ' οὐκ ἐμοῦ σὺ δεσπόσεις χαίρων ποτὲ,
Οὐδ', ἃ 'πόνησα πόλλ' ἐγὼ, καμὼν χερὶ,

ἐγκρατὴς, εἶδετ' ἂν τοῦτον τῷ ἐμῷ δορὶ διελασθέντα, καὶ τοὺς ξανθοὺς βοστρύχους ἐκείνους αἵματος καὶ λύθρου πλήρεις, ὥστε καὶ πέρα θούλης τῷ παρ' ἐμοῦ φόβῳ ζητεῖν γενέσθαι.

ΧΟ. Πρόσεισιν ἄρα τοῖς ἀγαθοῖς ἀεὶ καλαὶ λόγων ἀφορμαὶ, κἄν τις βραδύτερος ᾖ λέγειν.

ΛΥ. Σὺ μὲν λέγε κακῶς ἡμᾶς τοῖς λόγοις, οἷς ἐπὶ τοσοῦτον ἐπῆρας τὰ σεαυτοῦ· ἐγὼ δ' ἀντὶ τούτων ἔργῳ σε κακῶς πειράσομαι δρᾶσαι. Δεῦρο ἄγεθ' ὑμεῖς ὀπαδοὶ, οἱ μὲν ἰόντες εἰς Ἑλικῶνα, οἱ δὲ εἰς Παρνασὸν, κελεύετε τοὺς ὑλουργοὺς, κορμοὺς δρυὸς τεμόντες κατακομίζειν ὧδε· τούτου δὲ γενομένου, νήσαντες πέριξ τὸν βωμὸν τουτονὶ, ὑφάπτετε, ὥστ' ἐμπιπράναι πάντας, ἵνα μάθωσιν οὐ τοῦ ἀποθανόντος, ἀλλ' ἐμοῦ νῦν δοῦλοι γεγενημένοι· ὑμεῖς δ' αὖ, ὦ κάκιστα γερόντια, οἱ τοῖς ἐμοῖς προςάγμασιν ἀντικρούοντες, οὐ μόνον τοὺς Ἡρακλέους θρηνήσετε παῖδας, ἀλλὰ καὶ τοὺς ὑμετέρους κλαύσετε οἴκους, εἴτι πάθοιεν· οὕτω γὰρ εἴσεσθε ὑπ' ἐμοὶ γεγονότες.

ΧΟ. Ὦ γῆς Θηβαίας σπέρμα γηγενὲς, οὓς Κάδμος ποτ' ἔσπειρεν, δράκοντ' ἄγριον ἀνελὼν τὸν τοῦ Ἄρεως, οὐκ ἄραντες, τὰ βάκτρα ταυτὶ, οἷς ἐρείδεσθε, τὸ κρανίον τοῦ ἀνοσιωτάτου καταθλάσετε τούτου; ὃς οὐ Καδμεῖος, ἀλλ' ἔπηλυς ὢν, τῶν νέων Καδμείων ἄρχει· οὐ γὰρ ἐμοῦ γε σὺ χαίρων ποτὲ κρατήσεις, οὐδ' ὧν ἐγὼ, πολλὰ

πνεῦμα μεταβαλὸν τύχη. » 251. Τοὺς Ἄρης] τὸν Κάδμον δοκεῖ Ἄρην ὀνομάζειν, ὡς πολεμικόν. 256, Ἄρχει τῶν νέων] οὐ γὰρ ἂν εἴποιμι, καὶ ἡμῶν τῶν

Ἕξεις, ἀπέῤῥων δ', ἔνθεν ἦλθες, ἐνθάδε
Ὕβριζ'· ἐμοῦ γὰρ ζῶντος, οὐ κτενεῖς ποτε
Τοὺς Ἡρακλείους παῖδας· οὐ τοσόνδε γῆς
Ἔνερθ' ἐκεῖνος κρύπτεται, λιπὼν τέκνα.
Ἐπεὶ σὺ μὲν γῆν τήνδε διολέσας ἔχεις,
Ὁ δ' ὠφελήσας, ἀξίων οὐ τυγχάνει.
Κᾄπειτα πράσσω πόλλ' ἐγὼ, φίλους ἐμοὺς
Θανόντας εὖ δρῶν, οὗ φίλων μάλιστα δεῖ,
Ὦ δεξιὰ χεὶρ, ὡς ποθεῖς λαβεῖν δόρυ,
Ἐν δ' ἀσθενείᾳ τὸν πόθον διώλεσας.
Ἐπεί σ' ἔπαυσ' ἂν δοῦλον ἐννέποντά με,
Καὶ τάσδε Θήβας εὐκλεῶς ᾠκήσαμεν,
Ἐν αἷς σὺ χαίρεις· οὐ γὰρ εὖ φρονεῖ πόλις,
Στάσει νοσοῦσα καὶ κακοῖς βουλεύμασιν·
Οὐ γάρ ποτ' ἄν σε δεσπότην ἐκτήσατο.

ΜΕ. Γέροντες, αἰνῶ· τῶν φίλων γὰρ οὕνεκα
Ὀργὰς δικαίας τοὺς φίλους ἔχειν χρεών.
Ἡμῶν δ' ἕκατι δεσπόταις θυμούμενοι,
Πάθητε μηδέν· τῆς δ' ἐμῆς' Ἀμφιτρύων,
Γνώμης ἄκουσον, ἤν τι σοι δοκῶ λέγειν.
Ἐγὼ φιλῶ μὲν τέκνα (πῶς γὰρ οὐ φιλῶ,
Ἃ 'τικτον ἃ 'μόχθησα;) καὶ τὸ κατθανεῖν
Δεινὸν νομίζω· τῷ δ' ἀναγκαίῳ τρόπῳ
Ὃς ἀντιτείνει, σκαιὸν ἡγοῦμαι βροτόν.
Ἡμᾶς δ' ἐπειδὴ δεῖ θανεῖν, θνήσκειν χρεὼν

---

γερόντων. 261. οὐ τοσόνδε ὑπὸ] οὐ νοῶ ὅ,τι βούλεται τοῦτο λέγειν· εἷς δέ τις ἀντιπαραβάλλει τοῦτο τῷ Ὁμηρικῷ ἐκείνῳ, τοσοῦτον ἔνερθ' ὑπὸ γῆς, ὅσσ

μογήσας, ἐκτησάμην. Ἐκφθείρου τοίνυν, ἀπαλλαγεὶς ἐντεῦθεν, ὅθεν ἐλθὼν τυγχάνεις· κἀκεῖθεν ὕβριζε, ὅ,τι βούλει· ἐμοῦ γὰρ ζῶντος, καὶ ἐπὶ γῆς δερκομένου, οὐκ ἂν ἀποκτείναις τοὺς Ἡρακλείους παῖδας· οὐ γὰρ τοσοῦτον ὑπὸ γῆν ἔστιν ἐκεῖνος, τοὺς ἑαυτοῦ παῖδας λιπὼν ἐνταῦθα· ἐπειδὴ σὺ μὲν διέφθειρας τὴν χώραν ταύτην, ἐκεῖνος δὲ τὰ μέγιστ' ὠφελήσας, τῶν ἴσων οὐκ ἔτυχεν· ἔπειτα πῶς πολυπράγμων ἐγὼ παρά σοι, τοὺς ἐμαυτοῦ φίλους εὖ ποιῶν, ὁπότε μάλιστα φίλων δεῖ; ὦ δεξιὰ χεὶρ, ὡς ποθεῖς ἀναλαβεῖν τὸ δόρυ, ἀλλ' ὁ πόθος ἀπονάρκεῖ, ἀποσβενὺς ἐν τῇ σῇ ἀσθενείᾳ· ἄλλως γὰρ οὐκ ἂν αὐτός γε δοῦλον ἐκάλεσάς με, δίκην δούς· ἀλλ' εὐκλεῶς ἂν ᾤκησα Θήβας, ἔνθα νῦν χαίρεις αὐτὸς κρατῶν, Καδμείων στασιαζόντων· εὖ γὰρ φρονούντων, οὐκ ἂν ἐκράτεις.

ΜΕ. Ἃ μὲν εἴρηται ὑμῖν, ὦ γέροντες, ἐπαινῶ· δίκαιον γὰρ, φίλων πασχόντων, χαλεπῶς τοὺς φίλους φέρειν· ἀλλ' ἕνεχ' ἡμῶν οὐκ ἂν βουλοίμην κακῶς ὑμᾶς παθεῖν· οὐκοῦν ἄκουσον αὐτὸς, ὦ Ἀμφιτρύων, εἰ ὀρθῶς σοι δοκῶ φρονεῖν· ἐγὼ γὰρ φιλῶ μὲν τὰ ἐμαυτῆς τέκνα· πῶς γὰρ οὔ, ἃ μετὰ πολλῶν ὠδίνων καὶ πόνων τεκοῦσα, ἀνέθρεψα; καὶ τὸν θάνατον δεινὸν αὐτοῖς ἡγοῦμαι· ἀλλ' ὅστις αὖθις ἀντιτείνει ἀνάγκῃ, σκαιός μοι καὶ ἀβέλτερος οὗτος· εἰ γὰρ ἀνάγκη ἡμᾶς ἀποθανεῖν, ἀνάξιον ἂν

---

οὐρανὸς ἔστ' ἀπὸ γαίης» βούλεται δὲ εἰπεῖν. ἴσως οὐ διὰ πολλοῦ ὑπὸ γῆν ἔσται 268. Τὸν πόθον] ἐν ἄλλοις τὸν Πότμον. 269. Δοῦλον] ἀνωτέρω στίχ. 250·—

Μὴ πυρὶ καταξανθέντας ἐχθροῖσιν γέλων
Διδόντας, οὐμοὶ τοῦ θανεῖν μεῖζον κακόν.
Ὀφείλομεν γὰρ πολλὰ δώμασιν καλά.
Σὲ μὲν δόκησις ἔλαβεν εὐκλεὴς δορὸς,
Ὥστ' οὐκ ἀνεκτὸν δειλίας θανεῖνσ' ὕπο,
Οὑμὸς δ' ἀμαρτύρητος εὐκλεὴς πόσις,
Ὡς τούσδε παῖδας οὐκ ἂν ἐκσῶσαι θέλοι,
Δόξαν κακὴν λαβόντας· οἱ γὰρ εὐγενεῖς
Κάμνουσι τοῖς αἰσχροῖσι τῶν τέκνων ὕπερ,
Ἐμοί τε μίμημ' ἀνδρὸς οὐκ ἀπωστέον.
Σκέψαι δὲ τὴν σὴν ἐλπίδ', ᾗ λογίζομαι.
Ἥξειν νομίζεις παῖδα σὸν γαίας ὕπο;
Καὶ τίς θανόντων ἦλθεν ἐξ Ἅδου πάλιν;
Ἀλλ' ὡς λόγοισι τόνδε μαλθάξαιμεν ἄν;
Ἥκιστα· φεύγειν σκαιὸν ἄνδρ' ἐχθρὸν χρεὼν,
Σοφοῖσι δ' εἴκειν καὶ τεθραμμένοις καλῶς·
Ῥᾷον γὰρ αἰδοῦς, ὑποβαλὼν φίλ', ἂν τύχοις.
Ἤδη δ' ἐσῆλθέ μ', εἰ παραιτησαίμεθα
Φυγὰς τέκκων τῶνδ'. ἀλλὰ καὶ τόδ' ἄθλιον,
Πενίᾳ σὺν οἰκτρᾷ περιβαλεῖν σωτηρίαν·
Ὡς τὰ ξένων πρόσωπα φεύγουσιν φίλοι,
Ἓν τ' ἦμαρ ἡδὺ βλέμμ' ἔχειν φασὶν μόνον.
Τόλμα μεθ' ἡμῶν θάνατον, ὃς μένει σ' ὅμως.
Προκαλούμεθ' εὐγένειαν, ὦ γέρον, σέθεν·
Τὰς τῶν θεῶν γὰρ ὅστις ἐκμοχθεῖν τύχας

---

192 Κάμνουσι τοῖςα ἰσχροῖσι] ἀηδῶς καὶ ἀπεχθῶς φέρουσιν ἀκούοντες τὴν ἀδοξίαν καὶ δυσφημίαν τῶν παίδων· παραινεῖ δέ τις γράφειν ἀντὶ τοῦ Αἰσχροῖσι Ἐχθροῖσι.

εἴη πιμπραμένους παθεῖν τοῦτο, ὥστ' ἐπίχαρμα καὶ γέλωθ' ὅλως πολεμίοις γενέσθαι· ὃ πολλῶν θανάτων ἔμοιγ' ἀλγεινότερον γίγνεται· πολλὰ γάρ ἐστιν οἴκοι ἀγωνίσμαθ' ἡμῖν εὐκλεῆ· σὺ μὲν γὰρ κλέος μέγα ἥρω ἐπὶ δορὶ, καὶ διὰ ταῦτ' οὐκ ἀνασχετὸν δειλὸν θάνατον ἑλέσθαι· οὑμὸς δ' αὖ ἀνὴρ, κἂν μηδεὶς μαρτυρῇ, αὐτόπιστον τὴν δόξαν τυγχάνει κεκτημένος· ὃς οὐκ ἂν βούλοιτο τοὺς ἑαυτοῦ ἐκσῶσαι παῖδας, αἰσχρὰν λαβόντας δόξαν· ἀνὴρ γὰρ εὐγενὴς οὐκ ἀνάσχοιτ' ἂν κακῶς ἀκούων περὶ τῶν ἑαυτοῦ παίδων· κἀμὲ χρὴ ὁμοίως τῶν τοῦ ἀνδρὸς ἔχεσθαι τρόπων· σκέψαι δε κἀκεῖνο, ὃ περὶ ὧν ἐλπίζεις, φρονῶ· ὁρῶ γάρ σε προσδοκῶνθ' ἥξειν ποτὲ ἐκεῖνον· ἀλλὰ τὶς ἐν Ἅδου γεγενημένος, ἀνεβίωσε πώποτε; ἀλλὰ λόγοις (εἴποις γὰρ ἂν) καταπραΰναιμεν ἂν τὸν ἄνδρα; οὐκ ἄν· ἓν δ' ἐκεῖνο καλὸν, σκαιὸν μὲν ἐχθρὸν φεύγειν ὅλως· τοῖς δ' εὖ φρονοῦσι καὶ καλῶς τεθραμμένοις εἴκειν· ῥᾷον γὰρ παρὰ τῶν τοιούτων τύχοις ἂν αἰδοῦς, ἐπιεικεστέροις χρησάμενος λόγοις· ἤδη δὲ ἐπῆλθέ μοι ἐνθυμηθῆναι κἀκεῖνο, φυγὴν παρὰ τοῦ ἐχθροῦ ὁπωσδήποτε τοῖς παισὶ διαπράξασθαι· ἀλλὰ καὶ τοῦτ' ἔμοιγε σχετλιώτερον δοκεῖ εἶναι, σὺν πενίᾳ οἰκτίστῃ σωτηρίαν διώκειν· μίαν γὰρ ἡμέραν ἡδὺς ὁ φίλος φίλοις· τὸ δὲ πλέον κόρον τίκτει καὶ ἀποστροφήν. Οὐκοῦν τὴν σὴν, ὦ γέρον, εὐγένειαν προσκαλούμεθα πεισθῆναι, οἷς λέγω· τόλμα μεθ' ἡμῶν ἀποθανεῖν γενναίως, ὃ μετ' οὔπολυ ἀναγκαίως σοι ἔψεται· ὅςις γὰρ τὰς παρὰ τῶν θεῶν ἀποφεύγει κακώσεις,

Πρόθυμός ἐστιν· ἡ προθυμία γ' ἄφρων·
Ὃ χρὴ γὰρ, οὐδεὶς μὴ χρεὼν θήσει ποτέ.
ΧΟ. Εἰ μὲν, σθενόντων τῶν ἐμῶν βραχιόνων,
Ἦν τίς σ' ὑβρίζων, ῥᾳδίως ἐπαύσατ' ἄν·
Νῦν δ' οὐδέν ἐσμεν· σὸν δὲ τοὐντεῦθεν σκοπεῖν,
Ὅπως διώσῃ τὰς τύχας, Ἀμφιτρύων.
ΑΜ. Οὔτοι τὸ δειλὸν, οὐδὲ τοῦ βίου πόθος
Θανεῖν ἐρύκει μ', ἀλλὰ παιδὶ βούλομαι
Σῶσαι τέκν', ἄλλως δ' ἀδυνάτων ἔοικ' ἐρᾷν.
Ἰδοὺ πάρεστιν ἥδε φασγάνῳ δέρη,
Κεντεῖν, φονεύειν, ἱέναι πέτρας ἄπο·
Μίαν δὲ νῷν δὸς χάριν, ἄναξ, ἱκνούμεθα.
Κτεῖνόν με καὶ τήνδ' ἀθλίαν παίδων πάρος,
Ὡς μὴ τέκν' εἰσίδωμεν, ἀνόσιον θέαν,
Ψυχοῤῥαγοῦντα, καὶ καλοῦντα μητέρα,
Πατρός τε πατέρα· τἄλλα δ', ἢ πρόθυμος εἶ,
Πρᾶσσ'· οὐ γὰρ ἀλκὴν ἔχομεν, ὥστε μὴ θανεῖν.
ΜΕ. Κἀγώ σ' ἱκνοῦμαι, χάριτι προσθεῖναι χάριν,
Ἡμῖν ἵν' ἀμφοῖν εἷς ὑπουργήσῃς διπλᾶ.
Κόσμον πάρες μοι παισὶ προσθεῖναι νεκρῶν,
Δόμους ἀνοίξας· νῦν γὰρ ἐκκεκλείσμεθα·
Ὡς ἀλλὰ ταῦτά γ' ἀπολάχωσ' οἴκων πατρός.
ΛΥ. Ἔσται τάδ'· οἴγειν κλῇθρα προσπόλοις λέγω.
Κοσμεῖσθ' ἔσω μολόντες· οὐ φθανῶ πέπλων.
Ὅταν δὲ κόσμον περιβάλησθε σώμασιν,
Ἥξω πρὸς ὑμᾶς νερτέρᾳ δώσων χθονί.
Ε. Ὦ τέκν', ὁμαρτεῖτ' ἀθλίῳ μητρὸς ποδὶ

καρτερικὸς μὲν οὗτος, ἀλλ' ἡ καρτερία ἐστὶν ἄφρων· τίς γὰρ ἂν ἀνέλοι τὸ πεπρωμένον;

ΧΟ. Εἰ μὲν ἦν μοι δύναμις ἐν βραχίοσι ῥᾳδίως ἐπαύσατ' ἂν ὁ εἰς σὲ ὑβρίζων· νῦν δ' ἐμοῦ οὐδὲν ἤδη ὄντος, ἐπὶ σοὶ κεῖται, ὦ Ἀμφιτρύων, σκέψασθαι, ὅπως τὰ παρόντ' ἀποκρούσῃ κακά·

ΑΜ. Μήτε δειλία, μήτε πόθος τοῦ ζῆν κωλύει με ἀποθανεῖν· ἀλλὰ τοὺς παῖδας τούτους τῷ πατρὶ ἐθέλω σῶσαι· ὅσον δ' ἐμοῦγ' ἕνεκα, ἵνα μὴ δοκῶ ἀδυνάτων ἐρᾶν, ἰδοὺ ὁ λαιμὸς οὗτος εὐτρεπὴς πρὸς τὸ ξίφος, κτεῖνε, σφάζε, κατὰ τῶν πετρῶν, εἰ τοῦτο βούλει, ὦσον· ἐκείνην δὲ μόνην τὴν ἄχαριν χάριν βουλοίμην ἂν ἀμφοτέροις ἡμῖν γενέσθαι παρὰ σοῦ, ὦ ἄναξ, ἐμὲ καὶ τήνδ' ἀθλίαν φόνευσον πρὸ τῶν παίδων, ἵνα μὴ ἴδωμεν τούτους ψυχορραγοῦντας καὶ καλοῦντας τὴν μητέρα, κἀμὲ τὸν πάππον. τάδ' ἄλλα, ᾗ βούλει, πράσσε· ἡμῖν γὰρ δύναμις ἀποφυγεῖν τὸν θάνατον οὐκ ἔστι.

ΜΕ. Οὐχ ἧττον δὲ δέομαί σου κἀγὼ, ὦ ἄναξ, χάριν ἐκείνην προσθεῖναι, ἵν' εἷς ὢν, διττὰ ἀμφοτέροις ἡμῖν χαρίσῃ· δὸς ἡμῖν εἰσελθόντας οἴκαδε, ὅθεν τυγχάνομεν ἐκκεκλεισμένοι, κόσμον λαβεῖν τοῖς παισὶν ἀπολουμένοις, ἵνα ταῦτα γοῦν τῶν πατρῴων, πολλῶν ἐντὸς ἀποκειμένων, ὦσιν ἀπολελαυκότες.

ΛΥ. Ἔσται ταῦτα· ὑμεῖς δ', ὀπαδοὶ, ἀνοίξατε τούτοις τὰ κλεῖθρα· εἰσίετε, κοσμεῖσθε ἱματίοις, ὅπως ἂν ἡμῖν δοκῇ ἄρισ' ἔχειν· τούτων δὲ γενομένων, ἥξω ἀποπέμψων ὑμᾶς ἐς ᾅδου.

ΜΕ. Ὦ παῖδες, ἕπεσθε δυστήνῳ μητρὶ πρὸς τὴν πατρῴαν

Πατρῷον ἐς μέλαθρον, οὗ τῆς οὐσίας
Ἄλλοι κρατοῦσι, τὸ δ' ὄνομ' ἔσθ' ἡμῶν ἔτι.
**ΑΜ.** Ὦ Ζεῦ, μάτην ἄρ' ὁμόγαμόν σ' ἐκτησάμην
Μάτην δὲ παιδός κοινεὼν ἐκληζόμην
Σὺ δ' ἦσθ' ἄρ' ἥσσων, ἢ 'δόκεις εἶναι, φίλος.
Ἀρετῇ σε νικῶ, θνητὸς ὤν, θεὸν μέγαν.
Παῖδας γὰρ οὐ προὔδωκα τοὺς Ἡρακλέους.
Σὺ δ' ἐς μὲν εὐνὰς κρύφιος ἠπίστω μολεῖν,
Τἀλλότρια λέκτρα, δόντος οὐδενός, λαβών·
Σώζειν δὲ τοὺς σοὺς οὐκ ἐπίστασαι φίλους.
Ἀμαθής τις εἶ θεός, ἢ δίκαιος οὐκ ἔφυς.
**ΧΟ.** Αἴλινον μὲν ἐπ' εὐτυχεῖ (στρ. ά.)
Μολπᾷ Φοῖβος ἰαχεῖ,
Τὰν καλλίφθογγον κιθάραν
Ἐλαύνων πλήκτρῳ χρυσέῳ·
Ἐγὼ δὲ τὸν γᾶς ἐνέρων τ' ἐς ὄρφναν
Μολόντα, παῖδ' εἴτε Διός νιν εἴπω,
Εἴτ' Ἀμφιτρύωνος ἶνιν,
Ὑμνῆσαι, στεφάνωμα μό
Χθων, δι' εὐλογίας θέλω.
Γενναίων δ' ἀρεταὶ πόνων
Τοῖς θανοῦσιν ἄγαλμα.
Πρῶτον μὲν Διὸς ἄλσος
Ἠρήμωσε λέοντος,

339. Κοινεὼν ἐκληζόμην] οὕτως ἔγραψα γνώμῃ καὶ ἑτέρου ἀντὶ τοῦ, Τοι νεὼν ἐκλήζομεν. 347. Αἴλινον] θρηνιτικὸς ὕμνος συνήθως ὁ Αἴλινος· ἀλλ' ἐνταῦθα

ὑμῖν οἰκίαν· ἧς νῦν ἕτεροι γεγόνασι κύριοι, τοῦ ὀνόματος μόνου ἔθ' ἡμῖν λειπομένου.

ΑΜ. Ὦ Ζεῦ, μάτην ἄρα συνευνέτην αὐχῶ σε ἔχειν· μάτην δὲ κοινωνός σοι τοῦ παιδὸς ἐκλεϊζόμην· σύ δ' ἄρ' ἦσθα φίλος ἥττων πολλῷ, ἢ ἐδόκεις· ἐγὼ δὲ θνητὸς, κρείττων σου, θεοῦ γε μεγάλου ὄντος, ἀρετῇ δοκιμάζομαι εἶναι· οὐ γὰρ ἠξίωσα τοὺς Ἡρακλέους προδοῦναι παῖδας· σύδε κλεψίγαμος γεγονὼς, τὴν ἀπὸ τῆς ὁμιλίας χάριν, μηδενὸς διδόντος, ἠπίστω ἀπολαύειν· σώζειν δὲ φίλους τοῦτο μόνον οὐκ ἐπίστασαι· δυοῖν οὖν θάτερον, ἤτοι ἀμαθὴς καὶ σκαιός τις εἶ θεῶν, ἢ ἄδικος ὢν τυγχάνεις.

ΧΟ. Ὁ μὲν Φοῖϐος, τὴν καλλίφθεγγον τῷ χρυσῷ πλήκτρῳ ἀνακρούων κιθάραν, ἐναρμόνιον ᾄδει μέλος· ἐγὼ δὲ τὸν εἴτε Διὸς εἴπω, εἴτε Ἀμφιτρύωνος παῖδα, τὸν ἐν ᾅδου ἤδη κείμενον μετὰ τῶν νεκρῶν ὑμνῆσαι βουλόμενος, τοὺς αὐτοῦ ἄθλους συνελὼν εὐλογήσω· οὐδὲν γὰρ ἥδιον τοῖς ἀποιχομένοις, ἢ οὓς ἠγωνίσαντο πρὸς ἀρετὴν ἐν τῷ βίῳ ἀγῶνας, τούτους διὰ στόματος ἔχειν· Πρῶτον μὲν οὖν τὸ τοῦ Διὸς ἄλσος Λέοντος ἀπήλλαξε φοϐεροῦ·

δοκεῖ ἐπὶ καλοῦ λελῆφθαι. 351. Γῆς ἐνέρωντε] ἡ συνθήκη οὕτω. τὸν μολόντα εἰς ὄρφνην γῆς καὶ ἐνέρων, τῶν νεκρῶν. 354. Στεφάνωμα μόχθων] τὴν περιοχὴν τῶν ἄθλων, τὸ πλήρωμα τῶν ἀγώνων· σύναψον δὲ πρὸς τὸ, ὑμνῆσαι κατά τινα ἐπεξήγησιν. 359. Γενναίων δ' ἀρετὴ πόνων τοῖς θανοῦσιν Ἄγαλμα] εἰ καὶ τοῖς ἐθνικοῖς τοσοῦτον ἡδυῖα ἡ ἀρετὴ, ἧς ἡ εὐλογία παρὰ τῶν ἀνθρώπων ἐνταῦθα· ἡμῖν δὲ τοῖς Χριστιανοῖς, οἷς προστίθεται καὶ παρὰ θεοῦ ἐλπιζομένη ἀνταπόδοσις καὶ ἀπόλαυσις ἀρρήτων ἀγαθῶν, πόσον ἡδίων ὀφείλει

Πυρσοῦ δ' ἀμφεκαλύφθη,
Ξανθὸν κρᾶτ' ἐπινωτίσας,
Δεινῷ χάσματι θηρός·
Τάν τ' ὀρεινόμον ἀγρίων (ἀντ. ά.)
Κενταύρων ποτὲ γένναν
Ἔτρωσεν τόξοις φονίοις,
Ἐναίρων πτανοῖς βέλεσιν,
Ξύνοιδε Πηνειὸς ὁ καλλιδίνας,
Μακραί τ' ἄρουραι πεδίων ἄκαρποι,
Καὶ Πηλιάδες θεράπναι,
Σύγχορτοί θ' Ὁμόλας ἔναυ-
λοι, πεύκαισιν ὅθεν χέρας
Πληροῦντες χθόνα Θεσσαλῶν
Ἱππείαις ἐδάμαζον·
Τάν τε χρυσοκάρανον
Δόρκαν ποικιλόνωνον,
Συλήτειραν ἀγρωστᾶν
Κτείνας, θηροφόνον θεὰν
Οἰνωᾶτιν ἀγάλλει·
Τεθρίππων τ' ἐπέβα (Στρ. β΄.)
Καὶ ψαλίοις ἐδάμασε πώλους
Διομήδεος, αἳ φονίαισι φάτναις

εἶναι; 360. Πυρσοῦ] σύναψον τοῦτο πρὸς τὸ θηρός· ἐν ἄλλοις δὲ κεῖται, πυρσῶ· ἡ δὲ συνθήκη οὕτω· ἀμφεκαλύφθη δεινῷ χάσματι (τῷ ςόματι) τοῦ πυρσοῦ θηρὸς, ἐπιθέμενος τὴν δορὰν ἐπὶ τῆς ἑαυτοῦ ξανθῆς κεφαλῆς, ὅ ἐςιν, ἐπινωτίσας τὴν δορὰν, συνήρμοσε τὸ στόμα τοῦ λέοντος ἐπὶ τῆς ἑαυτοῦ κεφαλῆς. 364. Κενταύρων] περὶ τῆς Κενταυρομαχίας ἴδε Ἀπολλόδωρον βιβλ. Β' ε, 4. — 368. Ἄκαρποι] ἢ ὡς φθειρόμεναι ὑπὸ τῶν Κενταύρων, ἢ ὡς ἀγεώρ-

ἀποκτείνας δ', ἐνεδύσατο τὴν ἐκείνου δορὰν, ἐπὶ τῆς ἑαυτοῦ ξανθῆς κεφαλῆς τὸ τοῦ στόματος τοῦ θηρὸς ἐπιθέμενος χάσμα.

Ἐκ δὲ τούτου τό, τε τῶν ἀγρίων Κενταύρων ὀρεσίτροφον γένος, τόξοις ὀλεθρίοις τιτρώσκων, διέφθειρε καὶ μαρτυρεῖ μοι τῷ λόγῳ Πηνειὸς ὁ καλίῤῥους, πεδιάδες τε αἱ μακραὶ καὶ πολύκαρποι καὶ σταθμοὶ τοῦ Πηλίου, καὶ ὅμοροι τῆς Ὀμόλης ἐπαύλεις· ὅθεν ἐκεῖνοι ὁρμώμενοι, καὶ δόρατα ἐκ πεύκης ἔχοντες ἐν χερσὶν, ἦγον καὶ ἔφερον τὴν τῶν Θετταλῶν χώραν ταῖς ἱππηλασίαις. Πρὸς δὲ τούτοις τὴν χρυσοκέφαλον καὶ ποικίλην ἀποκτείνας δορκάδα, τὴν τοὺς ἀγροὺς τῶν γεωργῶν λυμαινομένην, τὴν Οἰνῶατιν θηροκτόνον θεὰν εὐφραίνει.

Πρὸς δὲ τούτοις τόν τε Διομήδην τὸν Θρᾶκ' ἀνελὼν, ἐπέβη τοῦ ἅρματος αὐτοῦ τοὺς ἀγρίους ἐκείνους δαμάσας ἵππους· οἱ ἐν φάτναις φονίαις ἀχαλίνωται ὄντες,

γητοι, ἢ εἴληπται κατ' ἐπίτασιν ἀντὶ τοῦ πολύκαρποι. 370. Ὀμόλας] ὄρος φασὶν Θεσσαλίας ἡ Ὀμόλη. 374. Τὴν χρυσοκάρηνον δόρκαν] Τρίτον ἆθλον ἐπέταξεν αὐτῷ Εὐρυσθεὺς τὴν Κεράστην ἔλαφον ἐς Μυκήνας ἔμπνουν ἐνεγκεῖν. ἦν δ' ἡ ἔλαφος ἐν Οἰνόῃ χρυσόκερως Ἀρτέμιδος ἱερά· διὸ καὶ βουλόμενος αὐτὴν Ἡρακλῆς μήτ' ἀνελεῖν, μήτε τρῶσαι, ὅλον ἐνιαυτὸν συνεδίωξεν· ἐπεὶ δὲ κάμνον τὸ θηρίον τῇ διώξει, συνέφυγεν εἰς ὄρος τὸ λεγόμενον 'Αρτεμίσιον, κᾀκεῖθεν ἐπὶ ποταμὸν Λάδωνα· καὶ ταύτην (καὶ τοῦτον ἴσως) διαβαίνειν μέλλουσαν τοξεύσας συνέλαβε, καὶ θέμενος ἐπὶ τὸν ὦμον διὰ τῆς 'Αρκαδίας ἠπείγετο. Μετὰ 'Απόλλωνος δὲ Ἄρτεμις συντυχοῦσα, ἀφῃρεῖτο, καὶ τὸ ἱερὸν ζῶον αὐτῆς κτείναντα κατεμέμφετο. 'Απολ. βιβλ. Β. 5, 3.—378. Οἰνῶατιν] ἐκ τοῦ Οἰνόη, ἡ Οἰνώη πόλεως Ἀργείας Οἰνῶατις ἡ Ἄρτεμις· ἀλλὰ πῶς ἀγάλλει καὶ τέρπει ταύτην Ἡρακλῆς, κτείνας τὸ ἱερὸν αὐτῇ ζῶον, ἣν ἐλύπησε μᾶλλον; 381. Διομήδεος] ἴδε λκ. Ἀστίχ. 486. καὶ ἑξῆς. 388. Κύκνον] παῖς Ἀ-

Ἀχάλιν' ἐθόαζον
Κάθαιμα σῖτα γένυσι, χαρ-
Μοναῖσιν ἀνδροβρῶσι δυστράπεζοι.
Πέραν δ' ἀργυῤῥύταν Ἕβρον
Ἐκπέρασεν ὄχθαν,
Μυκηναίῳ πονῶν τυράννῳ,
Τάν τε Πηλιάδ' ἀκτὰν
Ἀναύρου παρὰ πηγάς·
Κύκνον τε ξενοδαίκταν
Τόξοις ὤλεσεν, Ἀμφαναί-
Ας οἰκήτορ' ἄμικτον.
Ὑμνῳδούς τε κόρας (Ἀντ. β'.)
Ἤλυθεν ἑσπέριον ἐς αὐλὰν,
Χρυσέων πετάλων ἄπο μηλοφόρον
Χερὶ καρπὸν ἀμέρξων,
Δράκοντα πυρσόνωτον, ὃς
Ἄπλατον ἀμφελικτὸς ἕλικ' ἐφρούρει,
Κτανών· ποντίας θ' ἁλὸς μυχοὺς
Εἰσέβαινε, θνατοῖς
Γαλανείας τιθεὶς ἐρετμοῖς.
Οὐρανοῦ θ' ὑπὸ μέσσαν
Ἐλαύνειν χέρας ἕδραν,
Ἄτλαντος δόμον ἐλθών·
Ἀστρωποὺς τε κατέσχεν οἴ-
Κους εὐανορίᾳ θεῶν.

---

ρεως οὗτος. ἴδε Ἡσίοδ. Ἀσπίδι Ἡρακλέους. Ἀμφαναία δὲ πόλις Δωρική.

393. Ὑμνῳδοὺς] ὡς θρηνούσας τὸν δράκοντα φονευθέντα ὑπὸ Ἡρακλέους· ἢ ὅς.

ἀνθρώπια σφόδρα λάβρως κατεβίβρωσκον κρέα, οὕτω καθημαγμένοις καὶ βδελυροῖς ἡδόμενοι σίτοις. Ἕβρον τε τὸν καλλίῤῥουν διέβη εἰς τὸ ἀντιπέραν, τὰ ἐντεταλμένα τῷ τῶν Μυκηνῶν ἐκτελέσας δεσπότῃ· καὶ τὴν τοῦ Πηλίου διῆλθεν ἀκτὴν μέχρι τῶν ἐκβολῶν τοῦ Ἀναύρου· καὶ Κύκνον, τὸν τῆς Ἀμφαναίας ἀπρόσιτον οἰκήτορα, κατεπάλαισε, φονεύοντα τοὺς ξένους.

Ἐπὶ δὲ τούτοις ἐπὶ τὰς ἑσπερίους ἀφικόμενος παρθένους, τὰ ἐκ χρυσῶν πετάλων χρυσᾶ ληψόμενος μῆλα, τὸν φοινικόνωτον ἐκεῖ, ὃς περιεσπειραμένην τὴν κέρκον ἔχων, ἐφρούρει τὴν ἀπρόσιτον ἀποῤῥῶγα, ἀπέκτεινε δράκοντα, καὶ πελάγη διαβαλὼν, ὅρους τε καὶ στήλας γαληναίας ἔθηκε τοῖς πλωϊζομένοις· πρὸς δὲ τὸν τοῦ Ἄτλαντος οἶκον ἀνελθὼν, τῆς τε τοῦ οὐρανοῦ ἀψίδος μέσης ἀψάμενος ταῖς χερσὶν, ὑπεβάστασε, καὶ τοὺς ἀστερωποὺς οἴκους ἐκεῖ τῶν θεῶν τῇ ἑαυτοῦ κατέλαβε δυνάμει.

---

ἐφύλαττε τὰ χρυσᾶ ἐκεῖθι μῆλα, ἱερὰ ὄντα τῆς Ἥρας, ἃ Ἡρακλῆς λαβὼν ἤνεγκεν Εὐρυσθεῖ· ἦσαν δὲ αἱ Ἑσπερίδες θυγατέραι Ἑσπέρου ἀδελφοῦ Ἄτλαντος. 398. Ἄπλατον . . . ἕλικα] ἀπλησίαστον, οἶμαι, ἑλικοειδῆ πέτραν. 401. Γαλανείας] Ταλανίας ἐν ἄλλοις κεῖται· Ταλανταίας δὲ παραινοῦσι τινὲς γράφειν, ἵν' ᾖ μεγάλους κίονας. ἢ στήλας τοῖς πλωϊζομένοις, ὥστε μὴ περαιτέρω πλεῖν. 404. Ἄτλαντος δόμον] ὄρος μέγιστον ὁ Ἄτλας ἐν Μαυριτανίᾳ, ὅπου μυθεύεται ὁ Ἄτλας κατοικεῖν, φέρων τὸν οὐρανὸν ἐν ὤμοις· οἱ γὰρ παλαιοὶ, ἀγνοοῦντες τὰ ἔξω Γαδείρων, ἐδόκουν ἅπτεσθαι τὸ ὄρος τοῦτο τοῦ οὐρανοῦ, ὡς ἐν τῷ ὁρίζοντι· ἔνθ' ἀναβὰς καὶ Ἡρακλῆς, ἥψατο ἄρα τῆς τοῦ οὐρανοῦ ἕδρας. ἴδε δὲ

Τὸν ἱππευτάν τ' Ἀμαζόνων στρατὸν (Στρ. γ'.)
Μαιῶτιν ἀμφὶ πολυπόταμον
Ἔβα δι' Εὔξεινον οἶδμα λίμνας,
(Τίν' οὐκ ἀφ' Ἑλλανίας
Ἄγορον ἁλίσας φίλων;)
Κόρας Ἀρείας πέπλων
Χρυσεόστολον φάρος,
Ζωστῆρος ὀλεθρίους ἄγρας.
Τὰ κλεινὰ δ' Ἑλλὰς ἔλαβε βαρβάρου κόρας
Λάφυρα, καὶ σώζετ' ἐν Μυκήναις.
Τάν τε μυριόκρανον
Πολύφονον κύνα Λέρνας
Ὕδραν ἐξεπύρωσεν
Βέλεσί τ' ἀμφέβαλλε,
Τὸν τρισώματον οἷσιν ἔ-
Κτα βοτῆρ' Ἐρυθείας.
Δρόμων τ' ἄλλων ἀγάλματ' εὐτυχῆ (Ἀντ. γ'.)
Διῆλθε· τὸν πολυδάκρυον
Ἔπλευσ' ἐς Ἅδαν, πόνων τελευτὰν,
Ἵν' ἐκπεραίνει τάλας
Βίοτον, οὐδ' ἔβα πάλιν.
Στέγαι δ' ἔρημοι φίλων,
Τὰν δ' ἀνόστιμον τέκνων
Χάρωνος ἐπιμένει πλάτα
Βίου κέλευθον ἄθεον, ἄδικον· εἰς δὲ σὰς
Χέρας βλέπει δώματ' οὐ παρόντος.

---

'Απολλόδ. B. 5, 11. ὅπου περὶ τῶν 'Αμαζόνων. 412. Κόρας 'Αρείας] τῆς πολεμικῆς Ἱππολύτης. 421. Τὸν τρισσώματον] τὸν Γηρυόνην, βασιλέα ὄντα

Τί δ' ἂν εἴποιμι, ὅπως διαπλεύσας τὸν Εὔξεινον πόντον, εἰσῆλθεν εἰς τὴν πολυπόταμον Μαιῶτιδα λίμνην ἐπὶ τὸν ἱππικὸν τῶν Ἀμαζόνων στρατὸν, τίνα τῶν ἐκ τῆς Ἑλλάδος φίλων οὐ συνεπαγόμενος, ὅπως τῆς χρυσῆς ἐσθῆτος, καὶ τοῦ ὀλεθρίου ἐκείνου ζωςῆρος τῆς μαχίμου κόρης γένηναι ἐγκρατής; Ἐντεῦθεν ἡ Ἑλλὰς ἔχει τὰ κλεινὰ λάφυρα τῆς βαρβάρου ἐκείνης κόρης· καὶ νῦν σώζονται ἐν Μυκήναις. Πρὸς δὲ τούτοις τὴν πολυκέφαλόν τε καὶ πολυκτόνον ὕδραν, ταύτην δὴ τὴν κύνα τῆς Λέρνης πυρὶ ἅμα καὶ τόξοις ἀνεῖλεν· οἷς καὶ Γηρυόνην τὸν τῆς Ἐρυθείας βουκόλον ἀπέκτεινε.

Χωρὶς δὲ τούτων, ἄλλων τε ἀγώνων ἔργα εὐτυχῆ ἠγωνίσατο, καὶ δὴ ἔσχατον πάντων εἰς Ἅδου καταπλεύσας οὐκέτ' ἐπανῆλθε, σὺν τῷ ζῆν καὶ τοῖς ἄθλοις τέλος ἐπιθείς· Ἐντεῦθεν οὖν ὁ οἶκος αὐτοῦ ἐστιν ἤδη ἔρημος, καὶ τὸ τοῦ Χάρωνος πορθμεῖον περιμένει τὴν ἀνόσιον καὶ ἄδικον τῶν παίδων κάθοδον ἐς τὸν Ἅδην, ὅθεν ἀνελθεῖν οὐκ ἔστιν· εἰς δὲ τὰς σὰς χεῖρας ἀπο

---

Ἱσπανίας, βοῦς τρέφοντα ἀγαθὰς, ὃν φονεύσας Ἡρακλῆς αὐτόν τε καὶ τὸν βοτῆρα, ἤγαγε τὰς βοῦς Εὐρυσθεῖ, περὶ οὗ Ἡσίοδος· Θεογ. στίχ. 287.

» Χρυσάωρ δ' ἔτεκε τρικάρηνον Γηρυονῆα,
» Μιχθεὶς Καλλιρόῃ κούρῃ κλυτοῦ Ὠκεανοῖο·
» Τὸν μὲν ἄρ' ἐξενάριξε βίη Ἡρακληείη
» Βουσὶ παρ' εἰλιπόδεσσι περιῤῥείτῳ εἰν Ἐριθείῃ·
» Ἤματι τῷ, ὅτε περ βοῦς ἤλασεν εὐρυμετώπας
» Τίρυνθ' εἰς ἱερὴν, διαβὰς πόρον ὠκεανοῖο,
» Ὄρθον τε κτείνας, καὶ βουκόλον Εὐρυτίωνα.

431. Εἰς δὲ σὰς χεῖρας βλέπει δώματ' οὐ παρόντος] ποῖον πρόσωπον εἰσάγει ἐνταῦθα τὸ Σὰς, ἀγνοῶ· δυνατὸν δ' αὐτὸν πρὸς ἑαυτὸν τὸν Χορὸν ἀναφέρειν ταῦτα· ἐν ἄλλαις δὲ κεῖται, σῶμα τοῦ παρόντος.

Εἰ δ' ἐγὼ σθένος ἥβων
Δόρυ τ' ἔπαλλον ἐν αἰχμᾷ,
Καδμείων τε σύνηβοι,
Τέκεσιν ἂν παρέσταν
Ἀλκᾷ. νῦν δ' ἀπολείπομαι
Τᾶς εὐδαίμονος ἥβας.
Ἀλλ' ἐσωρῶ γὰρ τούσδε φθιμένων
Ἔνδυτ' ἔχοντας, τοὺς τοῦ μεγάλου
Δή ποτε παῖδας τὸ πρὶν Ἡρακλέους
Ἄλοχόν τε φίλην, ὑπὸ σειραίοις
Ποσὶν ἕλκουσαν τέκνα, καὶ γεραιὸν
Πατέρ' Ἡρακλέους. δύστηνος ἐγώ!
Δακρύων ὡς οὐ δύναμαι κατέχειν
Γραίας ὄσσων ἔτι πηγάς.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

## ΜΕΓΑΡΑ, ΑΜΦΙΤΡΥΩΝ, ΗΡΑΚΛΗΣ, ΧΟΡΟΣ.

ΜΕ. Εἶεν· τὶς ἱερεύς, τίς σφαγεὺς τῶν δυσπότμων,
Ἢ τῆς ταλαίνης τῆσδ' ἐμῆς ψυχῆς φονεύς;
Ἕτοιμ' ἄγειν τὰ θύματ' εἰς Ἅδου τάδε·
Ὦ τέκν', ἀγόμεθα ζεῦγος οὐ καλὸν νεκρῶν,
Ὁμοῦ γέροντες καὶ νέοι καὶ μητέρες.
Ὦ μοῖρα δυστάλαιν' ἐμοῦ τε καὶ τέκνων
Τῶνδ', οὓς πανύστατ' ὄμμασιν προσδέρκομαι

βλέπει τὸ δῶμα τοῦ μὴ παρόντος· εἰ δὲ ἐγὼ ἦν, οἷος ἦν ἡβῶν, καὶ τὸ δόρυ ἔπαλλον σὺν τοῖς ἥλιξι τῶν Θηβαίων, ἤμυνον ἂν τοῖς παισὶ παντὶ σθένει, νῦν δ' ἀπολειπόμενον τῆς ἥβης, τί χρὴ δρᾶν;

Ἀλλ' ἴδε ἐκεῖνοι ἐξίασι, νεκρῶν ἱμάτια ἔχοντες, οἵτε παῖδες τοῦ ποτὲ Ἡρακλέους, καὶ ἡ γυνὴ, συστοιχοῦντας τοῖς ποσὶν ἄγουσα ἐκείνους, καὶ Ἀμφιτρύων ὁ γεραιὸς πατὴρ τοῦ Ἡρακλέους· δύστηνος ἐγὼ, ὃς οὐκέτι δύναμαι κατέχειν τὰ δάκρυα.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΜΕΓΑΡΑ, ΑΜΦΙΤΡΥΩΝ, ΗΡΑΚΛΗΣ, ΧΟΡΟΣ.

ΜΕ. Ἄγε τοίνυν, τίς ἱερεύς; τίς σφαγεύς ἔσται τῶν δυστήνων θυμάτων τούτων τῆς παντλήμονος; ἰδοὺ πάνθ' ἕτοιμα κατελθεῖν ἐς τὸν Ἅδην· Ὦ φίλτατοι παῖδες, ἀγόμεθα πρὸς τοὺς κάτω θέαμα οὐ καλὸν, γέροντες ὁμοῦ, νέοιτε, καὶ μητέρες. ὦ μοῖρα σχετλία ἐμοῦ τε καὶ τῶν παίδων τούτων, οὓς νῦν ὁρῶ τὰ τελευταῖα· διὰ τοῦτ' ἄρ' ἔτεκον ὑμᾶς, ὦ τέκνα, ἐφ' ᾧ

---

442 Ὑπὸ σειραίοις ποσὶ] ἀπὸ μεταφορᾶς τῶν ἵππων, οὓς οὐ ζευγνύουσι μὲν ὑπὸ τὸν τῆς ἁμάξης ζυγὸν, δέουσι δὲ σχοίνῳ παρὰ τοῖς ἐζευγμένοις, ὥστε ἕλκειν τὸ ὄχημα σὺν ἐκείνοις· ἔοικε δὲ γίγνεσθαι παρὰ τὸ ἐν τῇ αὐτῇ σειρᾷ συστοιχεῖν· οὕτω κἀνταῦθα εἴληπται, οἶμαι, τὸ ὑπὸ σειραίοις ποσὶν, οἷον ὑπὸ βήμασι συστοίχοις.

Ἔτεκον μὲν ὑμᾶς, πολεμίοις δ' ἐθρεψάμην
Ὕβρισμα κἀπίχαρμα καὶ διαφθοράν.
(Φεῦ·) ἦ πολύ με δόξης ἐξέπαισαν ἐλπίδες,
Ἣν πατρὸς ὑμῶν ἐκ λόγων ποτ' ἤλπισα.
Σοὶ μὲν γὰρ Ἄργος ἔνεμ' ὁ κατθανὼν πατὴρ,
Εὐρυσθέως δ' ἔμελλες οἰκήσειν δόμους,
Τῆς καλλικάρπου κράτος ἔχων Πελασγίας,
Στολήν τε θηρὸς ἀμφέβαλλε σῷ κάρᾳ
Λέοντος, ἧπερ αὐτὸς ἐξωπλίζετο·
Σὺ δ' ἦσθα Θηβῶν τῶν φιλαρμάτων ἄναξ,
Ἔγκληρα παιδία τἀμὰ γῆς κεκτημένος,
Ὡς ἐξέπειθες τὸν κατασπείραντά σε·
Ἐς δεξιὰν δὲ σὴν ἀλεξητήριον
Ξύλον καθίει, Δαιδάλου ψευδῆ δόσιν.
Σοὶ δ', ἣν ἔπερσε τοῖς ἑκηβόλοις ποτὲ
Τόξοισι, δώσειν Οἰχαλίαν ὑπέσχετο.
Τρεῖς δ' ὄντας ὑμᾶς τριπτύχοις τυραννίσιν
Πατὴρ ἐπύργου, μέγα φρονῶν ἐπ' ἀνδρίᾳ.
Ἐγὼ δὲ νύμφας ἠκροθινιαζόμην,
Κήδη συνάψουσ', ἔκ τ' Ἀθηναίων χθονὸς
Σπάρτης τε, Θηβῶν θ', ὡς ἀνημμένοι κάλως
Πρυμνησίοισι, βίον ἔχοιτ' εὐδαίμονα.
Καὶ ταῦτα φροῦδα· μεταβαλοῦσα δ' ἡ τύχη
Νύμφας μὲν ὑμῖν Κῆρας ἀντέδωκ' ἔχειν,
Ἐμοὶ δὲ δάκρυα λουτρά· (δύστηνος φρενῶν!)

---

465. Δαιδάλου ψευδῆ δόσιν] δῶρον Δαιδάλου ψευδῶς παρὰ τῶν ποιητῶν λεγόμενον· Ἀπολλόδωρος γάρ φησι (Β. 4, 11.) αὐτὸν Ἡρακλέα τεμεῖν τὸ ῥόπα-

θῦμα καὶ ἐπίχαρμα γενέσθαι πολεμίοις ὑβρισταῖς καὶ ἀλαζόσι· φεῦ, ὅσον ἐψεύσθην τῆς ἐλπίδος, ἣν ἐκ λόγων τοῦ πατρὸς περὶ ὑμῶν ποτε ἐσχήκειν· εἰρήκει γὰρ ἐκεῖνος, ὡς σοὶ μὲν ἀπονεμεῖ τὸ Ἄργος, ὥστε τὴν τοῦ Εὐρυσθέως οἰκίαν κατοικοῦντα, πάσης τῆς εὐκάρπου Πελασγίας ἄρχειν· στολὴν δέ σοι περιέβαλε τὴν λεοντῆν, ᾗ αὐτὸς συνήθως ὡπλίζετο· σοὶ δ' αὖ Θηβαίων τῶν φιλαρμάτων ἄρχειν, τοὺς ἐμοὺς πατρῴους ἀγροὺς κεκτημένον. τοιαύταις ἐλπίσιν ἀναπειθόμενος ἐκεῖνος, ἐδίδου εἰς τὴν δεξιὰν τὸ ἀνδροφόνον ῥόπαλον, δῶρον ἄδωρον λεγόμενον Δαιδάλου· σοὶ δ' αὖ ὑπισχνεῖτο καταστήσειν βασιλέα Οἰχαλίας, ἧς αὐτὸς κύριος ἐγένετο πολέμῳ. Οὕτως, ὦ παῖδες, ὁ πατὴρ ὑμῶν μέγ' ἐπὶ βραχίονι φρονῶν, ἰδίᾳ ἀρχῇ ἕκαστον ὑμῶν ἐβούλετο πυργῶσαι· ἐγὼ δ' αὖ πάλιν νύμφας ὑμῖν ἐξ Ἀθηνῶν καὶ Σπάρτης, καὶ Θηβῶν ἠρόμην τὰς ἀρίστας, ἵν' ὥσπερ ναῦς εὐτυχοῦσα πρυμνησίοις, ἡμμένοι συγγενείας, εὐδαίμονα διάγοιτε βίον· Ἀλλὰ ταῦτα νῦν πάντα φροῦδα· δαίμων γὰρ ἀλάστωρ μεταβαλὼν τὰ καθ' ἡμᾶς ὑμῖν μὲν ἀντὶ τῶν νυμφῶν, κῆρας· ἐμοὶ δ' ἀντὶ λουτρῶν γαμηλίων, δάκρυα δέδωκεν, ὦ τέκνα· δύστηνος

---

λον ἐκ Νεμέας· 469. Οἰχαλίαν] Στράβων οὕτω φησι (βιβλ. 10.) περὶ ταύτης. Ἔστι δὲ καὶ ἡ Οἰχαλία κώμη τῆς Ἐρετριακῆς λείψανον τῆς ἀναιρεθείσης πόλεως ὑπὸ Ἡρακλέους. ἴδε δὲ καὶ Σοφοκλ. Τραχ. διὰ πολλῶν 477. Λουτρὰ] ἔθος ἦν ἐν γάμοις τὰς μητέρας λούεσθαι ἐκ πηγῶν ἀρδευομένας· τὸ δὲ, δύστηνος φρενῶν, δοκεῖ μοι ἀποδοτέον εἶναι μᾶλλον εἰς τὴν τύχην, ἵνα ᾖ, σχετλία ἐκείνη, οὕτω φρονήσασα, ὥστε κακῶς οὕτω μεταβαλεῖν τὰ πράγματα.

Πατὴρ δὲ πατρὸς ἑστιᾷ γάμους ὅδε,
Ἅδην νομίζων πενθερὸν, κῆδος πατρός·
Ὤμοι! τίν' ὑμῶν πρῶτον, ἢ τίν' ὕστατον
Πρὸς στέρνα θῶμαι; τῷ προσαρμόσω στόμα;
Τίνος λάβωμαι; πῶς ἂν, ὡς ξουθόπτερος
Μέλισσα, συνενέγκαιμ' ἂν ἐκ πάντων γόους,
Εἰς ἓν δ' ἐνεγκοῦσ', ἀθρόον ἀποδοίην δάκρυ;
Ὦ φίλτατ', εἴ τις φθόγγον εἰσακούσεται
Θνητῶν παρ' Ἅδῃ, σοὶ τάδ', Ἡράκλεις, λέγω,
Θνήσκει πατὴρ σὸς καὶ τέκν', ὄλλυμαι δ' ἐγὼ,
Ἣ πρὶν μακαρία διὰ σ' ἐκληζόμην βροτοῖς.
Ἄρηξον, ἐλθὲ, καὶ σκιὰ φάνηθί μοι·
Ἅλις γὰρ ἐλθὼν ἱκανὸς ἂν γένοιο σύ,
Κακοὶ γὰρ ἐς σέ γ', οἳ τέκνα κτείνουσι σά.
ΑΜ. Σὺ μὲν τὰ νέρθεν εὐτρεπῆ ποιοῦ, γύναι.
Ἐγὼ δέ σ', ὦ Ζεῦ, χεῖρ' ἐς Οὐρανὸν δικὼν,
Αὐδῶ, τέκνοισιν, εἴ τι τοισίδ' ὠφελεῖν
Μέλλεις, ἀμύνειν, ὡς τάχ' οὐδὲν ἀρκέσεις.
Καίτοι κέκλησαι πολλάκις; μάτην πονῶ.
Θανεῖν γὰρ, ὡς ἔοικ', ἀναγκαίως ἔχει.
Ἀλλ', ὦ γέροντες, μικρὰ μὲν τὰ τοῦ βίου·
Τοῦτον δ' ὅπως ἥδιστα διαπεράσετε,
Ἐξ ἡμέρας ἐς νύκτα μὴ λυπούμενοι.
Ὡς ἐλπίδας μὲν ὁ χρόνος οὐκ ἐπίσταται
Σώζειν, τὸ δ' αὑτοῦ σπουδάσας διέπτατο.
Ὁρᾶτέ μ', ὅσπερ ἦν περίβλεπτος βροτοῖς,
Ὀνομαστὰ πράσσων, καί μ' ἀφείλεθ' ἡ τύχη,
Ὥσπερ πτερὸν πρὸς αἰθέρ', ἡμέρᾳ μιᾷ.

ἐφ' οἷς ἐφ' ἡμᾶς οὕτως ὡρμήθη· ὁ δ' αὖ πάππος οὗτος ἑστιᾷ ὑμῖν τοὺς γάμους, πενθερὸν ποιούμενος Πλούτων' αὐτὸν, πρὸς ὃν καὶ ὁ πατὴρ συνῆψε κῆδος· οἴμοι! τίν' ὑμῶν πρῶτον, τίνα ὕστατον περιπτύσωμαι; τίνος λαβομένη, αὐτῷ πρώτῳ μητρικὸν φίλημ' ἀποδῶ; πῶς ἂν εἴη μοι συλλέξαι, ὥσπερ μέλισσα, ἐκ πάντων ἀξίους θρήνους, εἶθ' οὕτως εἰς ἓν συμφήρασαν, ἀθρόον ἐκθλίψαι δάκρυ; Ὦ φίλταθ' Ἡράκλεις, εἴτις αἴσθησις τοῖς κάτω ἀκούειν τῶν ἐνθάδε. οὐχ ὁρᾷς τὸν σαυτοῦ πατέρα, καὶ τοὺς παῖδας, κἀμὲ τὴν σύνευνόν σοι, τὴν διὰ σὲ μακαρίαν παρὰ πᾶσι γεγενημένην, ἀπολλυμένους πάντας; σπεύσας ἐλθὲ, ἄμυνον τάχος τοῖς σαυτοῦ, κἂν σκιὰ φανῇς μόνον· ἀρκέσεις γὰρ καὶ οὕτω πρὸς ἄνδρα δειλὸν, ὃς ἐθέλει τοὺς σοὺς παῖδας ἀποκτεῖναι.

ΑΜ. Σὺ μὲν τὰ πρὸς νεκροὺς εὐτρέπιζε νῦν, ὦ γύναι· ἐγὼ δ' ἐς οὐρανὸν ἀνατείνας τὰς χεῖρας, σὲ, ὦ Ζεῦ, ἐκλιπαρῶ ἀμύνειν τοῖς παισὶν, εἴτι μέλλεις αὐτοὺς νῦν ὠφελήσειν, ὡς μετ' ὀλίγον οὐδὲν αὐτοῖς ἀρκέσεις· καίτοι κέκλησαι πολλάκις παρ' ἡμῶν· μάτην ἄρα πονῶ· ἀναγκαῖον γὰρ, ὡς ἔοικεν, ἡμῖν τέλος λαβεῖν τοῦ βίου· ἀλλ' ὦ γέροντες ὑμεῖς, βραχὺς μὲν καὶ οὐδὲν ἐστὶν ὁ βίος· ὁρᾶτ' οὖν, ὅπως τὸ λοιπὸν διάξετε ἡδέως, μηδὲν ἐξ ὑποφαινομένης ἡμέρας εἰς ἑσπέραν λυπούμενοι· ὁ γὰρ χρόνος οὐκ ἐπίσταται σώζειν τὰς ἐλπίδας· ἀλλὰ τὸ ἑαυτοῦ διανύσας ἔργον ἀπέπτη· παράδειγμα δ' ἐγὼ ὅδ' αὐτός· ὃν περίβλεπτον ἤδη τοῖς πᾶσι γεγενημένον, καὶ ἀξίωμα μέγα ἔχοντα παρὰ πᾶσιν ἐπ' εὐτυχίᾳ, νῦν ἐν μιᾷ ἡμέρᾳ πάνθ', ὡς κοῦφον πτερὸν ἀφεῖλεν ἡ τύχη.

Ὁ δ' ὄλβος ὁ μέγας ἥ τε δόξ', οὐκ οἶδ' ὅτῳ
Βέβαιός ἐστι· χαίρετ' ἄνδρα γὰρ φίλον
Πανύστατον νῦν, ἥλικες, δεδόρκατε.
ΜΕ. (Ἔα·) ὦ πρέσβυ, λεύσσω τἀμὰ φίλτατ'; ἢ τί φῶ;
ΑΜ. Οὐκ οἶδα, θύγατερ· ἀφασία δὲ κἄμ' ἔχει.
ΜΕ. Ὅδ' ἐστὶν, ὃν γῆς νέρθεν εἰσηκούομεν,
Εἰ μή γ' ὄνειρον ἐν φάει τι λεύσσομεν.
Τί φημί; ποῖ' ὄνειρα κηραίνουσ' ὁρῶ;
Οὐκ ἔσθ' ὅδ' ἄλλος ἀντὶ σοῦ παιδὸς, γέρον.
Δεῦρ', ὦ τέκν', ἐκκρήμναστε πατρῴων πέπλων.
Ἴτ', ἐγκονεῖτε, μὴ μεθῆτ' ἐπεὶ Διὸς
Σωτῆρος ὑμῖν οὐδέν ἐσθ' ὅδ' ὕστερος.
ΗΡ. Ὦ χαῖρε μέλαθρον πρόπυλά θ' ἑστίας ἐμῆς,
Ὡς ἄσμενος σ' ἐσεῖδον ἐς φάος μολών.
Ἔα· τί χρῆμα; τέκν' ὁρῶ πρὸ δωμάτων
Στολμοῖσι νεκρῶν κρᾶτας ἐξεστεμμένα,
Ὄχλῳ τ' ἐν ἀνδρῶν τὴν ἐμὴν ξυνάορον
Πατέρα τε δακρύοντα συμφορᾶς τινός.
Φέρ', ἐκπύθωμαι τῶνδε πλησίον σταθείς·
Γύναι, τί καινὸν ἦλθε δώμασιν χρέος;
ΜΕ. Ὦ φίλτατ' ἀνδρῶν, ὦ φάος μολὼν πατρὶ,
Ἥκεις ἐσώθης, εἰς ἀκμὴν ἐλθὼν φίλοις.
ΗΡ. Τί φής; τίν' ἐς ταραγμὸν ἥκομεν, πάτερ;
ΜΕ. Διολλύμεσθα· σὺ δὲ, γέρον, σύγγνωθί μοι,
Εἰ πρόσθεν ἥρπασ', ἃ σὲ λέγειν πρὸς τόνδ' ἐχρῆν·
Τὸ θῆλυ γάρ πως μᾶλλον οἰκτρὸν ἀρσένων,
Καὶ τἄμ' ἔθνησκε τέκν', ἀπωλλύμην δ' ἐγώ.
ΗΡ. Ἄπολλον, οἵοις φροιμίοις ἄρχῃ λόγου!

πλοῦτος γὰρ καὶ δόξα οὐκ ἔσθ' ὅτῳ βέβαια ἔσται· ἀλλὰ χαίρεθ' ὑμεῖς· νῦν γὰρ τὸ ὕστατον ὁρᾶτέ με φίλον καὶ συνήλικον γεγονότα.

ΜΕ. Τίνα τοῦτον, ὦ γέρον, ὁρῶ; οὐχ ὁ φίλτατος οὗτος ἐκεῖθεν ἥκει; τί φῶ;

ΑΜ. Οὐκ οἶδ', ὦ θύγατερ· κἀμοὶ γὰρ ἡ γλῶσσα δέδεται.

ΜΕ. Οὗτός ἐστιν, ὃν ἐν ᾅδου ἠκούομεν εἶναι, εἰμὴ ὄνειρον ὁρῶμεν ὕπαρ· τί φημι, ὄνειρον τοῦθ' ὁρῶ ἐκπεπληγμένη; ὁ παῖς οὗτος ὁ σός ἐστιν, ὦ γέρον, ὅλως· ἄγετ', ὦ παῖδες, κρέμασθε τῶν τοῦ πατρὸς ἱματίων· σπεύσατε, ἅψασθε, μὴ ἀνῆτε ὅλως· οὐδὲν γὰρ Διὸς σωτῆρος ὑμῖν ἥττων ἔσθ' οὗτος.

ΗΡ. Ὦ ἀνάκτορα, καὶ προπύλαια τῆς ἐμαυτοῦ οἰκίας, χαίρετε· ὡς ἥδισθ' ὑμᾶς ὁρῶ, ἀνελθὼν εἰς τὸ φῶς· ἀλλὰ τί τοῦτο; παῖδες οἵδ' οἱ ἐμοὶ πρὸ τῶν δωμάτων ὧδε, νεκροσίμῳ στολῇ ἠμφιεσμένοι· ἥτ' ἐμὴ γυνὴ καὶ ὁ πατὴρ ἐν μέσῳ ὄχλῳ, συμφοράν τιν', ὡς ἔοικε, θρηνοῦντες· ἀλλὰ προσελθὼν πύθωμαι ὅ,τι εἴη· γύναι, τίποτε συμβέβηκεν οἴκοι;

ΜΕ. Ὦ φίλτατ' ἀνδρῶν ἁπάντων, ὦ φῶς ἐλθὼν τῷ πατρὶ, ἦλθές ποτε ζῶν, ὡς ἐν καιρῷ τυγχάνεις ἐλθὼν τοῖς φίλοις.

ΗΡ. Τί φής; τίς ταραχὴ τοῖς πράγμασι συνέβη, πάτερ;

ΜΕ. Ἀπολώλαμεν (σύγγνωθί μοι αὐτὸς, ὦ γέρον, ὑπολαβούσῃ, ἅσε προσῆκον ἦν ἀποκρίνασθαι· οἰκτρότερον γὰρ τὸ θῆλυ ἐστι τῶν ἀῤῥένων) ἐγώ τε γὰρ καὶ οἱ παῖδες αὐτίκ' ἠμέλλομεν τεθνήξεσθαι.

ΗΡ. Ἄπολλον, οἵων προοιμίων ἀρχή ἐστιν αὕτη.

ΜΕ. Τεθνᾶσ' ἀδελφοὶ καὶ πατὴρ οὑμὸς γέρων.
ΗΡ. Πῶς φής; τί δράσας, ἢ δορὸς ποίου τυχών;
ΜΕ. Λύκος σφ', ὁ κλεινὸς γῆς ἄναξ, διώλεσεν.
ΗΡ. Ὅπλοις ἁπαντῶν, ἢ νοσησάσης χθονός;
ΜΕ. Στάσει τὰ Κάδμου γ' ἑπτάπυλον ἔχει κράτος.
ΗΡ. Τί δῆτα πρὸς σὲ καὶ γέροντ' ἦλθεν φόβος;
ΜΕ. Κτείνειν ἔμελλε πατέρα κἀμὲ καὶ τέκνα.
ΗΡ. Τί φής; τί ταρβῶν ὀρφάνευμ' ἐμῶν τέκνων;
ΜΕ. Μή ποτε Κρέοντι θάνατον ἐκτισαίατο.
ΗΡ. Κόσμος δὲ πέπλων τίς ὅδε νερτέροις πρέπων;
ΜΕ. Θανάτου τάδ' ἤδη περιβόλαι' ἀνήμμεθα.
ΗΡ. Καὶ πρὸς βίαν ἐθνήσκετ'; ὢ τλήμων ἐγώ!
ΜΕ. Φίλων ἔρημοι· σὲ δὲ θανόντ' ἠκούομεν.
ΗΡ. Πόθεν δ' ἐς ὑμᾶς ἥδ' ἐσῆλθ' ἀθυμία;
ΜΕ. Εὐρυσθέως κήρυκες ἤγγελλον τάδε.
ΗΡ. Τί δ' ἐξελείπετ' οἶκον ἑστίαν τ' ἐμήν;
ΜΕ. Βίᾳ πατὴρ μὲν ἐκπεσὼν στρωτοῦ λέχους.
ΗΡ. Κοὐκ ἔσχεν αἰδῶ τὸν γέροντ' ἀτιμάσαι;
ΜΕ. Αἰδώς γ' ἀποικεῖ τῆσδε τῆς θεοῦ πρόσω.
ΗΡ. Οὕτω δ' ἀπόντες ἐσπανίζομεν φίλων;
ΜΕ. Φίλοι γάρ εἰσιν ἀνδρὶ δυστυχεῖ τίνες;

---

542. Τί ταρβῶν] ἐν ἄλλοις προταρβῶν, οὐ κακῶς· ὁ δὲ νοῦς, μήτι δέδιε τὰ, ὡς αὐτὸς ἐνόμιζε, ὀρφανάμου τέκνα; 553. Τῆς θεοῦ] τῆς Βίας, ἢ αὐτῆς τῆς

ΜΕ. Ἀπολώλασιν οἵτε ἀδελφοὶ καὶ οὑμὸς πατὴρ Κρέων.

ΗΡ. Πῶς φής; τίποτε δράσας; ἢ ὑπὸ τίνος παθὼν τοῦτο;

ΜΕ. Ὑπὸ Λύκου τοῦ κλεινοῦ νῦν τῶν Θηβῶν βασιλέως.

ΗΡ. Πότερον ὅπλοις, ἢ στασιασάντων τῶν Θηβαίων;

ΜΕ. Τοῦτό γε· πολλὴ γὰρ ἐν τῇ τοῦ Κάδμου στάσις πόλει.

ΗΡ. Τίς οὖν φόβος σε καὶ τὸν πατέρα ἔχει;

ΜΕ. Αὐτίκα γὰρ ἡμᾶς ἤμελλεν φονεύσειν πάντας.

ΗΡ. Τί φής; τίνα δεδιώς; ἢ τοὺς παῖδας τούτους;

ΜΕ. Ἵνα μήποθ' ὕστερον ἐπεξέλθωσι τῷ τοῦ Κρέοντος φόνῳ.

ΗΡ. Ὁ δὲ κόσμος οὗτος τίς ὁ νεκροῖς ἐμπρέπων;

ΜΕ. Πρὸς θάνατον ἡμῖν προηυτρέπισται ταῦτα.

ΗΡ. Καὶ βίᾳ γ' ἠμέλλετε ἀποθανεῖσθαι; ὢ δυστυχὴς ἐγώ.

ΜΕ. Ἐρημίᾳ φίλων, σοῦ, ὡς λόγος ἦν, ἀποθανόντος.

ΗΡ. Πόθεν δὲ ὑμῖν ἡ τοιαύτη ἀγγελία;

ΜΕ. Κήρυκες Εὐρυσθέως διεθρύλλουν τὰ τοιαῦτα.

ΗΡ. Τίποτε δ' ἐλίπετε τὴν ἐμὴν οἰκίαν ἔνδον;

ΜΕ. Βίᾳ γὰρ ὁ σὸς πατὴρ ἐξέπεσεν ἐκεῖθεν.

ΗΡ. Εἶτ' οὐκ ᾐδέσθη ἐκεῖνος γέροντα ἐξυβρίσας;

ΜΕ. Πόῤῥω ποῦ αἰδὼς ἐσκήνωσε τῆς θεοῦ Βίας.

ΗΡ. Οἱ δὲ φίλοι ποῦ ἐν τῇ ἐμῇ ἀπουσίᾳ;

ΜΕ. Τίνες γὰρ ἂν εἶεν φίλοι ἀνθρώπῳ δυστυχοῦντι;

---

Αἰδοῦς· σύνηθες τοῖς ποιηταῖς θεοποιεῖν τὰ ἰσχυρότερα τῶν πραγμάτων καὶ

ΗΡ. Μάχας δὲ Μινυῶν, ἃς ἔτλην, ἀπέπτυσαν;
ΜΕ. Ἄφιλον, ἵν αὖθίς σοι λέγω, τὸ δυστυχές.
ΗΡ. Οὐ ῥίψεθ' Ἅδου τάσδε περιβολὰς κόμης,
Καὶ φῶς ἀναβλέψεσθε, τοῦ κάτω σκότους
Φίλας ἀμοιβὰς ὄμμασιν δεδορκότες;
Ἐγὼ δὲ (νῦν γὰρ τῆς ἐμῆς ἔργον χερὸς)
Πρῶτον μὲν εἶμι καὶ κατασκάψω δόμους
Καινῶν τυράννων, κρᾶτα δ' ἀνόσιον τεμὼν,
Ῥίψω κυνῶν ἕλκημα. Καδμείων δ' ὅσους
Κακοὺς ἐφεῦρον, εὖ παθόντας ἐξ ἐμοῦ,
Τῷ καλλινίκῳ τῷδ' ὅπλῳ χειρώσομαι,
Τοὺς δὲ πτερωτοῖς διαφορῶν τοξεύμασιν,
Νεκρῶν ἅπαντ' Ἰσμηνὸν ἐμπλήσω φόνου,
Δίρκης τε νᾶμα λευκὸν αἱμαχθήσεται.
Τῷ γάρ μ' ἀμύνειν μᾶλλον, ἢ δάμαρτι, χρὴ
Καὶ παισὶ καὶ γέροντι; χαιρόντων πόνοι·
Μάτην γὰρ αὐτοὺς τῶνδε μᾶλλον ἤνυσα.
Καὶ δεῖ μ' ὑπὲρ τῶνδ', εἴπερ οἵδ' ὑπὲρ πατρὸς,
Θνήσκειν ἀμύνοντ'· ἢ τί φήσομεν καλὸν,
Ὕδρα μὲν ἐλθεῖν ἐς μάχην λέοντί τε
Εὐρυσθέως πομπαῖσι, τῶν δ' ἐμῶν τέκνων
Οὐκ ἐκπονήσω θάνατον; οὐκ ἄρ' Ἡρακλῆς
Ὁ καλλίνικος, ὡς πάροιθεν, λέξομαι.

---

παθῶν. 556. Μινυῶν] Κλύμενον τῶν Μινυῶν βασιλέα λίθῳ βαλὼν Μενοικέως ἡνίοχος ὄνομα Περνήρης ἐν Ὀγχηστῷ Ποσειδῶνος τεμένει, τιτρώσκει· ὁ δὲ κομισθεὶς εἰς Ὀρχομενὸν ἡμιθανὴς, ἐπισκήπτει τελευτῶν Ἐργίνῳ τῷ παιδὶ ἐκδικῆσαι νὸν θάνατον αὐτοῦ· στρατευσάμενος δὲ Ἐργῖνος ἐπὶ Θήβας, κτείνας οὐκ ὀλίγους, ἐσπείσατο μεθ' ὅρκων, ὅπως πέμπωσιν αὐτῷ Θηβαῖοι δασμὸν

ΗΡ. Οἱ δ' ἀγῶνες ἡμῶν πρὸς Μινύας φροῦδοι πάντες;

ΜΕ. Εἶπόν σοι, ὡς φίλοι οὐκ εἰσὶ τοῖς δυστυχοῦσι.

ΗΡ. Οὐκοῦν οὐκ ἀποβαλεῖτε νῦν ἀπὸ τῆς κεφαλῆς τὰ τοῦ ᾅδου περιβόλαια ταῦτα, ἀναβλέψαντες ἐς τὸ φῶς, τὴν φίλην ταύτην ἀμοιβὴν ἀντὶ τοῦ κάτω σκότους; ἐγὼ δὲ νῦν, ὃ μάλιστ' ἔργον τοῦ ἐμοῦ βραχιονός ἐςιν, εἶμι πρῶτον τοὺς τῶν τυράννων δόμους κατασκάψων. εἶτα τὴν ἀνόσιον κεφαλὴν αὐτοῦ τεμὼν, ῥίψω τοῖς κυσὶ παρασύρειν ἐν βορβόροις· τῶν δὲ Θηβαίων, οὓς ἂν εὕρω τῶν ὑπ' ἐμοῦ εὖ πεπονθότων κακοὺς εἰς ἐμὲ γεγενημένους, οὓς μὲν ἀναιρῶν τῷ ῥοπάλῳ, οὓς δὲ τοξεύμασιν ἐλαύνων, τόντ' Ἰσμηνὸν καὶ τὴν Δίρκην ἐμπλήσω λύθρου· τίνι γὰρ με δεῖ ἀμύνειν μᾶλλον, ἢ πατρὶ, καὶ γυναικὶ, καὶ τέκνοις τοῖς φιλτάτοις; χαιρέτωσαν οἱ ἆθλοι· μάταιον γὰρ περὶ ἐκείνους πλείω σπουδὴν, ἢ τουτουνὶ ποιεῖσθαι· δεῖ γάρ με ὑπὲρ τούτων μᾶλλόν με ἀμύνοντα ἀποθανεῖν, ὅτι καὶ αὐτοὶ δι' ἐμὲ ἐκινδύνευσαν. ἔπειτα πῶς καλὸν πρὸς μὲν Ὕδραν, καὶ Λέοντα ἐλθεῖν εἰς μάχην, ἐπιτάξαντος Εὐρυσθέως, τῷ δὲ θανάτῳ τῶν ἐμαυτοῦ τέκνων μὴ ἐπεξιέναι· οὐκέτ' ἄρ' ἐγὼ καλλίνικος ἔσομαι ὡς τὸ πρόσθεν.

---

ἐπὶ εἴκοσιν ἔτη κατ' ἔτος ἑκατὸν βόας· ἐπὶ τοῦτον δὲ τὸν δασμὸν ἐπιόντας συντυχὼν Ἡρακλῆς, ἐλωβήσατο· ἀποτεμὼν γὰρ αὐτῶν τὰ ὦτα καὶ τὰς ῥίνας, καὶ τὰς χεῖρας δήσας ἐκ τῶν τραχήλων, ἔφη· τοῦτον Ἐργίνῳ καὶ Μινύαις δασμὸν κομίζειν· ἐφ' οἷς ἀγανακτῶν, ἐστράτευσεν ἐπὶ Θήβας· Ἡρακλῆς δὲ λαβὼν ὅπλα παρ' Ἀθηνᾶς, καὶ πολεμαρχῶν, Ἐργῖνον μὲν ἔκτεινε· τοὺς δὲ Μινύας ἐτρέψατο, καὶ τὸν δασμὸν διπλοῦν ἠνάγκασε Θηβαίοις φέρειν. Ἀπολ.

ΧΟ. Δίκαια τοὺς τεκόντας ὠφελεῖν τέκνα
Πατέρα τε πρέσβυν τήν τε κοινωνὸν γάμων.
ΑΜ. Πρὸς σοῦ μὲν, ὦ παῖ, τοῖς φίλοις εἶναι φίλον,
Τά τ' ἐχθρὰ μισεῖν· ἀλλὰ μὴ 'πείγου λίαν.
ΗΡ. Τί δ' ἐστὶ τῶνδε θᾶσσον, ἢ χρεὼν, πάτερ;
ΑΜ. Πολλοὺς πένητας, ὀλβίους δὲ τῷ λόγῳ
Δοκοῦντας εἶναι, συμμάχους ἄναξ ἔχει,
Οἳ στάσιν ἔθηκαν καὶ διώλεσαν πόλιν
Ἐφ' ἁρπαγαῖσι τῶν πέλας, τὰ δ' ἐν δόμοις
Δαπάναισι φροῦδα, διαφυγόνθ' ὑπ' ἀργίας.
Ὤφθης ἐπελθὼν πόλιν· ἐπεὶ δ' ὤφθης, ὅρα,
Ἐχθροὺς ἀθροίσας, μὴ παρὰ γνώμην πέσῃς.
ΗΡ. Μέλει μὲν οὐδὲν, εἴ με πᾶσ' εἶδεν πόλις·
Ὄρνιν δ' ἰδών τιν' οὐκ ἐν αἰσίαις ἕδραις,
Ἔγνων πόνον τίν' ἐς δόμους πεπτωκότα·
Ὥστ' ἐκ προνοίας κρύφιος εἰσῆλθον χθόνα.
ΑΜ. Καλῶς προσελθὼν, νῦν πρόσειπέ θ' ἑστίαν,
Καὶ δὸς πατρῴοις δώμασιν σὸν ὄμμ' ἰδεῖν.
Ἥξει γὰρ αὐτὸς, σὴν δάμαρτα καὶ τέκνα
Ἕλξων, φονεύσων, κἄμ' ἐπισφάξων, ἄναξ.
Μένοντι δ' αὐτοῦ πάντα σοι γενήσεται,
Τῇ τ' ἀσφαλείᾳ κερδανεῖς· πόλιν τε σὴν
Μὴ πρὶν ταράξῃς, πρὶν τόδ' εὖ θέσθαι, τέκνον.
ΗΡ. Δράσω τάδ'· εὖ γὰρ εἶπας· εἶμ' εἴσω δόμων.
Χρόνῳ δ' ἀνελθὼν ἐξ ἀνηλίων μυχῶν

---

βιβλ. Β. 4, 11.—587. Τά δ' ἐν δόμοις δαπάναισι φροῦδα, διαφυγόνθ' ὑπ' ἀργίας] ἐστασίασαν, φησὶ, ἵνα ἁρπάσωσι τὰ τῶν πέλας· ἃ γὰρ ἦν αὐτοῖς ἐλαττούμενα ταῖς ἀεὶ καθ' ἡμέραν δαπάναις, καὶ αὐτῶν μὴ πονούντων, ὥστ'

ΧΟ. Δίκαιον δὲ πατέρα, τὰ τέκνα, τόν τε γέροντα πατέρα, καὶ τὴν γυναῖκα σώζειν.

ΑΜ. Σὸν μὲν, ὦ παῖ, ἀληθῶς τοῖς τε φίλοις ἀμύνειν, καὶ τοῖς ἐχθροῖς ἐπεξιέναι· πλὴν μὴ σπεῦδε ἄγαν.

ΗΡ. Τί μοι τούτων ἀπροβούλευτόν ἐστιν, ὦ πάτερ;

ΑΜ. Ὁ γὰρ τῆς πόλεως νῦν κρατῶν, πολλοὺς τῶν πενήτων μὲν, πλουσίους δὲ λέγειν δοκοῦντας, συμμάχους ἔχει· οἳ στασιάσαντες, διέφθειραν τὴν πόλιν ἐφ' ἁρπαγῇ τῶν πέλας· τὰ γὰρ οἰκεῖα προδεδαπάνητ' αὐτοῖς, φροῦδα δι' ἀργίαν γεγενημένα· σὺ δ' ἐπειδὴ ἐγνώσθης ἐλθὼν ἐνταῦθα, ὅρα, μὴ ἀθροισθέντων παρ' ἐκείνῳ τῶν ἐχθρῶν, ἀποτύχῃς τοῦ σκοποῦ ἀπροσδοκήτως.

ΗΡ. Ἐμοὶ μὲν οὐδὲν, ὦ πάτερ, μέλει, καὶ εἰ πᾶσά με ἡ πόλις ἑώρα με εἰσιόντα ὧδε· ἀλλ' ἔγωγ' ἰδὼν ὄρνιν ἐν οὐχ ὁσίῳ καθήμενον τόπῳ, ἔγνων συμφοράν τινα συμπεπτωκυῖαν οἴκοι· διὸ λαθὼν εἰσῆλθον δεῦρο.

ΑΜ. Καλῶς προμεμήθευται ταῦτα· οὐκοῦν νῦν εἴσελθε οἴκαδε προσφθεγξόμενος τὰ σεαυτοῦ, καὶ ὄμμα φίλον τοῖς πατρῴοις ἐπιδειξόμενος· ὁ δὲ πολέμιος ἥξει αὐτὸς αὐτίκα μάλα, τήν τε σὴν γυναῖκα, καὶ τὰ τέκνα, κἀμὲ ἀποσπάσων ἐντεῦθεν βίᾳ, ὡς σφάξων θύματα τῷ ᾅδῃ· οὐκοῦν μείναντι αὐτοῦ ἐν ἡσυχίᾳ, πάνθ' ὡς ἄριστ' ἐκ τοῦ ἀσφαλοῦς καταπραχθήσεταί σοι, τὴν δὲ πόλιν μηδὲν ἐπιταράξῃς πρὶν ἢ εὖ θέσθαι ταῦτα.

ΗΡ. Ὡς εὖ εἶπας ταῦτα· καὶ δὴ δράσω οὕτως· εἶμι τοίνυν εἴσω· κἀπεὶ χρόνιος ἀνῆλθον ἐκ τῶν ἀνηλίων μυχῶν

---

αὔξειν, ὑπ' ἀργίας καὶ ῥᾳθυμίας, ταῦτ' ἀπέλιπον αὐτούς. 609. Τὰ μυστῶν

Ἅδου Κόρης ἔνερθεν, οὐκ ἀτιμάσω
Θεοὺς προσειπεῖν πρῶτα τοὺς κατὰ στέγας.
ΑΜ. Ἦλθες γὰρ ὄντως δώματ' εἰς Ἅδου, τέκνον;
ΗΡ. Καὶ θῆρά γ' ἐς φῶς τὸν τρίκρανον ἤγαγον.
ΑΜ. Μάχῃ κρατήσας, ἢ θεᾶς δωρήμασιν;
ΗΡ. Μάχῃ· τὰ μυστῶν δ' ὄργι' εὐτύχησ' ἰδών.
ΑΜ. Ἦ καὶ κατ' οἴκους ἐστὶν Εὐρυσθέως ὁ θήρ;
ΗΡ. Χθονίας νιν ἄλσος Ἑρμιών τ' ἔχει πόλις.
ΑΜ. Οὐδ' οἶδεν Εὐρυσθεύς σε γῆς ἥκοντ' ἄνω;
ΗΡ. Οὐκ οἶδ'· ἵν' ἐλθὼν τἀνθάδ' εἰδείην πάρος.
ΑΜ. Χρόνον δὲ πῶς τοσοῦτον ἦσθ' ὑπὸ χθονί;
ΗΡ. Θησέα κομίζων ἐχρόνισ' ἐξ Ἅδου, πάτερ.
ΑΜ. Καὶ ποῦ 'στιν, ἢ γῆς πατρίδος οἴχεται πέδον;
ΗΡ. Βέβηκ' Ἀθήνας, νέρθεν ἄσμενος φυγών.
Ἀλλ' εἶ', ὁμαρτεῖτ', ὦ τέκν', ἐς δόμους πατρί.
Καλλίονές τ' ἄρ' εἴσοδοι τῶν ἐξόδων
Πάρεισιν ὑμῖν, ἀλλὰ θάρσος ἴσχετε,
Καὶ νάματ' ὄσσων μηκέτ' ἐξανίετε·
Σύ τ', ὦ γύναι, μοι σύλλογον ψυχῆς λάβε
Τρόμου τε παῦσαι, καὶ μέθεσθ' ἐμῶν πέπλων·

---

δ' ὄργια εὐτύχησ' ἰδὼν] ὅτι ἐμυήθη Ἡρακλῆς τὰ μυστήρια καὶ παρὰ τῷ Τζέτζῃ δηλοῦται εἰπόντι· Διότι ἐμυήθη ὁ Ἡρακλῆς ἐν Ἐλευσῖνι τὰ δι' αὐτὸν λεγόμενα Μικρὰ μυστήρια. Καὶ παρὰ Πλάτωνι ἐν τῷ περὶ θανάτου· Καὶ τοὺς περὶ Ἡρακλέα τε καὶ Διόνυσον, κατιόντας εἰς ᾅδου, πρότερον λόγος ἐνθάδε μυηθῆναι· καὶ τὸ θάρσος τῆς ἐκεῖσε πορείας παρὰ τῆς Ἐλευσινίας ἐναύσασθαι· Καὶ παρ' Ἀπολλοδώρῳ αὖθις (B. 5, 12.) Μέλλων οὖν (ὁ Ἡρακλῆς) ἐπὶ τοῦτον (τὸν Κέρβερον) ἀπιέναι, ἦλθε πρὸς Εὔμολπον εἰς Ἐλευσῖνα, βουλόμενος μυηθῆναι· ἦν δ' οὐκ ἐξὸν τότε ξένοις μυηθῆναι. 609. Χθονίας] Ἑκάτης· οὕτω γὰρ

τῆς Περσεφόνης, οὐκ ἀπαξιώσω τοὺς οἴκοι θεοὺς πρῶτον προσειπεῖν.

ΑΜ. Τί δέ; ὄντως ἐς Ἅδου κατῆλθες τέκνον;

ΗΡ. Ἀλλὰ καὶ τὸν τρικέφαλον ἐξήγαγον ἐκεῖθεν κύνα.

ΑΜ. Πότερον, μάχῃ, ἢ παρὰ τῆς θεοῦ λαϐὼν δῶρον;

ΗΡ. Μάχῃ δήπου. τὰ γὰρ μυστήρια μυηθεὶς ὠνάμην.

ΑΜ. Τί δέ; νῦν παρ' Εὐρυσθεῖ ἐστιν ὁ κύων;

ΗΡ. Ἑρμιὼν αὐτὸν ἐν τῷ τῆς Χθονίας φυλάττει ἄλσει.

ΑΜ. Ὁ δ' Εὐρυσθεὺς ἀγνοεῖ σε ἀνελθόντα;

ΗΡ. Πάντως γε· βούλομαι γὰρ μαθεῖν τὰ οἴκοι πρῶτον.

ΑΜ. Τί δὲ τοσοῦτον διέτριψας τοῖς κάτω;

ΗΡ. Ὅπως καὶ Θησέα ἐκεῖθεν ἐξαγάγω.

ΑΜ. Καὶ ποῦ 'σθ' οὗτος, ἢ ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ;

ΗΡ. Ἀθήναζέ γε, ἄσμενος φυγὼν τὸ σκότος. Ἀλλ' ἄγετ', ὦ παῖδες, νῦν, ἕπεσθε τῷ πατρὶ οἴκαδε· ἡ γὰρ εἴσοδος δοκεῖ ὑμῖν νῦν πολλῷ ἡδίων εἶναι τῆς ἐξόδου· διὸ θαῤῥεῖτε, μηκέτι κατασπένδοντες δάκρυα· σύ τε, ὦ γύναι, ἀναπνεύσασα τῶν κακῶν, παῦσαι τρέμουσα, καὶ τῶν ἐμῶν ἱματίων ἀφίεσθε. οὔτε γὰρ πτεροῖς δυναί-

---

παρὰ Θεοκρίτῳ. Τᾷ χθονίᾳ θ' Ἑκάτῃ· ἔνθ' ὁ Σχολιαστής. Τὴν Ἑκάτην χθονίαν φασι θεὰν, καὶ νερτέρων πρύτανιν· ἧ καὶ ναὸς ἦν κατὰ Παυσανίαν (Κορινθ. σελ. 78.) Ὄπισθεν δὲ τοῦ ναοῦ τῆς Χθονίας χωρία ἐστιν, ἃ καλοῦσιν Ἑρμιονεῖς, τὸ μὲν Κλυμένου, τὸ δὲ Πλούτωνος, τὸ δὲ τρίτον αὐτῶν λίμνην Ἀχερουσίαν· περιείργεται δὴ πάντα θριγκοῖς λίθων· ἐν δὲ τῷ Κλυμένου, καὶ γῆς χάσμα· διὰ τούτου δὲ Ἡρακλῆς ἀνῆγε τοῦ ᾅδου τὸν κῦνα κατὰ τὰ λεγόμενα ὑπὸ Ἑρμιονέων. 615. Θησέα] Μέτιθι Πλούταρχον εἰς Θησέα, ὅπως μάθῃς τὴν εἰς μῦθον μεταπεπλασμένην αὐτοῦ ἀληθῆ ἱστορίαν. 622. Σύλλογον ψυχῆς] ανα-

Οὐ γὰρ πτερωτὸς, οὐδὲ φευξείω φίλους.
(Α) οἶδ' οὐκ ἀφιᾶσ', ἀλλ' ἀνάπτονται πέπλων
Τοσῷδε μᾶλλον· ὧδ' ἔβητ' ἐπὶ ξυροῦ.
Ἄξω, λαβών γε τούσδ' ἐφολκίδας χεροῖν,
Ναῦς δ' ὣς ἐφέλξω· καὶ γὰρ οὐκ ἀναίνομαι
Θεράπευμα τέκνων· πάντα τἀνθρώπων ἴσα.
Φιλοῦσι παῖδας οἵτ' ἀμείνονες βροτῶν
Οἵ τ' οὐδὲν ὄντες. χρήμασιν δὲ διάφοροι·
Ἔχουσιν, οἱ δ' οὔ· πᾶν δὲ φιλότεκνον γένος.

ΧΟ. Ἁ νεότας μοι φίλον· ἄχθος δὲ τὸ γῆρας αἰεὶ (Στρ. ά.)
Βαρύτερον Αἴτνας σκοπέλων ἐπὶ κρατὶ κεῖται,
Βλεφάρων σκοτεινὸν φάρος ἐπικαλύψαν.
Μή μοι μήτ' Ἀσιήτιδος
Τυραννίδος ὄλβος εἴη,
Μὴ χρυσοῦ δώματα πλήρη
Τᾶς ἥβας ἀντιλαβεῖν!
Ἃ καλλίστα μὲν ἐν ὄλβῳ,
Καλλίστα δ' ἐν πενίᾳ.
Τὸ δὲ λυγρὸν, φόνιόν τε γῆ-
Ρας μισῶ· κατὰ κυμάτων δ'
Ἔῤῥοι! μήτε πότ' ὤφελεν
Θνατῶν δώματα καὶ πόλεις
Ἐλθεῖν, ἀλλὰ κατ' αἰθέρ' αἰ-
Εὶ πτεροῖσι φορείσθω·
Εἰ δὲ θεοῖς ἦν ξύνεσις καὶ σοφία, κατ' ἄνδρας (Ἀντ. ά.)
Δίδυμον ἂν ἥβαν ἔφερον, φανερὸν χαρακτῆρ'
Ἀρετᾶς, ὅσοισιν μέτα, καὶ θανόντες,
Εἰς αὐγὰς πάλιν ἁλίου

μην χρῆσθαι, οὔτ' εἰ ἐδυνάμην τοῦτο, βουλοίμην ἂν καταλιπεῖν τοὺς ἐμαυτοῦ φιλτάτους· ἆ! οἵδε οὐχ ὅπως οὐκ ἀφίενται, ἀλλὰ καὶ μᾶλλον προσίσχονταί μου. οὕτως αὐτοῖς ἐπὶ ξυροῦ ἀκμῆς, ὡς ἔοικε, τὰ πράγματ' ἦλθεν· ἀλλὰ λαβὼν τούτους, ἄξω, ὡς ναῦς τὰς ἐφολκίδας, ἕλκων· οὐ γὰρ ἂν ἀπαξιῴην τοὺς ἐμαυτοῦ θεραπεύειν, εἴγε ἄνθρωπος πᾶς φιλότεκνον φύσει· τὰ μὲν γὰρ ἄλλα διαφόρως πρὸς ἀλλήλους ἔχοντες, τοὺς ἑαυτῶν ὁμοίως φιλοῦμεν πάντες, ἀγαθοί τε, κακοί τε.

ΧΟ. Ἡ μὲν νεότης μοι κοῦφον, καὶ εὐβάστακτον ἄχθος δοκεῖ εἶναι· τὸ δὲ γῆρας καὶ τῶν τῆς Αἴτνης αὐτῆς σκοπέλων βαρύτερον ὂν, ἐπὶ τῆς ἐμῆς ἤδη ἐπίκειται κεφαλῆς, τὸ τῶν ὀμμάτων κατασπῶν ἐπισκύνιον· μή μοι εἴη μήτε πλοῦτος τῶν τῆς Ἀσίας τυράννων, μήθ' ὁ οἶκος πλήρης χρυσοῦ ἀντὶ τῆς ἥβης· ἥτις καλλίστη μέν ἐστιν ἐν ὄλβῳ, καλλίστη δὲ καὶ ἐν πενίᾳ· τὸ δὲ λυπηρὸν καὶ σχέτλιον μισῶ γῆρας· καὶ βουλοίμην ἂν ῥιπτεῖν αὐτὸ εἰς μεγακήτεα πόντον καὶ πετρῶν κατ' ἠλιβάτων, μήδ' ὤφειλέ ποτ' ἐλθεῖν εἰς τὰς τῶν ἀνθρώπων πόλεις· ἀλλ' ἐν αἰθέρι ἀεὶ, ὥσπερ πτερῷ φερέσθω.

Εἰ δ' ἦν σύνεσις καὶ σοφία τοῖς θεοῖς περὶ ἀνθρώπων, διττὴν ἂν ἥβην ἔδωκαν αὐτοῖς, ἀρετῆς ἐπίσημον τοῦτ' αὐτοῖς χαρακτῆρα παρέχοντες· καὶ ἦν ἂν οὕτω

---

θάῤῥει, ῥώννυσο. 624. Φευξείω] ἐν ἄλλοις φευξιῶ· ἔστι δὲ εἰπεῖν καὶ φευκτιῶ· ἅπαντα ἐπὶ ἐνεστῶτος ἐφετικὰ ῥήματα, ἀναλυόμενα εἰς τὸ, ἐπιθυμῶ φυγεῖν. 626. Ἐπὶ ξυροῦ ἀκμῆς, παροιμιῶδες ἐπὶ τῶν κινδυνευόντων. 635. Φάρος] ἐν ἄλλοις φάος κεῖται.

Δισσοὺς ἂν ἔβαν διαύλους,
Ἁ δυσγένεια δ' ἁπλοῦν ἂν
Εἶχε ζωᾶς βιοτάν.
Καὶ τῷδ' ἦν τούς τε κακοὺς ἂν
Γνῶναι καὶ τοὺς ἀγαθοὺς,
Ἴσον ἅτ' ἐν νεφέλαισιν ἄ-
Στρων ναύταις ἀριθμὸς πέλει.
Νῦν δ' οὐδεὶς ὅρος ἐκ θεῶν
Χρηστοῖς οὐδὲ κακοῖς σαφὴς,
Ἀλλ' εἱλισσόμενός τις αἰ-
Ὼν πλοῦτον μόνον αὔξει·
Οὐ παύσομαι τὰς Χάριτας (Στρ. β'.)
Μούσαις συγκαταμιγνὺς,
Ἡδίσταν συζυγίαν.
Μὴ ζώην μετ' ἀμουσίας,
Αἰεὶ δ' ἐν στεφάνοισιν εἴην!
Ἔτι τοι γέρων ἀοιδὸς
Κελαδῶ Μναμοσύναν·
Ἔτι τὰν Ἡρακλέους
Καλλίνικον ἀείσω
Παρά τε Βρόμιον οἰνοδόταν,
Παρά τε χέλυος ἑπτατόνου
Μολπὰν, καὶ Λίβυν αὐλόν·
Οὔπω καταπαύσομεν
Μούσας, αἵ μ' ἐχόρευσαν.
Παιᾶνα μὲν Δηλιάδες (ἀντ. β'.)
Ὑμνοῦσ', ἀμφὶ πύλας τὸν
Λατοῦς εὔπαιδα γόνον

τοῖς μὲν ἀγαθοῖς δὶς τὸν τῆς ἥβης δίαυλον διανύειν· τοῖς δὲ κακοῖς, ἅπαξ τὸ τοῦ βίου στάδιον διατρέχειν· οὕτω γὰρ τοὺς ἀγαθοὺς τῶν κακῶν γνοίημεν ἂν οὐχ ἧττον, ἢ καὶ ναύτης τὸν ἐν οὐρανῷ ἀριθμὸν τῶν ἀςέρων· νῦν δ' ὅρος οὐδεὶς θεόθεν ἐπίσημος χρηστῶν καὶ φαύλων· ἀλλ' ὁ χρόνος ἄκριτος καὶ εἰκῇ περιειλισσόμενος, μόνον τὸν πλοῦτον τιμᾷ καὶ μεγαλύνει.

Οὐκ ἂν παυσαίμην συγκαταμιγνύων ταῖς Μούσαις τὰς Χάριτας, ταύτην δὴ τὴν φίλην μοι καὶ ἡδίστην ξυνωρίδα· μή μοι εἴη συζῆν ἀμουσίᾳ· ἀλλὰ ςεφάνων ἀεὶ τυγχάνειν· ἔτι καὶ νῦν ἐν γήρᾳ μέλπω τὴν Μνημοσύνην, καὶ τὴν καλλίνικον ᾠδὴν τοῦ Ἡρακλέους πρός τε τὸν Βρόμιον τὸν τοῦ οἴνου δοτῆρα, πρός τε τὴν μολπὴν τῆς ἑπταχόρδου κιθάρας, καὶ τὸν ἐκ Λιβύης αὐλόν· οὐδέποτε καταπαύσομεν τὰς Μούσας ᾄδοντες, αἵ με ποιοῦσι χορεύειν.

Αἱ μὲν παρθένοι τῆς Δήλου ᾄδουσι παιᾶνα περὶ τὰς πύλας, καὶ τὸν εὐγενῆ παῖδα Λητοῦς ὑμνοῦσαι, καλ-

---

657. Ἅτε] καθ' ἅτε, καθάπερ· συνήθως μέν τοι φέρεται πρὸς μετοχὴν αἰτιολογοῦσαν τὸ ποιητικόν. 662. Πλοῦτον αὔξει] τὸν πλούσιον μὲν δεικνύει μέγαν· τὸν δ' ἀρετῇ κεκοσμημένον καταλείπει ἐν παραβύστῳ. 666. Μὴ ζώην μετ' ἀμουσίας] εἰ ζώην μετ' εὐμουσίας, ἐν ἄλλοις κεῖται· οὐ φαύλως. 669. Κελαδῶ] ἐξ ἑτέρας ἀντὶ τοῦ κελαδεῖ. 671. Καλλίνικον] νίκην, ἢ ᾠδὴν, ἢ ἀγῶνα, ἢ ὄνομα· ὁ δὲ νοῦς, βακχεύων ἐν οἴνῳ, καὶ ἐν μολπῇ ὀργάνων μουσικῶν, τὸν Καλλίνικον ὑμνήσω Ἡρακλέα.

Εἱλίσσουσαι καλλίχορον·
Παιᾶνας δ' ἐπὶ σοῖς μελάθροις,
Κύκνος ὡς, γέρων ἀοιδὸς
Πολιᾶν ἐκ γενύων
Κελαδήσω· τὸ γὰρ εὖ
Τοῖς ὕμνοισιν ὑπάρχει
Διὸς ὁ παῖς· τᾶς δ' εὐγενείας
Πλέον ὑπερβάλλων,
Μοχθήσας, τὸν ἄκυμον
Θῆκεν βίοτον βροτοῖς,
Πέρσας δείματα θηρῶν.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΛΥΚΟΣ, ΑΜΦΙΤΡΥΩΝ, ΙΡΙΣ, ΛΥΣΣΑ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ.

ΛΥ. Ἐς καιρὸν οἴκων, Ἀμφιτρύων, ἔξω περᾷς·
Χρόνος γὰρ ἤδη δαρὸς, ἐξ ὅτου πέπλοις
Κοσμεῖσθε σῶμα καὶ νεκρῶν ἀγάλμασιν.
Ἀλλ' εἶα, παῖδας καὶ δάμαρθ' Ἡρακλέους
Ἔξω κέλευε τῶνδε φαίνεσθαι δόμων,
Ἐφ' οἷς ὑπέστητ' αὐτεπάγγελτοι θανεῖν.

ΑΜ. Ἄναξ, διώκεις μ' ἀθλίως πεπραγότα,
Ὕβριν θ' ὑβρίζεις ἐπὶ θανοῦσι τοῖς ἐμοῖς·
Ἃ χρῆν σε μετρίως, κεἰ κρατεῖς, σπουδὴν ἔχειν·
Ἐπεὶ δ' ἀνάγκην προςτίθης ἡμῖν θανεῖν,
Στέργειν ἀνάγκη, δραστέον δ', ἃ σοι δοκεῖ.

λὸν ἱστῶσαι χορὸν ἐκείνῳ· ἐγὼ δὲ καὶ γέρων ὢν, ἤδη ᾄσω σοι ἐν τοῖς σοῖς ἀνακτόροις, ὥσπερ κύκνος τις ἐκ πολιῶν γεννύων· Διὸς γὰρ ὁ παῖς ἄξιος ἐπαινεῖσθαι· πᾶσαν γὰρ εὐγένειαν πολλῷ τῷ λόγῳ ὑπερβαλὼν, καλοῖς καὶ πολλοῖς ἀγῶσιν ἀκύματον τὸν τῶν ἀνθρώπων ἔθηκε βίον, τοὺς φοβεροὺς θῆρας ἐξελὼν πανταχόσε.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΛΥΚΟΣ, ΑΜΦΙΤΡΥΩΝ, ΙΡΙΣ, ΛΥΣΣΑ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ

**ΛΥ.** Ἐν καιρῷ ἐξέρχῃ Ἀμφιτρύων· ἱκανὸς γὰρ ἐῤῥύη χρόνος, ἐξ ὅτου κοσμεῖσθε, οἷς οἱ τεθνηξόμενοι χαίρουσι μάλιστα· ἀλλ᾽ ἴθ᾽, ὦ γέρον, μετακαλεσόμενος τὴν τοῦ Ἡρακλέους γυναῖκα καὶ τοὺς παῖδας ἐπὶ θανάτῳ, ὃν ὑπέστητε αὐθαίρετοι.

**ΑΜ.** Βασιλεῦ, ὡς πολλῇ τῇ ὕβρει εἰς ἐμὲ καταχρῇ, ἐπηρεάζων με περὶ τῶν τεθνηξομένων, ἀθλίως ἤδη διακείμενον· ἐφ᾽ ἃ ἔδει σε μάλιστα ἧττον σπεύδειν, καίπερ κρατοῦντα· ἐπειδὴ δὲ προστίθης ἡμῖν καὶ βίαν ἀποθανεῖν, πάρεσμεν, καὶ χρῷ ὅ,τι βούλει.

---

686. Τὸ γὰρ εὖ] τὸ καλὸν, εὐπρεπές· ὅ ἐστιν, ἡ ὑπόθεσις τῶν ὕμνων· τοῦτο δέ ἐστιν ἡ ἀρετὴ τοῦ παιδὸς τοῦ Διός. 698. Θανοῦσι] θνήσκω· ὁ μέλλλων, θανῶ, ἡ μετοχὴ, ὁ θανών. οὕτω δοκεῖ εἰλῆφθαι τὸ θανοῦσιν ἐπὶ μέλλοντος ἐνταῦθα. 724. Μι-

ΛΥ. Ποῦ δῆτα Μεγάρα; ποῦ τέκν' Ἀλκμήνης γόνου;
ΑΜ. Δοκῶ μὲν αὐτὴν ὡς θύραθεν εἰκάσαι —
ΛΥ. Τί χρῆμα δόξης τῆσδ' ἔχεις τεκμήριον;
ΑΜ. Ἱκέτιν πρὸς ἁγνοῖς ἑστίας θάσσειν βάθροις.
ΛΥ. Ἀνόνητά γ' ἱκετεύουσαν ἐκσῶσαι βίον.
ΑΜ. Καὶ τὸν θανόντα γ' ἀνακαλεῖ μάτην πόσιν.
ΛΥ. Ὅδ' οὐ πάρεστιν, οὐδὲ μὴ μόλῃ ποτέ.
ΑΜ. Οὐκ, εἴγε μή τις θεῶν ἀναστήσειέ νιν.
ΛΥ. Χώρει πρὸς αὐτὴν, καὶ κόμιζ' ἐκ δωμάτων.
ΑΜ. Μέτοχος ἂν εἴην τοῦ φόνου, δράσας τόδε.
ΛΥ. Ἡμεῖς, ἐπειδή σοι τόδ' ἔστ' ἐνθύμιον,
Οἱ δειμάτων ἔξωθεν, ἐκπορεύσομεν
Σὺν μητρὶ παῖδας. δεῦρ' ἕπεσθε, πρόσπολοι,
Ὡς ἂν σχολὴν λεύσσωμεν ἄσμενοι πόνων.
ΑΜ. Σὺ δ' οὖν ἴθ'· ἔρχῃ δ', οἷ χρεών· τὰ δ' ἄλλ' ἴσως
Ἄλλῳ μελήσει. προσδόκα δὲ, δρῶν κακῶς,
Κακόν τι πράξειν. ὦ γέροντες, ἐς καλὸν
Στείχει, βρόχοισι δ' ἀρκύων γενήσεται
Ξιφηφόροισι, τοὺς πέλας δοκῶν κτενεῖν,
Ὁ παγκάκιστος. εἶμι δ', ὡς ἴδω νεκρὸν
Πίπτοντ'· ἔχει γὰρ ἡδονὰς θνήσκων ἀνὴρ
Ἐχθρὸς, τίνων τε τῶν δεδραμένων δίκην.
Η.Α. Μεταβολὰ κακῶν· μέγας ὁ πρόσθ' ἄναξ (Στρ. α'.)
Πάλιν ὑποστρέφει βίοτον εἰς Ἅδαν.
Ἰώ! δίκα καὶ θεῶν παλίρρους πότμος!
Η.Β. Ἦλθες χρόνῳ μὲν, οὗ δίκην δώσεις θανὼν,
Ὕβρεις ὑβρίζων εἰς ἀμείνας σέθεν.

ΛΥ. Ποῦ δ᾽ ἐστιν ἡ Μεγάρα μετὰ τῶν τέκνων;

ΑΜ. Δοκεῖ μοι αὐτὴν, ὡς ἐντεῦθεν εἰκάσαι —

ΛΥ. Τί δοκεῖ σοι; τί ποτε τούτῳ σημαίνειν βούλει;

ΑΜ. Ἱκέτιν καθεῖσθαι παρὰ τῇ σεμνῇ Ἑστίᾳ.

ΛΥ. Εἰς μάτην ἐλπίζει ἐπιζήσειν τῇ ἱκεσίᾳ.

ΑΜ. Μάτην δὲ καὶ τὸν μὴ ζῶντα ἐπικαλεῖται ἄνδρα.

ΛΥ. Ἄπεστ᾽ ἐκεῖνος, κοὐκ ἔστιν ἐλθεῖν πάλιν.

ΑΜ. Οὕτως· εἰ μὴ θεῶν τις ἐκπέμψει αὐτὸν ὧδε·

ΛΥ. Ἴθι οὖν ὡς τάχος, ἔξαγ᾽ ἐκείνους δεῦρο.

ΑΜ. Οὐκ ἂν ἑκὼν γενοίμην μέτοχος τοῦ φόνου.

ΛΥ. Ἐπεὶ οὖν αὐτὸς προστρόπαιον τοῦτο σεαυτῷ τίθεσαι, ἡμεῖς ἔξω ὄντες φόβου, εἰσιόντες ἐξάξομεν ἐκείνους αὐτίκα μάλα. Ἕπεσθε δέ μοι ὑμεῖς οἱ πρόσπολοι, ὅπως δῶμέν ποτε τέλος τῶν παρόντων.

ΑΜ. Σὺ μὲν οὖν ἔρχῃ ἔνθα σε δεῖ· τῶν δ᾽ ἄλλων ἑτέρῳ τῳ μελήσει· κακῶς δ᾽ ἄλλους δρῶν, προσδόκα κακῶς πείσεσθαι· Ὁρᾶτ᾽, ὦ γέροντες, τὸν παγκάκιστον ἄνδρα, ὅπως ἄλλους σπεύδων ἀνελεῖν, αὐτὸς ἐμπεσεῖται, οἷον βρόχοις τισὶ, ἔνδον ξιφηφόροις; ἀλλ᾽ εἶμι ὀψόμενος αὐτὸν καταπίπτοντα νεκρόν· ἐχθρὸς γὰρ δίκην τῶν δεδραμένων τίνων, ἡδίστη θέα.

ΧΟ. Μεταβολὴν τῶν πραγμάτων, καὶ κακῶν ὁρῶ ἀνταπόδωμα· ὃς γὰρ ἦν πρόσθεν μέγας, κάτεισιν ἤδη εἰς ᾅδου πάλιν· ἰὼ δίκη, καὶ θεῶν παλίνδρομος τύχη.

ΗΜ. Ὀψὲ μὲν, ἀλλ᾽ ἦλθες, οὗ δώσεις δίκην, πολλὰ ἀσελγήσας ἐς τοὺς πολλῷ σου κρείττους ὄντας.

---

παβολὰ κακῶν] τὰ ἑξῆς ἐν ἄλλαις Χορὸς καὶ Ἀμφιτρύων μερίζονται.

Η.Α. Χαρμοναὶ δακρύων ἔδοσαν ἐκϐαλάς· (Στρ. β'.)
Πάλιν ἔμολεν, ἃ πάρος οὔποτε διὰ φρενὸς
Ἤλπισεν παθεῖν γῆς ἄναξ.
Η·Β. Ἀλλ', ὦ γεραιὲ, καὶ τὰ δωμάτων ἔσω
Σκοπῶμεν, εἰ πράσσει τις, ὡς ἐγὼ θέλω.
ΛΥ. Ἰώ μοί μοι!
Η.Α. Τόδε κατάρχεται μέλος ἐμοὶ κλύειν (Ἀντ. ά.)
Φίλον ἐν δόμοις· θάνατος οὐ πρόσω.
Βοᾷ φόνου φροίμιον στενάζων ἄναξ.
ΛΥ. Ὦ πᾶσα Κάδμου γαῖ', ἀπόλλυμαι δόλῳ.
Η. Β. Καὶ γὰρ διώλλυς· ἀντάποινα δ' ἐκτίνων
Τόλμα, διδούς γε τῶν δεδραμένων δίκην.
Η.Α. Τίς ὁ θεοὺς ἀνομίᾳ χραίνων, θνητὸς ὢν, (ἀντ. β'.)
Ἄφρονα λόγον οὐρανίων μακάρων κατέϐαλ',
Ὡς ἄρ' οὐ σθένουσιν θεοί;
Η.Β. Γέροντες, οὐκέτ' ἔστι δυσσεϐὴς ἀνήρ.
Σιγᾷ μέλαθρα· πρὸς χοροὺς τραπώμεθα·
Φίλοι γὰρ εὐτυχοῦσιν, οὓς ἐγὼ θέλω.
ΧΟ. Χοροὶ, χοροὶ, καὶ θαλίαι μέλουσι (στρ. ά.)
Θήϐας ἱερόν κατ' ἄστυ.
Μεταλλαγαὶ γὰρ δακρύων,
Μεταλλαγαὶ συντυχίας
Ἔτεκον ἀοιδάς.
Βέϐακ' ἄναξ ὁ καινὸς, ὁ δὲ παλαίτερος
Κρατεῖ, λιμένα λιπών γε τὸν Ἀχερόντιον.
Δοκημάτων ἐκτὸς ἦλθεν ἐλπίς.
Θεοὶ, θεοὶ, τῶν ἀδίκων μέλουσι (ἀντ. ά.)
Καὶ τῶν ὁσίων ἐπάειν.

ΗΜ. Δάκρυά μοι ἐκθλίβονται χαρᾶς· ἀντίστροφος ἤδη ἡ τύχη τῷ νῦν κρατοῦντι· ὃ οὐδέποτ' ἤλπισεν ἔσεσθαι αὐτῷ.

Η.Β. Ἀλλ' ὦ γεραιὲ, τί πράσσεται ἆρα ἔνδον; τοῦτο γὰρ ἤδη ποθῶ ἀκούειν.

ΛΥ. Ἰώ μοι μοι.

ΗΜ. Τοῦτό μοι ἥδιστόν ἐστι μέλος ἀκούειν οἴκοι· ὁ θάνατος ἐγγύς· ὁ δ' ἄναξ βοᾷ, βοᾷ, ὡς δεινὸν φροίμιον τοῦ φόνου ἀνακρουόμενος.

ΛΥ. Ὦ γῆ Καδμεία, ἀπόλλυμαι δόλῳ.

ΗΜ. Δικαίως, ὡς πολλοὺς προαπολέσας· δίκην δ' ὧν ἔπραξας, τίνων, φέρε τὴν τιμωρίαν.

ΗΜ. Τίς ποτε, θνητὸς ὢν αὐτὸς, λόγον βλάσφημον κατεῖπε τῶν ἀθανάτων παρανομῶν, ὡς ἄρ' οὐκ ἔστι δύναμις ἐκείνοις;

ΗΜ. Γέροντες, σιγὴ ἔνδον ἐστίν· ὁ δὲ κακὸς ἄναξ ἔοικε, τἀπίχειρα λαβὼν, μηκέτι εἶναι· οὐκοῦν εἰκὸς ἡμᾶς τραπέσθαι πρὸς χοροὺς ἐπ' εὐτυχοῦσι τοῖς φίλοις.

ΧΟ. Χορῶν, χορῶν καὶ θαλιῶν νῦν μελέτω Θήβαις· μεταβολαὶ γὰρ δακρύων· μεταλλαγαὶ δὲ καὶ τύχης ἤδη κινοῦσι μέλη· φροῦδος μὲν ὁ νέος καὶ ὑπερήφανος ἄναξ· κρατεῖ δ', ὃς καὶ πάλαι, τὸν ἐν Ἀχερουσίᾳ καταλιπὼν λιμένα· ἐλπὶς παρ' ἐλπίδα προσγέγονεν.

Ἀμφοτέρους ἐπισκοπεῖ τὸ θεῖον, τούς τε τἄδικα δρῶντας, καὶ τοὺς εὐσεβῶς καὶ ὁσίους διακειμένους· ὁ

---

728. Πάλιν] ἀντιῤῥόπως ἀναφέρεται δὲ πρὸς τὸ μέγας, κατωτέρω μικρόν.

Ὁ χρυσὸς, ἅ τ' εὐτυχία
Φρονεῖν βροτοὺς ἐξάγεται
Δύνασιν ἄδικον ἐφέλκων.
Χρόνου γὰρ ἔτλα τὸ πάλιν οὔτις εἰσορᾷν;
Νόμον παρέμενος, ἀνομίᾳ χάριν διδούς·
Ἔθραυσε δ' ὄλβου κελαινὸν ἅρμα.
Ἰσμηνῷ στεφανοφορίαν, (στρ. β'.)
Ξεσταὶ θ' ἑπταπύλου πόλεως,
Ἀναχορεύσατ' ἀγυιαὶ,
Δίρκα θ' ἁ καλλιῤῥέεθρος,
Σύν τ' Ἀσωπιάδες κόραι,
Πατρὸς ὕδωρ βᾶτε λιποῦ-
σαι συναοιδοὶ
Νύμφαι τὸν Ἡρακλέους
Καλλίνικον ἀγῶν'· ὦ
Πυθίου δενδρῶτι πέτρα,
Μουσῶν θ' Ἑλικωνιάδων δώματα,
Ἥξετ' εὐγαθεῖ κελάδῳ
Ἐμὰν πόλιν, ἐμὰ τείχη,
Σπαρτῶν ἵνα γένος ἐφάνη,
Χαλκασπίδων λόχος, ὃς γᾶν
Τέκνων τέκνοις μεταμείβει,
Θήβαις ἱερὸν φῶς.
Ὦ λέκτρων δύο συγγενεῖς (ἀντ. β'.)
Εὐναὶ, θνατογενοῦς τε καὶ
Διὸς, ὃς ἦλθεν ἐς εὐνὰς
Νύμφας τᾶς Περσῆδος· καὶ
Πιστόν μοι τὸ παλαιὸν ἤ-

δὲ χρυσὸς καὶ ἡ εὐτυχία πολλάκις, τὰς τῶν ἀνθρώπων λυμαινόμενα φρένας, ἐκτρέπουσιν αὐτοὺς εἰς ὕβριν· αὐτίκα γὰρ ὁ Λύκος, μὴ σκοπῶν τὸ πρόσω, τῶν μὲν νόμων καταφρονῶν, τῇ δὲ ἀνομίᾳ χαίρων, ἔθραυσεν, ὥσπερ ἐν σταδίῳ, τὸ τῆς εὐδαιμονίας ἅρμα.

Νῦν Ἰσμηνὸς ςεφανούσθω, καὶ ἀγυιαὶ λιθόστρωτοι τῆς ἑπταπύλου Θηβαίων πόλεως ἀνασκιρτήσατε ἐν χοροῖς· ἥτε καλλίῤῥους Δίρκη, καὶ ὑμεῖς αἱ τοῦ Ἀσωποῦ παρθένοι νύμφαι, τὸ τοῦ πατρὸς καταλιποῦσαι ὕδωρ, συνέλθετε τὸν τοῦ Ἡρακλέους συνασόμεναι καλλίνικον ἀγῶνα. Ὦ σύσκιον ὄρος τοῦ Πυθίου, καὶ Μουσῶν Ἑλικωνιάδων ἑστίαι, ἔλθοιτε γηθοσύνῳ μολπῇ εἰς τὴν ἐμὴν ἑπτάπυργον πόλιν· ἵκοισθε, ἔνθα γένος τῶν Σπαρτῶν ἀνεβλάστησεν, ὅλος λόχος χαλκοχιτώνων, ὃς ταῖς τῶν τέκνων διαδοχαῖς ἱερὸν Θήβαις παρέχει σπέρμα πρὸς σωτηρίαν.

Ὦ ξυνωρὶς εὐνὴ θνητοῦτε καὶ ἀθανάτου, ὅς ἐστιν ὁ Ζεὺς, εἰς γάμον ἐλθὼν τῇ Περσηΐδι κόρῃ· ὡς πιστός

---

760. Χρόνον γὰρ ἔτλα τὸ πάλιν οὔτις εἰσορᾷν] οὕτως ἐξ ἑτέρας τὸ Οὔτις προστέθειται· ἐκληπτέον δὲ τὸ Πάλιν ἀντὶ τοῦ μέλλοντος· εἴη δ' ἂν ὁ νοῦς ἐκεῖνος· ὁ γὰρ πλούσιος (οὕτω γὰρ συνάγεται ἐκ τῶν προσεχῶς εἰρημένων· ἔστι δὲ οὗτος αὐτὸς ὁ Λύκος) οὐκ ἔτλη ὁρᾷν εἰς τὸν μέλλοντα χρόνον, τίποτε τέξει· ἀλλὰ παρορῶν μὲν τὸ δίκαιον, πράττων δὲ τὸ ἄδικον, ἔθραυσε τὸ κλεινὸν (οὕτω γὰρ ἴσως ἀντὶ τοῦ κελαινὸν) τοῦ ὄλβου ἅρμα.
763. Στεφανηφορίαν] ἀπόδος κατωτέρω εἰς τὸ ἀναχορεύσατε· ἐν ἄλλοις κεῖται εἰς εὐθεῖαν. 769. Συναοιδοὶ] ὡς συνυμνῳδοί· εἰμήτι γραπτέον συναείδειν. 772. Δενδρῶτι] ἢ δενδρῶτις, ἡ κλητ. ὦ δενδρῶτι πέτρα, ἡ κατάσκιος δένδροις. 773. Ἑλικωνιάδων] ἐν ἄλλοις, Ἑλικωνίδων. 773. Εὐγαθεῖ] εὐγηθεῖ, ἡδεῖ παρὰ τὸ εὖ καὶ γήθειν. 783. Περσηΐδος] Ἀλκμήνης, τῆς Ἀλεκρύωνος, τοῦ

Δὴ λέχος, ὦ Ζεῦ, τὸ σὸν οὐκ
Ἐπ' ἐλπίδι φάνθη,
Λαμπρὰν δ' ἔδειξ' ὁ χρόνος
Τὰν Ἡρακλέος ἀλκάν·
Ὃς γᾶς ἐξέβα θαλάμων,
Πλούτωνος δῶμα λιπὼν νέρτερον.
Κρείσσων μοι τύραννος ἔφυς,
Ἢ δυσγένει ἀνάκτων·
Ἃ νῦν ἐσορᾷν φαίνει
Ξιφηφόρων ἐς ἀγώνων
Ἅμιλλαν, εἰ τὸ δίκαιον
Θεοῖς ἔτ' ἀρέσκει·
Ἒα, ἔα.
Ἆρ' ἐς τὸν αὐτὸν πίτυλον ἥκομεν φόβου,
Γέροντες, οἷον φάσμ' ὑπὲρ δόμων ὁρῶ!
Φυγῇ, φυγῇ
Νωθὲς πέδαιρε κῶλον, ἐκποδὼν ἔλα.
Ὦ 'ναξ Παιὰν,
Ἀπότροπος γένοιό μοι τῶν πημάτων.
Θαρσεῖτε, Νυκτὸς τήνδ' ὁρῶντες ἔκγονον
Λύσσαν, γέροντες, κἀμὲ τὴν θεῶν λάτριν,
Ἶριν· πόλει γὰρ οὐδὲν ἥκομεν βλάβος,
Ἑνὸς δ' ἐπ' ἀνδρὸς δώματα στρατεύομεν,
Ὅν φασιν εἶναι Ζηνὸς Ἀλκμήνης τ' ἄπο.
Πρὶν μὲν γὰρ ἄθλους ἐκτελευτῆσαι πικροὺς,
Τὸ χρεών νιν ἐξέσωζεν, οὐδ' εἴα πατὴρ
Ζεύς νιν κακῶς δρᾷν οὔτ' ἔμ', οὔθ' Ἥραν ποτέ.
Ἐπεὶ δὲ μόχθους διεπέρασ' Εὐρυσθέως,

μοι σύτ', ὦ Ζεῦ, ἐν τούτῳ ἀνεφάνης παρ' ἐλπίδα, καὶ ὁ χρόνος λαμπρὰν τὴν τοῦ Ἡρακλέους ἀνέδειξε ῥώμην· ὃς τοὺς τῶν νεκρῶν καταλιπὼν κευθμῶνας, ἀνέκυψεν ἐς τὸ φῶς· σὺ τοίνυν, ὦ Ἡράκλεις, κρείττων πολλῷ τῷ λόγῳ βασιλεὺς, ἢ ὁ δυσγενὴς ἐστιν ἐκεῖνος Λύκος· ὃ πάρεστιν ἰδεῖν ἐν τῇ παρούσῃ τῶν ἀγώνων ἁμίλλῃ, εἰ τὸ δίκαιον ἀρεστόν ἐστι τῷ θείῳ. Ἀλλὰ μεταξὺ λόγων τί τοῦθ' ὁρῶ; μῶν καὶ ἡμῖν ὁ αὐτὸς κίνδυνος ἥκει; οἷον τοῦτο φάσμ', ὦ γέροντες, ἄνωθεν τῶν οἴκων κατέρχεται ἐφ' ἡμᾶς; φυγῇ φυγῇ σώζου μετακινῶν τὸν πόδα, ἐκ ποδῶν γενοῦ· ὦ ἄναξ Παιὰν, ἀποτρόπαιός μοι γενοῦ τῶν συμφορῶν.

ΙΡ. Ὦ γέροντες, ὁρῶντες τήνδε τῆς Νυκτὸς κόρην, κἀμὲ τὴν τῶν θεῶν ὑπηρέτιν Ἶριν, μὴ φοβεῖσθε· οὐ γὰρ τὴν πόλιν αὐτὴν βλάψουσαι ἥκομεν, ἐφ' ἑνὸς δὲ μόμον οἶκον, ὃν Διός τε καὶ Ἀλκμήνης φασὶ γενέσθαι, ἐπιστρατεύομεν· πρὶν μὲν γὰρ ἐκτελέσαι τοὺς ἐπιπόνους ἄθλους, διέσωζεν αὐτὸν τὸ πεπρωμένον, καὶ Ζεὺς ὁ πατὴρ, οὔθ' Ἥραν, οὔτ' ἐμὲ ἐῶν κακῶς δρᾶν αὐτόν· νῦν δὲ, τῶν ἀγώνων αὐτῷ λαβόντων πέρας, ἔδοξεν Ἥρᾳ ἐμπλῆσαι αὐτὸν

---

Περσέως. 789. Θαλάμων] ἐν ἄλλοις θαλαμῶν ἐκ τοῦ θαλάμη. 792. Ἡ δυσγένεια ἀνάκτων] ὁ δυσγενὴς ἄναξ Λύκος. 793. Ἃ νῦν εἰσορᾷν φαίνει] ἃ φαίνει, λαμπρά εἰσιν, ὥστε ὁρᾷν αὐτὰ ἐν τῷ παρόντι ἀγῶνι. 798. Πίτυλον] ὁρμὴν, ἀκμὴν, συγκυρίαν. 805. Λύσσαν Ἐριννῦν] ἦσαν δὲ τρεῖς. Ἀληκτὼ, Τισιφόνη, Μέγαιρα. 810. Τὸ χρεὼν] ἐν ἄλλοις κεῖται, τὸ χρῆν.

Ἥρα προσάψαι καινὸν αἷμ' αὐτῷ θέλει,
Παῖδας κατατείναντι, συνθέλω δ' ἐγώ.
Ἀλλ' εἶ', ἄτεγκτον συλλαβοῦσα καρδίαν,
Νυκτὸς κελαινῆς ἀνυμέναιε παρθένε,
Μανίας τ' ἐπ' ἀνδρὶ τῷδε, καὶ παιδοκτόνους
Φρενῶν ταραγμοὺς, καὶ ποδῶν σκιρτήματα
Ἔλαυνε, κίνει, φόνιον ἐξίει κάλων,
Ὡς ἂν, πορεύσας δι' Ἀχερούσιον πόρον
Τὸν καλλίπαιδα στέφανον αὐθέντῃ φόνῳ,
Γνῷ μὲν τὸν Ἥρας, οἷός ἐστ' αὐτῷ χόλος,
Μάθῃ δὲ τὸν ἐμόν· ἢ θεοὶ μὲν οὐδαμοῦ,
Τὰ θνητὰ δ' ἔσται μεγάλα, μὴ δόντος δίκην.
ΛΥ. Ἐξ εὐγενοῦς μὲν πατρὸς, ἔκ τε μητέρος
Πέφυκα, Νυκτὸς, Οὐρανοῦ τ' ἀφ' αἵματος.
Τιμὰς δ' ἔχω τάσδ' οὐκ ἀγασθῆναι φίλοις,
Οὐδ' ἥδομαι φοιτῶσ' ἐπ' ἀνθρώπων φίλους·
Παραινέσαι δὲ πρὶν σφαλεῖσαν εἰσιδεῖν,
Ἥρᾳ θέλω, σοί τ', ἢν πίθησθ' ἐμοῖς λόγοις.
Ἀνὴρ ὅδ' οὐκ ἄσημος, οὔτ' ἐπὶ χθονὶ.
Οὔτ' ἐν θεοῖσιν, οὗ γέ μ' εἰσπέμπεις δόμους·
Ἄβατον δὲ χώραν καὶ θάλασσαν ἀγρίαν
Ἐξημερώσας, θεῶν ἀνέστησεν μόνος
Τιμὰς, πιτνούσας ἀνοσίων ἀνδρῶν ὕπο·
Ὥστ' οὐ παραινῶ μεγάλα βούλεσθαι κακά·
ΙΡ. Μὴ σὺ νουθέτει τά θ' Ἥρας κἀμὰ μηχανήματα.
ΛΥ. Ἐς τὸ λῷστον ἐμβιβάζω σ' ἴχνος ἀντὶ τοῦ κακοῦ.
ΙΡ. Οὐχὶ σωφρονεῖν γ' ἔπεμψε δεῦρό σ' ἡ Διὸς δάμαρ.

---

837. Κἀμὰ] ἐν ἄλλοις κεῖται, καλά. 860. Μαρτυρόμεσθα δρῶσα] ἀπέδωκε

τοῦ φόνου, αὐτοχειρὶ τοὺς ἑαυτοῦ κατασφάξαντα παῖδας· συνδοκεῖ δ' οὐχ ἧττον κἀμοὶ τὸ αὐτό. Ἀλλ' εἶα σύγε Νυκτὸς μελαίνης θύγατερ παρθένε, ἴθ' ὁμόσε ἰταμῶς καὶ ἀπαραιτήτως ἐπὶ τὸν ἄνδρα τοῦτον· κίνει εἰς μανίαν, τάςτε φρένας αὐτοῦ ἐκταράττουσα, καὶ τοὺς πόδας ἐλαύνουσα πρὸς σκιρτήματα, πάντα κινοῦσα λίθον, ὅπως ἂν διαβιβάσας τοὺς ἑαυτοῦ παῖδας, οἷ ἀγάλλεται μάλιστα, εἰς τὸν Ἅδην διὰ τῆς Ἀχερουσίας λίμνης, μάθῃ οἷος μὲν ὁ τῆς Ἥρας, οἷος δὲ καὶ οὑμός ἐστι χόλος· εἰ μὴ γὰρ δοίη δίκην, θεοὶ μὲν οὐδέν εἰσι· τὰ δὲ τῶν θνητῶν μεγάλα.

ΛΥ. Γονέων μὲν εὐγεγῶν Οὐρανοῦ καὶ Νυκτὸς ἐγενόμην· τιμὰς δὲ κεκλήρομαι οὐχ οἵας ἀγαστὰς φανῆναι φίλοις, οὐδ' αὐτὴ ἥδομαι τούτοις προσιοῦσα· βουλοίμην δ' ἂν πρῶτον τῇ τε Ἥρᾳ, καὶ σοὶ ὦ Ἶρι, παραινέσαι, πρὶν ἰδεῖν σε ἐν τούτῳ σφαλομένην, ἣν πείθω λέγουσα· ὡς ὡνὴρ οὗτος ᾧ κελεύεις με ἐπελθεῖν οὕτως ἰταμῶς, ὁμολογουμένως ἄριστός ἐστι παρὰ πᾶσιν ἐπί τε γῆς κἀν τοῖς οὐρανοῖς, τήν τε γὰρ ξηρὰν καὶ ὑγρὰν, ἀβάτους τε καὶ ἀγρίους οὔσας τὸ πρότερον, ἐξημέρωσε, καὶ τὰς τῶν θεῶν τιμὰς αὐτὸς πρῶτος ἀνέστησεν, ὑπ' ἀνοσίων ἀνδρῶν πεσούσας· ὥστε συμβουλεύω ἀμφοτέραις μεγάλων οὕτως ἀπέχεσθαι κακῶν.

ΙΡ. Σύ γε μὴ νουθέτει, ὅτι ποτὲ δεῖ ἐμὲ καὶ τὴν Ἥραν μηχανᾶσθαι.

ΛΥ. Εἰς ὁδὸν εὐθεῖαν ἀντὶ τῆς σκολιᾶς εἰσάγω ὁδηγοῦσα.

ΙΡ. Ἀλλ' οὐ φιλοσοφήσουσαν τοιαῦθ' ἡ τοῦ Διὸς γυνὴ ἐξέπεμψέ σοι δεῦρο.

ΛΥ. Ἥλιον μαρτυρόμεσθα δρῶσ', ἃ δρᾷν οὐ βούλομαι.
Εἰ δὲ δή μ' Ἥρα θ' ὑπουργεῖν, σοί τ' ἀναγκαίως ἔχει,
Τάχος ἐπιῤῥοίβδην θ' ὁμαρτεῖν, ὡς κυνηγέτῃ κύνας,
Εἶμί γ'· οὔτε πόντος οὕτω κύμασι στένων λάβρος,
Οὔτε γῆς σεισμὸς, κεραυνοῦ τ' οἶστρος ὠδῖνας πνέων,
Οἷ' ἐγὼ σταδιοδραμοῦμαι στέρνον εἰς Ἡρακλέος,
Καὶ καταῤῥήξω μέλαθρα, καὶ δόμους ἐπεμβαλῶ,
Τέκν' ἀποτείνασα πρῶτον· ὁ δὲ κανὼν, οὐκ εἴσεται
Παῖδας, οὓς ἔτικτ', ἐναίρων, πρὶν ἂν ἐμὰς λύσσας ἀφῇ.
Ἢν ἰδού· καὶ δὴ τινάσσει κρᾶτα βαλβίδων ἄπο,
Καὶ διαστρόφους εἱλίσσει σῖγα γοργωποὺς κόρας.
Ἀμπνοὰς δ' οὐ σωφρονίζει, ταῦρος ὡς ἐς ἐμβολήν·
Δεινὰ μυκᾶται δὲ, Κῆρας ἀνακαλῶν τὰς Ταρτάρου.
Τάχα σ' ἐγὼ μᾶλλον χορεύσω καὶ καταυλήσω φόβῳ.
Στεῖχ' ἐς Οὔλυμπον πεδαίρουσ', Ἶρι, γενναῖον πόδα·
Ἐς δόμους δ' ἡμεῖς ἄφαντοι δυσόμεσθ' Ἡρακλέος.

ΧΟ. Ὀτοτοτοῖ! στέναξον· ἀποκείρεται
Σὸν ἄνθος, πόλις, ὁ Διὸς ἔκγονος.
Μέλεος Ἑλλὰς, ἃ τὸν εὐεργέταν
Ἀποβαλεῖς, ὀλεῖς μανίαισιν Λύσσας
Χορευθέντ' ἀναύλοις.
Βέβακεν ἐν δίφροισιν ἁ πολύστονος,
Ἅρμασι δ' ἐνδίδωσι κέντρον,
Ὡς ἐπὶ λώβᾳ, Νυκτὸς Γοργὼν

---

ἑνικόν πληθυντικῷ πρὸς τὸ σημαινόμενον. 849. Βαλβίδων ἄπο] δοκεῖ δὲ Ἡρακλῆς ἐνταῦθα ὁρᾶσθαι περὶ τὰ πρόθυρα καὶ τὰς βαλβίδας τῆς οἰκίας· ἢ αὐτοῦ τοῦ βωμοῦ. 860. Χορευθέντα ἀναύλοις] παραμούσοις, ἄνευ αὐλοῦ· ἐν ἄλλοις

ΛΥ. Οὐκοῦν μαρτύρομαι τὸ λαμπρὸν τοῦτο φῶς τοῦ ἡλίου, ὡς ἐγὼ μὲν ἄκουσα δρῶ, ἅπερ οὐκ ἂν βουλοίμην· εἰδὲ με δεῖ ὑπηρετεῖν Ἥρᾳ, καὶ σὺ ταχέως τε καὶ ῥύβδην ὑπακοῦσαι, ὡς κυνηγέτῃ κύνες, εἶμι· ἀλλὰ μήτε πόντος λαβροτάτοις κύμασι βρέμων, μήτε γῆς σεισμὸς, μήτε κεραυνοῦ πυροφόρου ὁρμὴ ποιήσειαν ἂν, οἷα ἐγὼ ἀγωνιοῦμαι, εἰς τὸ τοῦ Ἡρακλέους ἐμπεσοῦσα ςῆθος· τότε γὰρ ἀνάκτορα ταυτὶ διαῤῥήξω προσβαλοῦσα, καὶ τὰ ἑαυτοῦ τέκνα ποιήσω ἐκεῖνον ἀποκτεῖναι ἐν ἀγνοίᾳ· οὐ γὰρ εἴσεται παιδοκτόνος γεγενημένος, πρὶν ἂν τῆς ἐμῆς λύσσης ἀπαλλαγῇ· καὶ ὁρῶ μοι ἐκεῖνον νῦν, ὅπως ἀπὸ τῶν βαλβίδων αὐτῶν τήν τε κεφαλὴν τινάσσει, καὶ τὰ ὄμματα ὅλως παντοίως διαστρέφει, μὴ δυνάμενος κατέχειν τὸ ἆσθμα, ὥσπερ ταῦρος δεινὸς, ἐφορμῶν ἐπίτι· μυκᾶται δὲ δεινὰ ἀπὸ τοῦ Ταρτάρου ἀνακαλῶν τὰς κῆρας· ἀλλ' ἐγώ σε καταγοητεύσω αὐλεῖν σε καὶ χορεύειν τῷ φόβῳ μᾶλλον. Σὺ μὲν οὖν, ὦ Ἶρι, ἄπελθε ἐς οὐρανὸν ἀνιοῦσα· ἐγὼ δὲ καταδύσομαι ἀφανὴς εἰς τὸν τοῦ Ἡρακλέους οἶκον.

ΧΟ. Ὦ τῆς δυστυχίας, ὢ σχετλιωτάτης συμφορᾶς, στέναξον ὦ πόλις· ὁ γὰρ τοῦ Διὸς παῖς, τὸ σὸν ἄνθος, ἀποκείρεται ἤδη· δύστηνε Ἑλλὰς, οἷον ἀποβαλεῖς εὐεργέτην, ταῖς τῆς Λύσσης μανίαις ἐσωτερικῶς παρακινηθέντα. Λύσσα γὰρ ἡ πολύστονος, αὕτη δὴ ἡ ὀφιοπλόκαμος, καὶ μυριοκάρηνος Γοργὼν τῆς νυκτὸς, πῦρ

---

δὲ κεῖται, ἐναύλοις, οἷον βακχευθέντα ἐσωτερικῶς· καθάπερ οἱ χορεύοντες πρὸς αὐλὸν ἐξωτερικόν· οὕτω καὶ αὐτὸς ἔνδοθεν καταυλούμενος τῇ μανίᾳ, σκιρτᾷ

Ἑκατογκεφάλοις
Ὄφεων ἰαχήμασι, Λύσσα μαρμαρωπός.
Ταχὺ τὸν εὐτυχῆ μετέβαλεν δαίμων,
Ταχὺ δὲ πρὸς πατρὸς τέκν' ἐκπνεύσεται.
Ἰώ μοι μέλεος! ἰὼ Ζεῦ, τὸ σὸν
Γένος ἄγονον αὐτίκα
Λυσσάδες ὠμοβρῶτες ἀποινόδικοι δίκαι
Κακοῖσιν ἐκπατάσσουσιν.
Ἰὼ στέγαι!
Κατάρχεται χορεύματ' ἄτερ τυμπάνων,
Οὐ Βρομίῳ κεχαρισμένα θύρσῳ.
Ἰὼ δόμοι!
Πρὸς αἵματ', οὐχὶ τᾶς Διονυσιάδος
Ἐκ βοτρύων ἐπὶ χεύμασι λοιβᾶς.
Φυγῇ, τέκν', ἐξορμᾶτε· δάϊον τόδε,
Δάϊον μέλος ἐπαυλεῖται.
Κυναγετεῖ [τε] τέκνων διωγμόν.
Οὔποτ' ἄκραντα δόμοισι Λύσσα βακχεύσει.
Αἶ αἶ κακῶν!
Αἶ αἶ δῆτα τὸν γεραιὸν ὡς στένω
Πατέρα, τάν τε παιδοτρόφον, ᾇ μάταν
Τέκεα γεννᾶται.
Ἰδού! ἰδού!
Θύελλα σείει δῶμα, συμπίπτει στέγη·
Ἢ ἤ! τί δρᾷς, ὦ παῖ Διός; μελάθρῳ

---

παραπαίων. 865. Ὄφεων ἰαχήμασι] συρίγμασι τῶν ὄφεων, οὓς περὶ τὴν κε-

ὅλως βλέπουσα, ἐπέβη ἤδη τοῦ δίφρου, συχνῷ χρωμένη κέντρῳ, καὶ πολλοῖς συρίγμασιν ἐμβάλλει ἐπὶ βλάβῃ· ὡς τάχος τὴν τοῦ ἀνδρὸς εὐτυχίαν εἰς πᾶν τοὐναντίον μετέβαλεν ὁ δαίμων· τάθ' Ἡράκλεια τέκνα αὐτίκ' ἔσονται παρανάλωμα τῆς τοῦ πατρὸς μανίας· Ἰὼ Ζεῦ, τὸ σὸν γένος διάδοχον οὐχ ἕξει. Λύσσα γὰρ ἡ ὠμοτάτη, καὶ ποιναὶ τιμωροὶ μάστιγι δεινῇ αὐτὸ ἐξελαύνουσιν· ἰὼ στέγαι, ἤδη κατάρχεται χορὸς οὐχ ὑπὸ τυμπάνοις, οὐ τῷ βακχίῳ κεχαρισμένος θύρσῳ, οὐδ' ἐπὶ σπονδὰς οἰναρὰς Διονύσῳ, ἀλλὰ πρὸς αἷμα μᾶλλον Ἅδῃ καὶ Περσεφόνῃ· Ἀλλ' ὦ παῖδες, ὡς τάχος ἐξορμᾶτε τῆς οἰκίας· ὀλέθριον, ὀλέθριον μέλος τοῦτ' ἔνδον ἐπαυλεῖται, διωγμὸν τῶν παίδων ἐκσημαῖνον· οὐ γὰρ ἀπράκτως, οὐδὲ μάτην ἡ Λύσσα ἐξεβάκχευσεν εἴσω· Αἴ, αἴ τῶν κακῶν· φεῦ, φεῦ τῶν δεινῶν· θρηνῶ τόν τε γηραιὸν πατέρα, καὶ τὴν παιδοτρόφον μητέρα· μάτην ἄρ' ἔτεκε, μάτην ἔθρεψε τέκνα· ἰδού, ἰδοὺ θύελλα ῥαγδαίως ἐμπεσοῦσα, ἀνασείει ἐκβάθρων τὴν οἰκίαν· συμπίπτει ἡ στέγη· Ἅ, ἅ, τί δρᾷς, ὦ παῖ Διός; σεισμῷ φοβερῷ, ὥσπερ ἐκ Ταρτάρου, ἀνασείεις

φαλὴν φέρεις ὀφιοπλόκαμος οὖσα· τὸ δὲ μαρμαρωπὸς λέγεται, ὡς ἀπολιθοῦσα τοὺς θεωμένους μόνον τῇ θέᾳ· τοῦτο γὰρ τῆς Γοργοῦς. 871. Τυμπάνων ἄτερ] οὐχ ὥσπερ ἐν τοῖς Διονυσίοις χοροὶ συνίστανται ἐν Βάκχαις μετὰ τυμπάνων καὶ σπονδῶν· ἀλλὰ χορὸς ἄνευ τυμπάνων, καὶ μετὰ δακρύων.

ΔΗ

Τάραγμα ταρτάρειον, ὡς ἐπ'
Ἐγκελάδῳ ποτὲ Παλλὰς, εἰς δόμους πέμπεις.

ΑΓ. Ὦ λευκὰ γήρα σώματα.

ΧΟ. Ἀνακαλεῖς τίνα με τίνα βοάν;

ΑΓ. Ἄλαστα τὰν δόμοισι.

ΧΟ. Μάντιν οὐχ ἕτερον ἄξομαι.

ΑΓ. Τεθνᾶσι παῖδες· αἶ! αἶ!
Στενάζεθ', ὡς στενακτά· δάϊοι φόνοι,
Δάϊοι δὲ τοκέων χεῖρες.
Οὐκ ἄν τις εἴποι μᾶλλον, ἢ πεπόνθαμεν.

ΧΟ. Πῶς παισὶ στενακτὰν ἄταν, ἄτχν
Πατέρος ἀμφαίνεις;
Λέγε, τίνα τρόπον ἔσσυτο θεόθεν ἐπὶ
Μέλαθρα κακὰ τάδε, τλήμονάς
Τε παίδων τύχας.

---

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ, ΑΜΦΥΤΡΙΩΝ, ΗΡΑΚΛΗΣ.

ΑΓ. Ἱερὰ μὲν ἦν πάροιθεν ἐσχάρας Διὸς
Καθάρσι' οἴκων, γῆς ἄνακτ' ἐπεὶ κτανὼν,
Ἐξέβαλε τῶνδε δωμάτων Ἡρακλέης·
Χορὸς δὲ καλλίμορφος εἱστήκει τέκνων,

ἐφ' ἡμᾶς τὴν οἰκίαν, καθάπερ ἡ Παλλὰς ποτὲ ἐπ' Ἐγκέλαδον ὅλην Σικελίαν.

**ΑΓ.** Ὦ πολιαὶ σεβασμίων γερόντων.

**ΧΟ.** Πάρεσμεν· τίποτε βούλει ἡμῖν εἰπεῖν;

**ΑΓ.** Ἴστε πάντα τἄνδον δεινὰ ὄντα, καὶ μάντεως ἑτέρου πρὸς τοῦτ' οὐ χρεία· οἱ γὰρ παῖδες φροῦδοι·

**ΧΟ.** Αἶ, αἶ, αἶ, αἶ.

**ΑΓ.** Ἄξια γὰρ στενάζειν, ὀλέθριοι φόνοι, ὀλέθριοι χεῖρες τοῦ πατρὸς, ὥστ' οὐκ ἄντις εἴποι λόγῳ, ἣ πεπόνθαμεν ἔργῳ.

**ΧΟ.** Τίς ἂν εἴη ἡ τοῦ πατρὸς μανία αὕτη; τίς ἡ θεοβλάβεια αὕτη οὐρανόθεν αὐτῷ ἐπῆλθεν ἐπί τε τὸν οἶκον τοῦτον, καὶ τοὺς δυστήνους παῖδας;

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

## ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ, ΑΜΦΥΤΡΙΩΝ, ΗΡΑΚΛΗΣ.

**ΑΓ.** Ἐπειδὴ Ἡρακλῆς, ἀνελὼν τὸν ἄρχοντα τῆς χώρας ταύτης, ἐξέβαλε τοῦ οἴκου, θυσία ἐτελεῖτο ἐπὶ τῆς τοῦ Διὸς ἐσχάρας καθάρσιος· ὁ δὲ καλλίμορφος χορὸς τῶν

---

κελάδῳ] εἷς τῶν Γιγάντων οὗτος, ὃν ἐφόνευσεν Ἀθηνᾶ· περὶ οὗ φέρεται ἔπος τόδε.

» Εὖτε πάρος μεγάλοιο κατ' Ἐγκελάδοιο δαΐφρων
» Παλλὰς ἀειραμένη, Σικελὴν ἐπικάββαλε νῆσον·
» Ἡ δ' ἔτι καίεται αἰὲν ὑπ' ἀκαμάτοις Γίγαντος
» Αἰθαλόεν πνείοντος ἔσω χθονός . . . . .

Πατήρ τε, Μεγάρα τ'· ἐν κύκλῳ δ' ἤδη κανοῦν
Εἵλικτο βωμοῦ, φθέγμα δ' ὅσιον εἴχομεν.
Μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν,
Εἰς χέρνιβ' ὡς βάψειεν, Ἀλκμήνης τόκος,
Ἔστη σιωπῇ. καὶ χρονίζοντος πατρὸς,
Παῖδες προσέσχον ὄμμ'· ὁ δ' οὐκέθ' ωὑτὸς ἦν,
Ἀλλ' ἐν στροφαῖσιν ὀμμάτων ἐφθαρμένος,
Ῥίζας τ' ἐν ὄσσοις αἱματωποὺς ἐκβαλὼν,
Ἀφρὸν κατέσταζ' εὐτρίχου γενειάδος.
Ἔλεξε δ' ἅμα γέλωτι παραπεπληγμένῳ·
Πάτερ, τί θύω, πρὶν κτανεῖν Εὐρυσθέα,
Καθάρσιον πῦρ καὶ πόνους διπλοῦς ἔχων,
Ἐξὸν μιᾶς μοι χειρὸς εὖ θέσθαι τάδε;
Ὅταν δ' ἐνέγκω δεῦρο κρᾶτ' Εὐρυσθέως,
Ἐπὶ τοῖσι νῦν θανοῦσιν ἁγνιῶ χέρας.
Ἐκχεῖτε πηγὰς, ῥίπτετ' ἐκ χειρῶν κανᾶ.
Τίς μοι δίδωσι τόξα; τίς δ' ὅπλον χερός;
Πρός τὰς Μυκήνας εἶμι· λάζυσθαι χρεὼν
Μοχλοὺς, δικέλλας θ', ὡς τὰ Κυκλώπων βάθρα,
Φοίνικι κανόνι καὶ τύκοις ἡρμοσμένα,
Στρεπτῷ σιδήρῳ συντριαινώσω πόλιν.
Ἐκ τοῦδε βαίνων, ἅρματ' οὐκ ἔχων, ἔχειν
Ἔφασκε, δίφρου τ' εἰσέβαινεν ἄντυγα,
Κἄθεινε, κέντρῳ δῆθεν ὡς θένων χερί.
Διπλοῦς δ' ὀπαδοῖς ἦν γέλως, φόβος θ' ὁμοῦ·
Καί τις τόδ' εἶπεν, ἄλλος εἰς ἄλλον δρακών·

---

908. Ἐν κύκλῳ εἵλικτο κανοῦν] ἴδε Ἰφ. Ταύρ. στίχ. 1578. καὶ ἑξῆς.

παίδων, ἑστήκει μετὰ τοῦ πατρὸς καὶ τῆς μητρὸς Μεγάρας· ἡμεῖς δὲ, ἐπεὶ τὸ κανοῦν ἐφέρετο περὶ τὸν βωμὸν, ἐν εὐχαῖς καὶ εὐφημίαις ἦμεν· ὁ δὲ Παῖς Ἀλκμήνης, ὁρμῶν ἤδη λαβεῖν δαλὸν ἐκ τοῦ βωμοῦ, ὡς ἐμβάψειεν αὐτὸν εἰς τὴν χέρνιβα, αἴφνης ἔστη σιωπῶν· οἱ δὲ παῖδες, ὁρῶντες τὸν πατέρα διαμέλλοντα, διηπόρουν πρὸς ἀλλήλους· ὁ δὲ οὐκέθ' ὁ αὐτὸς ἦν· ἀλλὰ τάτ' ὄμματα διάστροφα ἐσχηκὼς, καὶ τὰς ἐν αὐτοῖς ἶνας προϊεὶς αἱματώδεις, ἀφρὸν ἠφίει πολὺν κατὰ τοῦ γενείου· κᾀν τούτῳ παραπεπληγμένον γελάσας τι, ἐφθέγξατο τοιάδε, πάτερ, τί με δεῖ θύειν καθαρσίων, καὶ πόνους διπλοῦς ἔχειν, πρὶν ἀνελεῖν καὶ Εὐρυσθέα, ἐξὸν ἐκ μιᾶς σπουδῆς εὖ θέσθαι ταῦτα; ἐνεγκὼν γὰρ κᾀκείνου τὴν κεφαλὴν, ἐπ' ἀμφοῖν τοῖν νεκροῖν καθαριῶ τὰς χεῖρας· ἐκχεῖτε τοίνυν χέρνιβα, κατάθετε τὰ κανᾶ, δότω μοί τις τὰ τόξα· δότω τὸ ῥόπαλον ἐν χειρί· εἶμι ἐς τὰς Μυκήνας· δεῖ δ' οὖν προσλαβεῖν μοχλούς τε καὶ δικέλλας, ὡς ἂν τῇ τῶν σιδήρων τούτων ςροφῇ καὶ ἀναμοχλεύσει, ἀνασκάψαιμι τὰ τῶν Κυκλώπων τείχη, ταῦτα δὴ τὰ στάθμῃ καὶ σφύρᾳ ἡρμοσμένα· ἐκ δὴ τούτων βαίνων, ἐπὶ δίφρου βαίνειν ἔλεγε, δίφρον μὴ ἔχων ὅλως· καὶ ἐμάςιζε τῇ χειρὶ, ὡς δῆθεν πλήττων κέντρῳ· ἐξ ὧν διπλοῦν τι πάθος ἦν τοῖς ὑπηρέταις γέλως ἅμα καὶ φόβος· καίτις εἰς ἄλλον ἰδὼν, ἔφη· τί

---

910. Δαλὸν] εἴθιζον λαμβάνειν δαλὸν ἡμμένον ἀπὸ τοῦ βωμοῦ, ἐν ᾧ ἔθυον, καὶ ἀποσβεννύντες αὐτὸν εἰς ὕδωρ, ἐκαθαίροντο τούτῳ χερνιβόμενοι.

Παίζει πρὸς ἡμᾶς δεσπότης, ἢ μαίνεται;
Ὁ δ' εἷρπ' ἄνω τε καὶ κάτω κατὰ στέγας,
Μέσον δ' ἐς ἀνδρῶν' ἐσπεσὼν, Νίσου πόλιν
Ἥκειν ἔφασκε, δωμάτων εἴσω βεβώς.
Κλιθεὶς δ' ἐς οὖδας, ὡς ἐκεῖ, σκευάζεται
Θοίνην. διελθὼν δ' ἐς βραχὺν χρόνον μονῆς,
Ἰσθμοῦ ναπαίας ἔλεγε προσβαίνειν πλάκας·
Κἀνταῦθα γυμνὸν σῶμα θεὶς πορπαμάτων,
Πρὸς οὐδέν' ἡμιλλᾶτο, κἀκηρύσσετο.
Αὐτὸς πρὸς αὑτοῦ καλλίνικος, οὐδενὸς
Ἀκοὴν ὑπειπών. δεινὰ δ' Εὐρυσθεῖ βρέμων,
Ἦν ἐν Μυκήναις τῷ λόγῳ· πατὴρ δέ νιν
Θιγὼν κραταιᾶς χειρὸς, ἐννέπει τάδε·
Ὦ παῖ, τί πάσχεις; τίς ὁ τρόπος ξενώσεως
Τῆσδ'; οὔτι που φόνος σ' ἐβάκχευσεν νεκρῶν,
Οὓς ἄρτι καίνεις; ὁ δέ νιν Εὐρυσθέως δοκῶν
Πατέρα προταρβοῦνθ' ἱκέσιον ψαύειν χερὸς,
Ὠθεῖ, φαρέτραν δ' εὐτρεπῆ σκευάζεται,
Καὶ τόξ' ἑαυτοῦ παισὶ, τοὺς Εὐρυσθέως
Δοκῶν φονεύειν. οἱ δὲ ταρβοῦντες φόβῳ,
Ὤρουον ἄλλος ἄλλοσ', ἐς πέπλους ὁ μὲν
Μητρὸς ταλαίνης, ὁ δ' ὑπὸ κίονος σκιὰν,
Ἄλλος δὲ βωμὸν, ὄρνις ὡς, ἔπτηξ' ὕπο.
Βοᾷ δὲ μήτηρ· ὦ τεκὼν, τί δρᾷς; τέκνα
Κτείνεις; βοᾷ δὲ πρέσβυς οἰκετῶν τ' ὄχλος.
Ὁ δ' ἐξελίσσων παῖδα κίονος κύκλῳ,

936. Νίσου πόλιν] τὰ Μέγαρα· οὕτω Στράβων (βιβλ. 9.) Καὶ τῆς Ἀττικῆς

τοῦθ᾿ ὁρῶμεν; πότερον παίζει πρὸς ἡμᾶς, ἢ μαίνεται ὁ δεσπότης; ὁ δὲ ἔθει ἄνω τε καὶ κάτω, δῶμ᾿ ἐκ δώματος ἀμείβων, κἀπειδὴ εἰσέπεσεν ἐς μέσον τὸν ἀνδρῶνα, ἔφη εἰσελθεῖν εἰς τὴν τοῦ Νίσου πόλιν· ἔνθα κατακλιθεὶς εἰς τοὔδαφος, παρεσκευάζετο δεῖπνον, ὡς δῆθεν ἐκεῖ ὤν· κἀκ τούτου μετ᾿ ὀλίγον τὰς τοῦ ἰσθμοῦ αὖθις ἔφη προσβαίνειν ἀποῤῥῶγας· κἀνταῦθ᾿ ἀποσεισάμενος τὴν χλαμύδα, ἠγωνίζετο μὲν πρὸς οὐδένα· ἐκηρύσσετο δὲ καλλίνικος αὐτὸς ὑφ᾿ ἑαυτοῦ, οὐδενὸς μὲν ὡς νικηθέντος ὄνομα κατειπὼν, δεινὰ δ᾿ ἀπειλῶν Εὐρυσθεῖ, ἐν Μυκήναις, ἐξ ὧν ἔλεγεν, ἐδόκει εἶναι. Ὁ οὖν δύστηνος πατὴρ, προσιὼν αὐτῷ, καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς, ἔφη τάδε. ὦ παῖ, τί ποτε μαθὼν, εἰς τοῦτ᾿ αἴφνης προήχθης μεταβολῆς; μῶν ὁ φόνος τῶν νεκρῶν, οὓς ἀρτίως τυγχάνεις ἀνῃρηκὼς, ἔτρεψέ σε εἰς μανίαν; ὁ δὲ τὸν Εὐρυσθέως πατέρα δοκῶν, ἁψάμενον αὐτοῦ τῆς χειρὸς ἱκετεύειν, ἐξέωσε· τήντε φαρέτραν εὐτρεπίσας, διηγκύλισε τὸ τόξον ἐπὶ τοὺς ἑαυτοῦ παῖδας, τοὺς τοῦ Εὐρυσθέως δοκῶν ἀποκτείνειν· οἱ δὲ θορυβούμενοι, ἄλλος ἄλλοσε ἔσπευδε καταδύεσθαι· ὁ μὲν, ὑπὸ τοῖς πέπλοις τῆς μητρός· ὁ δὲ ὄπισθεν τοῦ κίονος· ἕτερος δὲ κατέπτηξεν ὑπὸ τὸν βωμὸν, ὥσπερ ὄρνις· κἀνταῦθα βοᾷ ἡ μήτηρ. τί ποιεῖς αὐτός; τὰ σαυτοῦ τέκνα κτείνεις; βοᾷ δὲ καὶ ὁ πρέσβυς, καὶ ὁ ὄχλος τῶν οἰκετῶν· ἀλλ᾿ ἐκεῖνος οὐδὲν ἧσσον περιελθὼν τὸν

---

εἰς τέσσαρα μέρη διαιρεθείσης, ὁ Νῖσος τὴν Μεγαρίδα λάχοι· παρὰ δὲ Θουκυ-

Τόρευμα δεινὸν ποδὸς, ἐναντίον σταθεὶς,
Βάλλει πρὸς ἧπαρ· ὕπτιος δὲ λαΐνους
Ὀρθοστάτας ἔδευσεν, ἐκπνέων βίον.
Ὁ δ' ἠλάλαξε κἀπεκόμπασεν τάδε·
Εἷς μὲν νεοσσὸς ὅδε θανὼν Εὐρυσθέως,
Ἔχθραν πατρῴαν ἐκτίνων, πέπτωκέ μοι.
Ἄλλῳ δ' ἐπεῖχε τόξ', ὃς ἀμφὶ βωμίαν
Ἔπτηξε κρηπῖδ', ὡς λεληθέναι δοκῶν.
Φθάνει δ' ὁ τλήμων γόνασι προσπεσὼν πατρὸς,
Καὶ πρὸς γένειον χεῖρα καὶ δέρην βαλὼν,
Ὦ φίλτατ', αὐδᾷ, μή μ' ἀποκτείνῃς, πάτερ.
Σός εἰμι, σὸς παῖς· οὐ τὸν Εὐρυσθέως ὀλεῖς.
Ὁ δ' ἀγριωπὸν ὄμμα Γοργόνος στρέφων,
Ὡς ἐντὸς ἔστη παῖς λυγροῦ τοξεύματος,
Μυδροκτύπον μίμημ' ὑπὲρ κάρα βαλὼν,
Ξύλον καθῆκε παιδὸς ἐς ξανθὸν κάρα,
Ἔρρηξε δ' ὀστᾶ· δεύτερον δὲ παῖδ' ἑλὼν,
Χωρεῖ τρίτον θῦμ' ὡς ἐπισφάξων δυοῖν.
Ἀλλὰ φθάνει νιν ἡ τάλαιν' εἴσω δόμων
Μήτηρ ὑπεκλαβοῦσα, καὶ κλῄει πύλας.
Ὁ δ' ὡς ἐπ' αὐτοῖς δὴ Κυκλωπείοισιν ὢν,
Σκάπτει, μοχλεύει θύρετρα, κἀκβαλὼν σταθμὰ,
Δάμαρτα καὶ παῖδ' ἑνὶ κατέστρωσεν βέλει.
Κἀνθένδε πρὸς γέροντος ἱππεύει φόνον.
Ἀλλ' ἦλθεν εἰκὼν, ὡς ὁρᾷν ἐφαίνετο,

---

δίδῃ, ὁ λιμὴν Μεγάρων Νίσαια. 960. Τόρευμα] χόρευμα ἔδοξέ τισι γράφειν· δηλοῖ δὲ, οἶμαι, ὡς μεταδιώκων τὸν παῖδα περὶ τὸν κίονα, αἴφνης ἐξ ἀντιρ-

κίονα εὐςρόχῳ ποδὶ, καὶ βαλὼν τὸν παῖδα εἰς τὸ ἧπαρ, ἀπέκτεινεν· ὁ δὲ ἐκπνέων, κατήρδευσε τὸν κίονα τῷ ἐξ ἑαυτοῦ καταῤῥέοντι αἵματι· ὁ δὲ δύςηνος φονεὺς, ἠλάλαξε, κομπάσας ταῦτα· ἰδοὺ εἷς τῶν Εὐρυσθέως νεοσσῶν, δίκην πατρῴαν μοι δοὺς, κεῖται ὧδε. Ἐκ δ' αὖ τούτου ἐπ' ἄλλον εὐθὺς ἐπιτείνει τὸ τόξον, τὸν ὑπὸ τῷ βωμῷ καταπτήξαντα, ὃς τόγε πρῶτον οἰόμενος λανθάνειν, ὡς εἶδε τὸ τόξον ἐφ' ἑαυτὸν διηγκυλισμένον, ἔφθη τοῖς αὐτοῦ προσπεσὼν γόνασι, καὶ ἐκτείνας τὴν χεῖρα πρὸς τὸ γένειον, φίλτατε, ἔφη, πάτερ, μή με ἀποκτείνῃς τὸν γὰρ σαυτοῦ, οὐ τὸν Εὐρυσθέως παῖδα ἔσῃ ἀπεκτονώς· ὁ δὲ Γοργόνειον ὅλως πῦρ βλέπων, ὡς εἶδεν αὐτὸν τὸ τόξον ὑποδεδραμηκότα, ἄρας τὸ ρόπαλον ὑψοῦ, καὶ καθεὶς αὐτὸ κατὰ τῆς κεφαλῆς, καθάπερ χαλκεὺς τὸν ραιστὸν, διέῤῥηξεν αὐτῷ τὸ κρανίον. Ἐκ δ' αὖ τούτου χωρεῖ ἐπὶ τὸν τρίτον., ὅπως καὶ τοῦτον προσθῇ τοῖς δισίν· ἀλλ' ἡ μήτηρ, ἡ τάλαινα μήτηρ, φθάσα συναρπάσασα αὐτὸν εἰς ἕτερον δῶμα, ἀπέκλεισε τὰς θύρας· ὁ δὲ δοκῶν ἤδη ὑπὸ τὰ τῶν Κυκλώπων τείχη προσκαθέζεσθαι, ὑποσκάπτων, ἀναμοχλεύων, ἐκβαλὼν τέλος τὰ ςαθμὰ, τῷ αὐτῷ βέλει ἀμφοτέρους, τήν τε μητέρα καὶ τὸν παῖδα διήλασεν· Ἀπὸ δὲ τούτου αὖθις ἵησιν ὁμόσε ἐπὶ τὸν γέροντα· ἀλλ' Α-

---

ρόπου βήματος στραφεὶς ἐκ θατέρου, ἀπήντησεν αὐτὸν κατὰ πρόσωπον.

974. Μυδροκτύπων μίμημα] οὕτως ἔβαλεν αὐτὸν τῷ ροπάλῳ κατὰ κόῤῥης, ὥσπερ χαλκεὺς τὸν σίδηρον τῷ ραιστῷ ἐπ' ἄκμονος· μύδρος γὰρ σίδηρος ἐςὶ

Παλλὰς κραδαίνουσ' ἔγχος ἐπίλογχον χειρὶ
Κἄῤῥιψε πέτρον στέρνον εἰς Ἡρακλέους,
Ὅς νιν φόνου μαργῶντος ἔσχε, κεἰς ὕπνον
Καθῆκε· πιτνεῖ δ' ἐς πέδον, πρὸς κίονα
Νῶτον πατάξας, ὃς πεσήμασι στέγης
Διχοῤῥαγὴς ἔκειτο κρηπίδων ἔπι.
Ἡμεῖς δ' ἐλευθεροῦντες ἐκ δρασμῶν πόδα,
Σὺν τῷ γέροντι δεσμὰ σειραίων βρόχῳ
Ἀνήπτομεν πρὸς κίον'· ὡς, λήξας ὕπνου,
Μηδὲν προσεργάσαιτο τοῖς δεδραμένοις.
Εὕδει δ' ὁ τλήμων ὕπνον οὐκ εὐδαίμονα,
Παῖδας φονεύσας καὶ δάμαρτ'· ἐγὼ μὲν οὖν
Οὐκ οἶδα, θνητῶν ὅστις ἀθλιώτερος.

ΧΟ. Ὁ φόνος ἦν, ὃν Ἀργολὶς ἔχει πάτρα,
Τότε μὲν περισαμότατος καὶ ἄριστος,
Ἑλλάδι τῶν [τοῦ] Δαναοῦ παίδων.
Τὰ δ' ὑπερέβαλε, παρέδραμε τὰ τότε κακά.
Τάλανι διογενεῖ κόρῳ μονοτέκνου Πρόκνης
Φόνον ἔχω λέξαι θυόμενον Μούσαις.
Σὺ δὲ τέκνα τρίγονα τεκόμενος, ὦ δάϊε,
Λυσσάδι συγκατειργάσω μοίρᾳ,
Ἐς τίνα στεναγμὸν,
Ἢ γόον, ἢ φθιτῶν ᾠδὰν, ἢ τὸν Ἅ-
Δα χορὸν ἰαχήσω;

---

πεπυρακτωμένος. 985. Ἔγχος ἐπίλογχον χειρὶ] οὕτως ἔγραψα ἐξ ἑτέρας ἐκδόσεως, ἀντὶ τοῦ Ἔγχος ἐπὶ λόφῳ κέαρ. ἴδε δὲ Ἱππόλ. 223. 992. Σειραίων βρόχῳ] ἐν ἄλλοις σειρεύων, οὐ καλῶς· τὸ δὲ Ἐλευθεροῦντες ἐκ δρασμῶν πό-

θηνᾶς εἰκὼν προφανεῖσα, τό,τε δόρυ ἐπίλογχον πάλλουσα, λίθον ἐπὶ τὸ τοῦ Ἡρακλέους ἔβαλε ςῆθος· ὃ ἐπέσχεν αὐτὸν τοῦ φονεύειν, καὶ εἰς ὕπνον ἐνέβαλεν. Οὕτω δὴ καταπίπτει ὁ ἄθλιος Ἥρως ἐπὶ τοῦ κίονος, ὃς καταπεσούσης τῆς ςέγης, ἔκειτ' αὐτόθι διεῤῥωγὼς, ἐπερείσας τὰ νῶτα· ἡμεῖς δ' ἀπαλλαγέντες τοῦ φόβου ἤδη, δι' ὃν ἦμεν ἄλλος ἄλλῃ ἀποδεδρακότες, ἐπανελθόντες σὺν τῷ γέροντι, συνεδήσαμεν αὐτὸν δεσμοῖς, ὥσπερ βρόχῳ, πρὸς τῷ κίονι, ἵνα μὴ διϋπνισθεὶς καὶ ἕτερα προσεργάσηται. Οὕτως οὖν ὁ τλήμων τλήμονα ὑπνώττει ὕπνον, τούς τε παῖδας καὶ τὴν αὐτῶν ἀποκτείνας γυναῖκα· καὶ οὐκ ἔσθ' ὅςτις τῶν θνητῶν παρά γ' ἐμοὶ κριτῇ ἀθλιώτερος ἐκείνου.

ΧΟ. Μέγας μὲν καὶ ἐπίσημος ἦν ἀνὰ πᾶσαν τὴν Ἑλλάδα· καὶ ὁ ἐν Ἀργολίδι τῶν Δαναΐδων φόνος· μείζων δὲ οὗτος, ὑπερβαλὼν καὶ τὸ τοῦ Ἴτυος πάθος τοῦ Διογενοῦς καὶ μονογενοῦς παιδὸς τῆς Πρόκνης· τούτου γὰρ ὁ φόνος ἀποδοτέος ἂν εἴη ταῖς Μούσαις· σύ δ', ὦ σχέτλια, τρεῖς γεινάμενος παῖδας, δεινῇ λύσσῃ γενόμενος κάτοχος, διεχρήσω· εἰς τίνα τοίνυν θρῆνον, ἢ ᾠδὴν ἀνθρώπων ἀποβλέψω; ἢ τὸν τοῦ ᾅδου χορὸν ἐπάσω; φεῦ, φεῦ, ἴδετε τὰ κλεῖθρα ταῦτα τῶν ὑψι-

---

δα, πραϋσάμεναι φεύγοντες βούλεται λέγειν. 999. Ἄριστος] ἐπίσημος· περὶ δὲ τῶν Δαναΐδων ἴδε Φοίνισ. στίχ. 1870.—1002. Τάλαν!] τὸν Ἴτυν ἐννοεῖ τὸν παῖδα τῆς κόρης. ἴδε Ἑλέν. στίχ. 1119.—1003. Θυόμενον Μούσαις] ἀφοσιούμενον ταῖς Μούσαις διὰ τὸ τὴν Πρόκνην εἰς ἀηδόνα μελῳδὸν μεταβαλέσθαι, καὶ τὴν Φιλομήλην εἰς χελιδόνα· μουσικὰ γὰρ ἄμφω τὰ πτηνὰ ταῦτα.

Φεῦ φεῦ!
Ἴδεσθε, διάνδιχα κλῇθρα κλίνεται
Ὑψιπύλων δόμων.
Ὤ μοι!
Ἴδεσθε τὰ τέκνα πρὸ πατρὸς ἄθλια
Κείμενα δυστάνου,
Εὕδοντος ὕπνον δεινὸν ἐκποδὼν φόνου.
Περὶ δὲ δεσμὰ καὶ πολύβροχ' ἀμμάτων
Ἐρείσμαθ' Ἡράκλειον ἀμφὶ δέμας, τὰ δὲ λα-
ΐνοις ἀνημμέν' ἀμφὶ κίοσιν οἴκων.
Ὁ δ', ὥς τις ὄρνις, ἄπτερον καταστένων
Ὠδῖνα τέκνων, πρέσβυς ὑστέρῳ ποδὶ,
Πικρὰν διώκων ἤλυσίν, πάρεσθ' ὅδε.

ΑΜ. Καδμεῖοι γέροντες, οὐ σῖγα, σῖ-
Γα τὸν ὕπνῳ παρειμένον ἐάσετ' ἐκ-
Λαθέσθαι κακῶν;

ΧΟ. Κατά σε δακρύοις στένω, πρέσβυ, καὶ
Τέκεα καὶ τὸ καλλίνικον κάρα.

ΑΜ. Ἑκαστέρω πρόβατε, μὴ κτυπεῖτε, μὴ
Βοᾶτε, μὴ τὸν εὖ διαύοντα, ὑπνώδεάτ',
Εὐνᾶς ἐγείρετε.

ΧΟ. Οἴμοι!
Φόνος ὅσος ὅδ'!

ΑΜ. ἆ ἆ! διά μ' ὀλεῖτε· κεχυ-
Μένος ἐπαντέλλει.
Οὐκ ἀτρεμαία θρῆνον αἰάξετ', ὦ γέροντες;
Μὴ δέσμ' ἀνεγειρόμενος χαλάσας, ἀπολεῖ πόλιν,
Ἀπὸ δὲ πατέρα, μέλαθρά τε καταράξῃ;

ΧΟ. Ἀδύνατ' ἀδύνατά μοι.

ΑΜ. Σῖγα· πνοὰς μάθω· φέρε πρὸς οὖς βάλω.

ΧΟ. Εὕδει;

στύλων οἴκων ἐγκαρσίως κεκλιμένα· ἰώ μοι! ἴδετε τοὺς ἀθλιωτάτους παῖδας τουτουσὶ πρὸ τοῦ πατρὸς κειμένους, ἀθλίως ὑπνώττοντος παρὰ τὸν φόνον· ὃν δεσμὰ συνέχει πανταχόθεν ἐκ κιόνων ἠρτημένα· ὁ δὲ πρέσβυς οὗτος θρηνῶν τοὺς παῖδας, ὥσπερ ὄρνις νεοσσοὺς, μόλις βραδεῖ ποδὶ πικρῶς προβαίνει δεῦρο.

ΑΜ. Καδμεῖοι γέροντες, οὐ σιγῶντες ἐάσετε τὸν ὑπνώττοντα τῶν κακῶν ἐπιλησθῆναι;

ΧΟ. Ἀλγῶ ἐπὶ σοὶ, ὦ γέρον, καὶ τοῖς τέκνοις, καὶ Ἡρακλεῖ τῷ καλλινίκῳ.

ΑΜ. Πρόβητε μικρὸν προσωτέρω· μὴ κτυπεῖτε, μὴ βοᾶτε, ἵνα μὴ τὸν κοιμώμενον καλῶς διϋπνίσητε.

ΧΟ. Οἴμοι, ὅσος, καὶ οἷος φόνος ὧδε.

ΑΜ. Αἶ, αἶ, ἀπολέσετέ με· ἰδοὺ κεχυμένος ἐγείρεται· τίδ' οὐκ ἀτρέμας θρηνεῖτε, ὦ βέλτιστοι, ἵνα μὴ ἐγερθεὶς, τό,τε δῶμα ἅμα καταταράξῃ, καὶ τὴν πόλιν σὺν τῷ πατρὶ προσαπολέσῃ;

ΧΟ. Ἀδύνατά μοι δοκεῖ ταῦτ' ἀδύνατα.

ΑΜ. Ἔχ ἡσύχως, ἵνα προσενεγκὼν τὸ οὖς εἰδῶ, εἰ ὑπνεῖ.

ΧΟ. Καθεύδει;

---

1021. Ἤλυσιν] ἔλευσιν· οὕτω καὶ ἐν Ἑκάβῃ, ἐν Προλόγω. 1028. Τὸν εὖ διαύοντα] ἐν ἄλλοις, τὸν εὖ διϊαύοντα· τὸν ἀναγκαίως ἡμῖν κοιμώμενον. 1031. Διάμ' ὀλεῖτε]

ΑΜ. Ναὶ, εὕδει ὕπνον ὀλόμενον, ὅς ἔ-
Καν' ἄλοχον, ἔκανε δὲ τέκεα, τοξήρει
Ψαλμῷ τοξεύσας.
ΧΟ. Στέναζε νῦν—
ΑΛ. Στενάζω.
ΧΟ. Τέκνων ὄλεθρον,
ΑΛ. Ἰώ μοι!
ΧΟ. Σέθεν τε παιδός.
ΑΜ. Αἶ αἶ!
ΧΟ. Ὦ πρέσβυ—
ΑΜ. Σῖγα, σῖγα.
Παλίντροπος ἐξεγειρόμενος στρέφεται· φέρε,
Ἀπόκρυφον δέμας ὑπὸ μέλαθρον κρύψω.
ΧΟ. Θάρσει· νὺξ ἔχει βλέφαρα παιδὶ σῷ.
ΑΛ. Ὁρᾶθ', ὁρᾶτε.
Τὸ μὲν φάος ἐκλιπεῖν ἐπὶ κακοῖσιν οὐ
Φεύγω τάλας· ἀλλ' εἴ με κανεῖ πατέρ' ὄντα,
Πρός τε κακοῖς κακὰ μήσεται,
Πρὸς Ἐριννύσι θ' αἷμα σύγγονον ἕξει.
ΧΟ. Τότε θανεῖν σ' ἐχρῆν, ὅτε δάμαρτι σᾷ
Φόνον ὁμοσπόρων ἔμελλες ἐκπράξειν,
Ταφίων περίκλυστον ἄστυ πέρσας.
ΑΛ. Φυγᾷ, γέροντες, ἀποπρὸ δωμάτων
Διώκετε, φεύγετε μάρ-
Γον ἄνδρ' ἐπεγειρόμενον.
Τάχα φόνον ἕτερον ἐπὶ φόνῳ βαλὼν,
Ἀναβακχεύσει Καδμείων πόλιν.

ΑΜ. Ναὶ καθεύδει ὕπνον ὀλέθριον, τήντε γυναῖκα καὶ τὰ τέκνα διελάσας τοῖς τόξοις.

ΧΟ. Οὐκοῦν στέναζε νῦν.

ΑΜ. Στενάζω τὸν ὄλεθρον τῶν παίδων.

ΧΟ. Ἰώ μοι σοῦ τε καὶ τοῦ σοῦ παιδὸς ἕνεκα, αἴ, αἴ, γέρον.

ΑΜ. Σίγα, σιγᾶτε, ἰδοὺ στέφεται πάλιν· οἴμοι, πῆ τοῦ δώματος καταδὺς πτήξω, τάλας;

ΧΟ. Θάῤῥει· σκότος γὰρ τὰ ὄμματα ἐκείνου περικαλύπτει.

ΑΜ. Ἴστε γὰρ ὑμεῖς, ὡς ἐν τοσούτοις καὶ τηλικούτοις κακοῖς οὐκ ἀπαξιῶ ἀπαλλαγῆναι τοῦ βίου· ἀλλ' εἰ φονεύσει με, αὐτὸς θ' ἑαυτῷ κακὰ προσεπιθήσει, καὶ παρὰ ταῖς Ἐριννύσιν οὐκ ἀθῶος ἔσται.

ΧΟ. Ἀλλ' ἔδεισε ἀποθανεῖν, ἡνίκ' ἤμελλες ἐπεξιέναι τῷ τῶν ἀδελφῶν τῆς σαυτοῦ γυναικὸς φόνῳ, τὴν τῶν Ταφίων περίῤῥυτον πόλιν ἐξελών.

ΑΜ. Ἐκ ποδῶν γέροντες, φυγῇ, φυγῇ· πρόσω τῆς οἰκίας χωρεῖτε· φεύγετε λυσσώδη ἄνδρα ἐπεγειρόμενον ἤδη· δέος γὰρ, μὴ φόνον ἐπὶ φόνοις προσθεὶς, ἀνατρέψῃ τὴν πόλιν τῶν Καδμείων.

---

ἐν ἄλλοις, διαμολεῖτε. 1042. Τέκνων ὄλεθρον Σέθεν] διαφόρως ἐν ἄλλοις τὰ πρόσωπα παριστῶσι ὡς καὶ παρέφρασται. 1055 Ταφίων] Τάφιοι καὶ Τηλεβόαι ϛρατεύσαντες ἐπὶ τὰς τοῦ Ἠλεκτρύωνος βοῦς, ἀνεῖλον τοὺς αὐτοῦ παῖδας, ἀδελφοὺς δὲ τῆς Αλκμήνης, τῶν θρεμμάτων ὑπερασπιζομένους· ὁ δὲ πατὴρ ἀχθεσθεὶς, τὸν Ἀλκμήνης γάμον ἐκήρυξε γαμεῖσθαι τῷ θέλοντι διεκδικεῖσαι τὸν θάνατον τῶν παίδων αὐτοῦ· ὁ δὲ Ἀμφιτρύων ἐπιστρατεύσας, ἀνεῖλεν αὐτούς· καὶ Τάφον τὴν νῆσον εἶλε πρὶν τῇ Ἀλκμήνῃ συνελθεῖν· Νῆσον δὲ λέγω. Τάφος γὰρ, ἣν εἶχον οἱ Τάφιοι καὶ Τηλεβόαι, ληΐστορες ἄνδρες, ὡς Ὅμηρος αὐτοὺς καλεῖ, νῆσος ἦν μία τῶν Ἐχινάδων τῶν πρὸς τῷ Ἀχελώῳ· ὅθεν ὀρθῶς Εὐριπίδης αὐτὴν καλεῖ Ταφίων περίκλυστον

ΧΟ. Ὦ Ζεῦ, τί παῖδ' ἤχθηρας ὧδ' ὑπερκότως
Τὸν σὸν, κακῶν δὲ πέλαγος ἐς τόδ' ἤγαγες;
ΗΡ. (Ἔα.) Ἔμπνους μέν εἰμι καὶ δέδορχ', ἅπερ με δεῖ,
Αἰθέρα τε καὶ γῆν τόξα θ' ἡλίου τάδε·
Ὡς δ' ἐν κλύδωνι καὶ φρενῶν ταράγματι
Πέπτωκα δεινῷ, καὶ πνοὰς θερμὰς πνέω,
Μετάρσι', οὐ βέβαια, πνευμόνων ἄπο.
Ἰδοὺ, τὶ δεσμοῖς, ναῦς ὅπως, ὡρμισμένος,
Νεανίαν θώρακα καὶ βραχίονα
Πρόσειμι θραυστῷ λαΐνῳ τειχίσματι;
Ἦ μὴν νεκροῖσι γείτονας θάκους ἔχω,
Πτερωτά τ' ἔγχη τόξα τ' ἔσπαρται πέδῳ,
Ἃ πρὶν παρασπίζοντ' ἐμοῖς βραχίοσιν
Ἔσωζε πλευρὰς, ἐξ ἐμοῦ τ' ἐσώζετο.
Ἤπου κατῆλθον αὖθις εἰς Ἅδου πάλιν
Εὐρυσθέως δίαυλον εἰς Ἅδου μολών;
Ἀλλ' οὔτε Σισύφειον εἰσορῶ πέτρον
Πλούτωνά τ', οὐδὲ σκῆπτρα Δήμητρος κόρης.
Ἔκ τοι πέπληγμαι· ποῦ ποτ' ὢν ἀμηχανῶ;
Ὠή! τὶς ἐγγὺς, ἢ πρόσω φίλων ἐμῶν,
Δύσγνοιαν ὅστις τὴν ἐμὴν ἰάσεται;
Σαφῶς γὰρ οὐδὲν οἶδα τῶν εἰωθότων.
ΑΜ. Γέροντες, ἔλθω τῶν ἐμῶν κακῶν πέλας;
ΧΟ. Κἄγωγε σὺν σοὶ, μὴ προδοὺς τὰς συμφοράς.

---

ἄστυ, οἷα δὴ νησαῖον· Σχολιαστής. 1077. Σισύφειον πέτρον] Σίσυφος λῃστὴς ὢν καὶ κακοῦργος, κατεδικάσθη ἐν ᾅδου λίθον ὑπερμεγέθη ἀνακυλίσαι εἰς ὄρος

ΧΟ. Ὦ Ζεῦ, τί ποτε παθὼν, οὕτω τὸν σαυτοῦ ἤχθηρας παῖδα, ἐς τοσοῦτον πλῆθος κακῶν ἐμβαλών;

ΗΡ. Ἔα, ἐγὼ μὲν ζῶν εἰμι, καὶ ὁρῶ πάνθ' ἅ με δεῖ ὁρᾷν, οὐρανόν τε ἄνω, καὶ γῆν κάτω, καὶ τὰς ἀκτῖνας ταύτας τοῦ ἡλίου· ὡς κλύδωνι μέντοι δεινῷ, καὶ ταραχῇ φρενῶν αἰσθάνομαι περιπεπτωκὼς, πνεῦμα βίαιον καὶ μετάρσιον ἀφιεὶς ἀπὸ τῶν πνευμόνων, οὔτι βέβαιον, οὐδὲ ἥσυχον· τί γὰρ βούλονταί μοι τὰ δεσμὰ ταῦτα, οἷς, ὥσπερ ναῦς ἐν λιμένι ἡμμένη τῶν πεισμάτων πρὸς τῷδε τῷ θραυστῷ συνδέδεμαι κίονι ἀπό τε τοῦ θώρακος καὶ βραχίονος ἠρτημένος· ἧπου γε παρὰ νεκροῖς οἰκῶν, τάτε πτερωτά μοι τόξα ὁρῶ ἀνεσπαρμένα, ἃ πρὶν, ἀπηρτημένα ἐξ ἐμοῦ, σωζόμενα ἔσωζόν με· μήτι δ' αὖ ἐν ᾅδου τυγχάνω κατελθὼν, ἀντίςροχον ὁδὸν ἐκτελέσας Εὐρυσθεῖ; ἀλλ' οὐχ ὁρῶν Σίσυφον ἀναμοχλεύοντα τῇ κεφαλῇ τὸν λίθον, οὔτε Πλούτωνα, οὔτε τὰ τῆς Κόρης σκῆπτρα, ἀπορῶ τοῖς ἄλλοις πῇποτε τυγχάνω ὤν. ὠή, τίς τῶν ἐμῶν φίλων ἐςὶν ἐνταῦθα, ὃς, λύσει μοι τὴν τῶν παρόντων ἀμηχανίαν; οὐ γὰρ οἶδ' οὐδὲν, ὧν εἴωθα εἰδέναι.

ΑΜ. Πότερον, ὦ γέροντες, προσέλθω τοῖς ἐμοῖς κακοῖς ἤδη ἢ οὔ;

ΧΟ. Ἀλλ' ἕψομαί σοι κἀγὼ, κοὐκ ἂν προδοίην σὲ ἐν συμφοραῖς.

---

τι· ἡνίκα δὲ ἐκ πολλῶν πόνων ἐδόκει τι κατορθώσειν γενόμενος πρὸς τῇ κορυφῇ, ἀφίετο ὁ λίθος τῶν χειρῶν, καὶ κατῄει αὖθις κάτω εἰς τὰ πεδινά.

ΗΡ. Πάτερ, τί κλάεις καὶ συναμπίσχει κόρας,
Τοῦ φιλτάτου σοι τηλόθεν παιδὸς βεβώς;
ΑΜ. Ὦ τέκνον! εἶ γὰρ καὶ κακῶς πράσσων ἐμός.
ΗΡ. Πράσσω δ' ἐγὼ τί λυπρὸν, οὗ δακρυῤῥοεῖς;
ΑΜ. Ἃ κἂν θεῶν τις, εἰ πάθοι, καταστένοι.
ΗΡ. Μέγας γ' ὁ κόμπος, τὴν τύχην δ' οὔπω λέγεις.
ΑΜ. Ὁρᾷς γὰρ αὐτὸς, εἰ φρονῶν ἤδη κυρεῖς.
ΗΡ. Εἴπ', εἴ τι καινὸν ὑπογράφει τῷ 'μῷ βίῳ.
ΑΜ. Εἰ μηκέθ' Ἅδου Βάκχος, ἐκφράσαιμεν ἄν.
ΗΡ. Παπαί! τόδ' ὡς ὕποπτον ἠνίξω πάλιν!
ΑΜ. Καί σ', εἰ βεβαίως εὖ φρονεῖς, ἤδη σκοπῶ.
ΗΡ. Οὐ γάρ τι βακχεύσας γε μέμνημαι φρένας.
ΑΜ. Λύσω, γέροντες, δεσμὰ παιδὸς, ἢ τί δρῶ;
ΗΡ. Καὶ τόν γε δήσαντ' εἴπ'· ἀναινόμεσθα γάρ.
ΑΜ. Τοσοῦτον ἴσθι τῶν κακῶν· τὰ δ' ἄλλ' ἔα.
ΗΡ. Ἀρκεῖ σιωπὴ γὰρ μαθεῖν, ὃ βούλομαι;
ΑΜ. Ὦ Ζεῦ, παρ' Ἥρας ἆρ' ὁρᾷς θρόνων τάδε;
ΗΡ. Ἀλλ' ἤ τι κεῖθεν πολέμιον πεπόνθαμεν;
ΑΜ. Τὴν θεὸν ἐάσας, τὰ σὰ περιστέλλου κακά.
ΑΡ. Ἀπωλόμεσθα· συμφορὰν λέξεις τίνα;
ΑΜ. Ἰδοὺ, θέασαι τάδε τέκνων πεσήματα.
ΗΡ. Οἴμοι! τίν' ὄψιν τήνδε δέρκομαι τάλας;
ΑΜ. Ἀπόλεμον, ὦ παῖ, πόλεμον ἔσπευσας τέκνοις.
ΗΡ. Τί πόλεμον εἶπας; τούσδε τίς διώλεσεν;
ΑΜ. Σύ καὶ σὰ τόξα, καὶ θεῶν ὃς αἴτιος.

---

1093. Εἰ μηκέθ' ᾅδου Βάκχος] ἐν ἄλλοις εἰ μὴ καθ' ᾅδου· τινὲς δὲ διορθοῦσι καὶ ἄλλως, Εἰ μὴ κρατεῖ σου Βάκχος· ὃ ἄμεινον· Βάκχον δὲ φησὶ τὴν μανίαν

ΗΡ. Τί ποθ' οὕτω κλαίεις, ὦ πάτερ, συναγαγὼν οὕτω τὰς ὀφρῦς, μακρὰν ἀπ' ἐμοῦ τοῦ σοῦ φιλτάτου τέκνου;

ΑΜ. Ὦ τέκνον! τέκνον γὰρ ἐμὸν εἶ, καίτοι κακῶς πράσσων.

ΗΡ. Τί γὰρ πάσχω, οὗ ἕνεκα σὺ δακρύεις;

ΑΜ. Ἃ καὶ θεὸς παθὼν, οὐκ ἂν ἀδακρυτὶ παρέλθοι.

ΗΡ. Μέγα μέντι, ἀλλ' οὐχ ὁρῶ ὅ,τι λέγεις.

ΑΜ. Ὁρᾷς δήπου, αὐτὸς εἰ ἀνείληφας τὰς φρένας.

ΗΡ. Λέγε, εἴτι μου ἔχεις κατηγορῆσαι νέον.

ΑΜ. Εἰ μηκέτι κατακρατεῖ σου βάκχος, λέγοις μ' ἄν.

ΗΡ. Παπαῖ, καὶ τόδ' αὖ αἴνιγμα οὐχ ἧττον, ἢ τὸ πρῶτον.

ΑΜ. Καὶ γὰρ σκοπῶ, εἰ εὖ φρονῶν τυγχάνεις ἤδη.

ΗΡ. Καὶ μὴν οὐκ οἶδ' ἔγωγε παραφρονήσας.

ΑΜ. Πότερον, ὦ γέροντες, λύσω τούτῳ τὰ δεσμὰ, ἢ οὔ;

ΗΡ. Οὐμὴν ἀλλὰ καὶ τὸν δήσαντα λέγε· οὐ γὰρ ἀνέξομαι.

ΑΜ. Τοῦτο εἰδὼς, μηδὲν βούλου μαθεῖν περαιτέρω.

ΗΡ. Ἀρκεῖ μοι γὰρ σιωπὴ μαθεῖν, ὃ θέλω;

ΑΜ. Ἆρ' ὁρᾷς, ὦ Ζεῦ, ὑψόθεν, οἷα δρᾷ ἡμᾶς Ἥρα;

ΗΡ. Μῶν κακόντι ἐπῆλθεν ἡμῖν αὖθις ἐκεῖθεν;

ΑΜ. Ἀφεὶς τὴν θεὸν, τὰ σαυτοῦ κακὰ σκόπει.

ΗΡ. Τί φής; ἀπολώμεθα· συμφορὰν γὰρ δοκεῖς λέγειν.

ΑΜ. Ἴδε ταῦτα τῶν σαυτοῦ παίδων τὰ πτώμαθ' ὧδε.

ΗΡ. Οἴμοι, τίς αὕτη θέα μοι ἀθλιωτάτη;

ΑΜ. Δυστυχῆ πόλεμον, ὦ τέκνον, ἐπήνεγκας τοῖς τέκνοις.

ΗΡ. Τί πόλεμόν μοι φής; λέγε τίς ἀπέκτεινε τούτους;

ΑΜ. Αὐτὸς ὁ γεννήσας, καὶ θεῶν ὁ κινήσας αὐτὸν εἰς τοῦτο.

---

1110. Ἀρκεῖ] ἐν ἄλλοις, ἀρκεῖ· σιωπῇ γὰρ κτλ. 1104. Λέξεις] ἐν ἄλλοις

ΗΡ. Τί φής; τί δράσας; ὦ κάκ' ἀγγέλλων πάτερ.
ΑΜ. Μανείς· ἐρωτᾷς δ' ἄθλι' ἑρμηνεύματα.
ΗΡ. Ἦ καὶ δάμαρτός εἰμ' ἐγὼ φονεὺς ἐμῆς;
ΑΜ. Μιᾶς ἅπαντα χειρὸς ἔργα σῆς τάδε.
ΗΡ. Αἶ, αἶ! στεναγμῶν γάρ με περιβάλλει νέφος.
ΑΜ. Τούτων ἕκατι σὰς καταστένω τύχας.
ΗΡ. Ἦ γὰρ συνήραξ' οἶκον, ἢ βάκχευσ', ἐμόν;
ΑΜ. Οὐκ οἶδα, πλὴν ἓν πάντα δυστυχῆ τὰ σά.
ΗΡ. Ποῦ δ' οἶστρος ἡμᾶς ἔλαβε; ποῦ διώλεσεν;
ΑΜ. Ὅτ' ἀμφὶ βωμὸν χεῖρας ἡγνίζου πυρί.
ΗΡ. Οἴμοι! τί δή γε φείδομαι ψυχῆς ἐμῆς,
Τῶν φιλτάτων μοι γενόμενος παίδων φονεύς,
Κοὐκ εἶμι πέτρας λισσάδος πρὸς ἅλματα,
Ἢ φάσγανον πρὸς ἧπαρ ἐξακοντίσας,
Τέκνοις δικαστὴς αἵματος γενήσομαι;
Ἢ σάρκα τὴν ἐμὴν κατεμπρήσας πυρὶ,
Δύσκλειαν, ἥ μένει μ', ἀπώσομαι βίου;
Ἀλλ' ἐμποδών μοι θανασίμων βουλευμάτων
Θησεὺς ὅδ' ἕρπει, συγγενὴς φίλος τ' ἐμός.
Ὀφθησόμεσθα, καὶ τεκνοκτόνον μύσος
Ἐς ὄμμαθ' ἥξει φιλτάτων ξένων ἐμῶν.
Οἴμοι τί δράσω; ποῖ κακῶν ἐρημίαν
Εὕρω, πτερωτὸς, ἢ κατὰ χθονὸς μολών;
Φέρ', ἐν πέπλοισι κρατὶ περιβάλω σκότος.
Αἰσχύνομαι γὰρ τοῖς δεδραμένοις κακοῖς,
Καὶ τῷδε προστρόπαιον ὄμμα προσβαλὼν,
Οὐδὲν κακῶσαι τοὺς ἀναιτίους θέλω.

ΗΡ. Τί φής; πῶς τοῦτο, ὦ κακά μοι ἀγγέλλων ταῦτα, πάτερ;

ΑΜ. Μανείς, τέκνον, ἀλλ' οἰκτρὸν ἐρωτᾷν τὰ τοιαῦτα.

ΗΡ. Ἐγὼ φονεὺς καὶ τῆς ἐμαυτοῦ γυναικὸς ὁμοίως;

ΑΜ. Πάντα ταῦτα τῆς σῆς χειρός ἐστιν ἔργα, τέκνον.

ΗΡ. Αἶ, αἶ· μεγάλων στεναγμῶν με νέφος περικαλύπτει.

ΑΜ. Τούτων γ' ἕνεκα ἀλγῶ ἐπί σοι δυςυχοῦντι.

ΗΡ. Ἆρα μανεὶς, συνήραξ' οὕτω τὴν ἐμαυτοῦ οἰκίαν;

ΑΜ. Οὐδὲν οἶδ', ἢ σὲ τλημονέςατον πάντων ὄντα.

ΗΡ. Ποῦ δ' ἡ μανία ἀπώλεσέ με καταλαβοῦσα;

ΑΜ. Ὁπότ' ἤμελλες ἁγνίσειν ἐν τῷ βομῷ τὰς χεῖρας.

ΗΡ. Οἴμοι! τί οὖν δεῖ με ζῆν, τοὺς ἐμαυτοῦ φονεύσας; οὐκ ἂν φθάνοιμι ῥίψας ἐμαυτὸν κατὰ πετρῶν ὑψόθεν; ἢ φάσγανον δι' ἥπατος ἐλάσας, ὡς γενοίμην τιμωρὸς τῷ τῶν τέκνων θανάτῳ; ἢ παραδοὺς ἐμαυτὸν τῷ πυρὶ καταναλωθῆναι, ὡς ἂν ἀποφύγοιμι τὴν ἐς τοὐπιὸν δυσφημίαν τοῦ βίου; Ἀλλ' ὁρῶ Θησέα ἥκοντα τουτονὶ, τἀμὰ θανάσιμα βουλεύμαθ', ὡς ἔοικε, βουλόμενον κωλῦσαι· φίλος ὠνὴρ, καὶ συγγενής· ἀλλ' ἡ ἐμὴ θέα προστριβὴν καὶ ἄγος τεκνοκτονίας τῷ πάντων ξένων φιλτάτων μοι ἐντρίψει· οἴμοι τί δράσω; πῆ ἂν εὕροιμι κακῶν ἀπαλλαγὴν, ἢ πτερῷ χρησάμενος, ἢ εἰς γῆν καταδύς; φέρ' ὑπὸ τοῖς ἱματίοις συγκαλύψωμαι τούτοις· αἰσχύνομαι γὰρ καὶ τούτῳ μίασμα, οἷς εἴργασμαι, προστρῖψαι· οὐ δὲ θέλω κακῶσαι τοὺς μηδὲν μετεσχηκότας.

---

ἕξεις. 1119. Ἡγνίζου πυρὶ] ἴδε ἀνωτέρω. 932. —

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΘΗΣΕΥΣ, ΑΜΦΙΤΡΥΩΝ, ΗΡΑΚΛΗΣ, ΧΟΡΟΣ.

ΘΗ. Ἥκω σὺν ἄλλοις, οἳ παρ' Ἀσωποῦ ῥοὰς
Μένουσ' ἔνοπλοι γῆς Ἀθηναίων κόροι,
Σῷ παιδὶ, πρέσβυ, σύμμαχον φέρων δόρυ.
Κληδὼν γὰρ ἦλθεν εἰς Ἐρεχθειδῶν πόλιν,
Ὡς σκῆπτρα χώρας τῆσδ' ἀναρπάσας Λύκος
Ἐς πόλεμον ὑμῖν καὶ μάχην καθίσταται.
Τίνων δ' ἀμοιβὰς, ὧν ὑπῆρξεν Ἡρακλῆς
Σώσας με νέρθεν, ἦλθον, εἴ τι δεῖ, γέρον,
Ἢ χειρὸς ὑμᾶς τῆς ἐμῆς, ἢ συμμάχων.
Ἔα· τί νεκρῶν τῶνδε πληθύει πέδον;
Ἤ που λέλειμμαι, καὶ νεωτέρων κακῶν
Ὕστερος ἀφῖγμαι; τίς τάδ' ἔκτεινεν τέκνα;
Τίνος γεγῶσαν τήνδ' ὁρῶ συνάορον;
Οὐ γὰρ δορός γε παῖδες ἵστανται πέλας,
Ἀλλ' ἄλλο τοί που καινὸν εὑρίσκω κακόν.
ΑΜ. Ὦ τὸν ἐλαιοφόρον ὄχθον ἔχων·
ΘΗ. Τί χρῆμά μ' οἰκτροῖς ἐκάλεσας προοιμίοις;
ΑΜ. Ἐπάθομεν πάθεα μέλεα πρὸς θεῶν.
ΘΗ. Οἱ παῖδες οἵδε τίνες, ἐφ' οἷς δακρυῤῥοεῖς;

1143. Ὑπῆρξεν Ἡρακλῆς] περὶ τούτου εἴρηται ἐν Ἀπολλοδώρῳ. βιβλ. Β'. 5. Πλησίον δὲ τῶν τοῦ ᾅδου πυλῶν γενόμενος (ὁ Ἡρακλῆς) εὗρε Θησέα καὶ Πειρίθουν τὸν

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΘΗΣΕΥΣ, ΑΜΦΙΤΡΥΩΝ, ΗΡΑΚΛΗΣ, ΧΟΡΟΣ.

**ΘΗ.** Ὦ γέρον, ἥκω σὺν ἄλλοις πολλοῖς τῶν Ἀθηναίων, οἳ νῦν μένουσι παρὰ τῷ Ἀσωπῷ, Ἡρακλεῖ τῷ σῷ συμμαχήσων παιδί· φήμη γὰρ αὕτη ἐν τῇ Ἀθηναίων τεθρύλληται πόλει, Λύκον ἐπελθόντ' ἀναρπάσαι τὰ σκῆπτρα, καὶ εἰς πόλεμον ὑμῖν καθεστηκέναι· ἐγὼ δὲ χάριν τίνων Ἡρακλεῖ, ὧν εἰς ἐμὲ ὑπῆρξεν, ἐξαγαγὼν τοῦ ᾅδου, ἦλθον, εἴτι δεῖ ὑμῖν τοῦ ἐμοῦ βραχίονος εἰς συμμαχίαν· Ἔα, τίνας τούτους νεκροὺς ὁρῶ ἐνταῦθα; μῶν ὑστέρησα, νεωτέρων κακῶν συμβεβηκότων; τὶς ὁ ἀνελὼν τοσούτους παῖδας; ἡ δὲ γυνὴ ἥδε τίς ἐστιν ἀποθανοῦσα; οὐ γὰρ ἐν μάχῃ δοκοῦσι τεθνηκέναι, παῖδες ὄντες· ἀλλ' ἄλλο τι κακὸν πεπονθέναι παρ' ἐλπίδα.

**ΑΜ.** Ὦ τὸν ἐλαιασφόρον σκόπελον κατοικῶν Ἀθηνᾶς —

**ΘΗ.** Τί ποθ' οὕτως οἰκτρῶν ἄρχῃ μοι προοιμίων;

**ΑΜ.** Πάθη παθῶν πρὸς θεῶν πεπόνθαμεν τλημονέστατα.

**ΘΗ.** Τίνες οἱ παῖδες οἵδε, ἐφ' οἷς ἐκχέεις δάκρυ.

---

Περσεφόνης μνηστευόμενον γάμον, καὶ διὰ τοῦτο δεθέντα· θεασάμενοι δὲ Ἡρακλέα, τὰς χεῖρας ὤρεγον, ὡς ἀναστησόμενοι διὰ τῆς ἐκείνου βίας· ὁ δὲ Θησέα μὲν, λαβόμενος τῆς ἐκείνου χειρὸς, ἤγειρε. 1145. Εἴτι δεῖ χειρὸς ὑμᾶς τῆς ἐμῆς] τὸ Ὑμᾶς ἀντὶ τοῦ Ὑμῖν· καινοπρεπὲς δὲ, εἰμὴ διέφθαρται. 1152. Ἐλαιοφόρον] Ἡρόδοτος (Τερψιχ.) Λέγεται δὲ καὶ ὡς ἐλαῖαι ἔσαν ἄλλοθι γῆς οὐδαμοῦ κατ' ἐκεῖνον τὸν χρόνον, ἢ Ἀθήνησι. ἴδε δὲ καὶ Ἴων. στίχ.

ΑΜ. Ἔτεκε μὲν οὐ μὸς ἶνις τάλας,
Τεκόμενος δ' ἔκανε, φόνιον αἷμα τλάς.
ΘΗ. Εὔφημα φώνει.
ΑΜ. Βουλομένοισιν ἐπαγγέλλῃ.
ΘΗ. Ὦ δεινὰ λέξας.
ΑΜ. Οἰχόμεθ', οἰχόμεθα πτανοί.
ΘΗ. Τί φής; τί δράσας;
ΑΜ. Μαινομένῳ πιτύλῳ πλαγχθεὶς
Ἑκατογκεφάλου βαφαῖς ὕδρας.
ΘΗ. Ἥρας ὅδ' ὡγών· τίς δ' ὅδ' οὑν νεκροῖς, γέρον;
ΑΜ Ἐμὸς, ἐμὸς ὅδε γόνος ὁ πολύπονος. ὃς ἐπὶ
Δόρυ γιγαντοφόνον ἦλθεν σὺν θεοῖ-
Σι Φλεγραῖον εἰς πεδίον ἀσπιστάς.
ΘΗ. Φεῦ φεῦ! τίς ἀνδρῶν ὧδε δυσδαίμων ἔφυ!
ΑΜ. Οὐκ ἄν γ' εἰδείης ἕτερον
Πολυμοχθότερον, πολυπλαγκτότερόν τε θνατῶν.
ΘΗ. Τί γὰρ πέπλοισιν ἄθλιον κρύπτει κάρα;
ΑΜ. Αἰδούμενος τὸ σὸν ὄμμα καὶ
Φιλίαν ὁμόφυλον
Αἷμά τε παιδοφόνον.
ΘΗ. Ἀλλ' εἰς συναλγοῦντ' ἦλθον· ἐκκάλυπτέ νιν.
ΑΜ. Ὦ τέκνον, πάρες ἀπ' ὀμμάτων
Πέπλον, ἀπόδικε, ῥέθος ἀελίῳ δεῖξον.
Βάρος ἀντίπαλον δακρύοις συναμιλλᾶται.
Ἱκετύεομεν ἀμφὶ σὰν
Γενειάδα καὶ γόνυ καὶ χέρα προσπιτνῶν,
Πολιόν τε δάκρυον ἐκϐαλών.
Ἰὼ παῖ! κάτα-

ΑΜ. Τούτους ἐγείνατο μὲν οὑμὸς παῖς εὐτυχῶς· γεννήσας δὲ, ἀπέκτεινε δυστυχῶς.

ΘΗ. Εὐφήμει σύγε.

ΑΜ. Βουλοίμην μὲν ἂν, ἀλλ' οὐκ ἂν δυναίμην τοῦτο.

ΘΗ. Ὢ δεινὰ καὶ σχέτλια ταῦτ' εἰπών.

ΑΜ. Ὀλώλαμεν, ἀπολώλαμεν· ἰδοὺ ἀπέπτη πάντα.

ΘΗ. Τί ποτε παθὼν, ταῦτ' εἴργασαι ἐκεῖνος;

ΑΜ. Μανεὶς φαρμάκοις τῆς πολυκεφάλου Ὕδρας.

ΘΗ. Ἥρας, ὦ γέρον, ὀργιζομένης τοὔργον· ἀλλὰ τίς ποθ' οὗτος ὁ ἐν νεκροῖς κείμενος;

ΑΜ. Ὅδε δὲ ὁ παῖς οὑμὸς ὁ συνασπιστὴς θεῶν ποτε ἐν Φλέγρᾳ ἐπὶ γίγαντας ἐλθών.

ΘΗ. Φεῦ, φεῦ· τίς ἂν θνητῶν ὑπερβάλοι δυστυχίᾳ;

ΑΜ. Οὐκ ἔσθ' εὑρεῖν, οὔτε πολυπονώτερον, οὔτε πολυπλάνητον οὕτω.

ΘΗ. Τί δήποθ' οὕτω συγκεκάλυπται πέπλοις;

ΑΜ. Αἰδεῖται γάρ σε προσβλέπειν ἐναντίον, φίλον ὄντα καὶ συγγενῆ, παιδοκτόνος γεγενημένος.

ΘΗ. Καὶ μὴν συμπάσχων, ἦλθον· ἀνακάλυπτε δή.

ΑΜ. Ὦ τέκνον, ἆρον τὸ κάλυμα τοῦτ' ἀποβαλών· καὶ δεῦξον τὸ πρόσωπον ἡλίῳ· τὸ γὰρ ἐκ τοῦ γήρως μοι βάρος ἀντίῤῥοπον ἤδη τοῖς δάκρυσι γίγνεται. Ἀλλ' ἱκετεύω σε, ὦ τέκνον, αὐτῆς γενειάδος καὶ γόνατος ἁπτόμενος καὶ δάκρυ πρεσβυτικὸν περὶ σὲ κατασπένδων· κράτησον, ὦ παῖ, ἄγριον λέοντος θυμὸν, ἵνα μὴ ὁρμῇ φο-

---

1479. 1166. Ἐμὸς ἐμὸς] οὕτως δὶς εὕρηται ἐν ἄλλοις. 1180. Ἱκετεύομεν] ἐν ἄλλοις, διῃρημένως, ἱκετεύω μέν.

Σχε λέοντος ἀγρίου θυμὸν, ὡς
Δρόμον ἐπὶ φόνιον, ἀνόσιον ἐξάγῃ,
Κακὰ θέλων κακοῖς συνάψαι, τέκνον.
ΘΗ. Εἶεν. σὲ τὸν θάσσοντα δυστήνους ἕδρας
Αὐδῶ, φίλοισιν ὄμμα δεικνύναι τὸ σόν.
Οὐδεὶς σκότος γὰρ ὧδ' ἔχει μέλαν νέφος,
Ὅστις κακῶν σῶν συμφορὰν κρύψειεν ἄν.
Τί μοι προσείων χεῖρα, σημαίνεις φόνον;
Ὡς μὴ μύσος με σῶν βάλῃ προσφθεγμάτων;
Οὐδὲν μέλει μοι σύν γε σοὶ πράσσειν κακῶς·
Καὶ γάρ ποτ' εὐτύχησ'· ἐκεῖσ' ἀνοιστέον,
Ὅτ' ἐξέσωσάς μ' ἐς φάος νεκρῶν πάρα.
Χάριν δὲ γηράσκουσαν ἐχθαίρω φίλων,
Καὶ τῶν καλῶν μὲν ὅστις ἀπολαύειν θέλει,
Συμπλεῖν δὲ τοῖς φίλοισι δυστυχοῦσιν οὔ.
Ἀνίστασ', ἐκκάλυψον ἄθλιον κάρα,
Βλέψον πρὸς ἡμᾶς. ὅστις εὐγενὴς βροτῶν,
Φέρει τὰ θεῶν γε πτώματ', οὐδ' ἀναίνεται.
ΗΡ. Θησεῦ, δέδορκας τόνδ' ἀγῶν' ἐμῶν τέκνων;
ΘΗ. Ἤκουσα, καὶ βλέποντι σημαίνεις κακά.
ΗΡ. Τί δῆτά μου κρᾶτ' ἀνεκάλυψας ἡλίῳ;
ΘΗ. Τί δ' οὔ; μιαίνεις, θνητὸς ὤν, τὰ τῶν θεῶν;
ΗΡ. Φεῦγ', ὦ ταλαίπωρ', ἀνόσιον μίασμ' ἐμόν.
ΘΗ. Οὐδεὶς ἀλάστωρ τοῖς φίλοις ἐκ τῶν φίλων.
ΗΡ. Ἐπήνεσ'. εὖ δράσας δέ σ' οὐκ ἀναίνομαι.
ΘΗ. Ἐγὼ δὲ πάσχων εὖ τότ', οἰκτείρω σε νῦν.
ΗΡ. Οἰκτρὸς γάρ εἰμι, τἄμ' ἀποκτείνας τέκνα.
ΘΗ. Κλάω χάριν σὴν ἐφ' ἑτέραισι συμφοραῖς.

νία αὖθις ἐξενεχθεὶς, ἀλλ' ἐπ' ἄλλοις τὰ δεύτερα τῶν πρώτων χείρω κακὰ ἐργάσῃ.

ΘΗ. Ἄγ', ὦ ταλαίπωρε σύγε, τί ποθ' οὕτω ποτὲ κεῖσαι ᾧδε; δεῦρο δεῖξον ἀνακαλύψας τὸ σαυτοῦ πρόσωπον τοῖς φίλοις· οὐ γὰρ σκότος ᾧδε, ὥστε συγκρύψαι τὴν δυστυχίαν· τί μοι ἀνασείεις τῇ χειρὶ, τὸν φόνον ὑποδηλῶν, ὡς μὴ τοῖς σοῖς λόγοις δῆθεν γένωμαι ἐναγής; ἀλλ' ἔμοιγ' οὐδὲν συνδυστυχεῖν σοι, μεμνημένον, ἃ τυγχάνω πρὸς σοῦ εὖ πεπονθὼς, ἐξαχθεὶς ἀπὸ τοῦ Ἅδου· μισῶ γὰρ λίαν τοὺς παρ' ὅσοις γηράσκει χάρις· οἳ τῶν μὲν εὖ συμβαινόντων πρόθυμοί εἰσι συναπολαύειν· ὀκνηροὶ δὲ συμπλεῖν ἐν τρικυμίαις· ἀνίςασο ἐκκαλυψάμενος, καὶ βλέψον πρὸς ἡμᾶς ὀρθῶς· ὃς γὰρ εὐγενής ἐστι, τὰ παρὰ τῶν θεῶν εὖ καὶ ἀναγκαίως φέρει· οὐδ' ἀποστρέφεταί γε.

ΗΡ. Θησεῦ, ὁρᾷς τοὺς ἐμοὺς παῖδας, ὑπ' ἐμοῦ ἀναιρεθέντας;

ΘΗ· Καὶ δὴ καὶ ἀκήκοα, καὶ ὁρῶ πάντα ταῦτα.

ΗΡ. Τί δῆτ' ἀνεκάλυψάς με, ὥσθ' ὁρᾷν τὸ φῶς τοῦ ἡλίου;

ΘΗ. Τί δ' οὐχί; θεὸς γὰρ τοῖς σοῖς οὐ μιαίνεται ἔργοις.

ΗΡ Φύγ', ὦ ταλαίπωρε, μὴ αὐτὸς μιανθῇς.

ΘΗ. Οὐδὲν ἐκ φίλων προστριβήσεται φίλοις μῦσος.

ΗΡ. Ἐπαινῶ ταῦτα· οὐδὲ μεταμεμέλημαι, εὖ σε δράσας.

ΘΗ. Ἐγὼ δ' αὖ σε, ὁ εὖ παθὼν παρὰ σοῦ, λίαν οἰκτείρω.

ΗΡ. Καὶ γὰρ οἰκτρός εἰμι παιδοκτονήσας.

ΘΗ. Οἰκτείρω δέ σε ἐπ' ἄλλαις μάλιστα συμφοραῖς.

---

1208. Οἰκτρὸς γάρ εἰμι] ἐν ἄλλοις κεῖται, οἰκτρὸς πάρειμι. 1211. Κάτωθεν]

ΗΡ. Εὗρες δέ γ' ἄλλους ἐν κακοῖσι μείζοσιν;
ΘΗ. Ἅπτῃ κάτωθεν οὐρανοῦ δυσπραξίᾳ.
ΗΡ. Τοιγὰρ παρεσκευάσμεθ', ὥστε κατθανεῖν.
ΘΗ. Δοκεῖς ἀπειλῶν σῶν μέλειν τι δαίμοσιν;
ΗΡ. Αὔθαδες ὁ θεός· πρὸς δὲ τοὺς θεοὺς ἐγώ.
ΘΗ. Ἴσχε στόμ', ὡς μὴ μέγα λέγων μεῖζον πάθῃς.
ΗΡ. Γέμω κακῶν δὴ, κοὐκέτ' ἔσθ' ὅπῃ τεθῇ.
ΘΗ. Δράσεις δὲ δὴ τί; ποῖ φέρῃ θυμούμενος;
ΗΡ. Θανὼν, ὅθεν περ ἦλθον, εἶμι γῆς ὕπο.
ΘΗ. Εἴρηκας ἐπιτυχόντος ἀνθρώπου λόγους.
ΗΡ. Σὺ δ', ἐκτὸς ὢν γε συμφορᾶς, με νουθετεῖς.
ΘΗ. Ὁ πολλὰ δὴ τλὰς Ἡρακλῆς λέγει τάδε;
ΗΡ. Οὔκουν τοσαῦτά γ', εἰ μέτρῳ μοχθητέον.
ΘΗ. Εὐεργέτης βροτοῖσι καὶ μέγας φίλος;
ΗΡ. Οἵδ' οὐδὲν ὠφελοῦσί μ', ἀλλ' Ἥρα κρατεῖ.
ΘΗ. Οὐκ ἄν σ' ἀνάσχοιθ' Ἑλλὰς ἀμαθίᾳ θανεῖν.
ΗΡ. Ἄκουε δὴ νῦν, ὡς ἁμιλληθῶ λόγοις
Πρὸς νουθετήσεις σάς· ἀναπτύξω δέ σοι
Ἀβίωτον ἡμῖν νῦν τε καὶ πάροιθεν ὄν.
Πρῶτον μὲν ἐκ τοῦδ' ἐγενόμην, ὅστις κτανὼν
Μητρὸς γεραιὸν πατέρα, προστρόπαιος ὢν,
Ἔγημε τὴν τεκοῦσαν Ἀλκμήνην ἐμέ·
Ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
Ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.
Ζεὺς δ', ὅστις ὁ Ζεὺς, πολέμιόν μ' ἐγείνατο
Ἥρᾳ· (σὺ μέντοι μηδὲν ἀχθεσθῇς, γέρον.
Πατέρα γὰρ ἀντὶ Ζηνὸς ἡγοῦμαί σ' ἐγώ.)
Ἔτ' ἐν γάλακτί τ' ὄντι γοργωποὺς ὄφεις

ΗΡ. Εἶδες ποτ' ἄλλον τοιαύτῃ συμφορᾷ περιπεσόντα;

ΘΗ. Οὐκ· ἡ γὰρ σὴ ἄτη τῇ κορυφῇ τὸν οὐρανὸν ἀράσσει.

ΗΡ. Οὐκοῦν τί λοιπὸν, ἢ ἀποθανεῖν ἐμὲ ἀνάγκη;

ΘΗ. Δοκεῖς τι τούτοις τοῖς θεοῖς ἀπειλήσειν;

ΗΡ. Αὐθαδείᾳ τὴν ἐκείνων αὐθάδειαν μετιτέον.

ΘΗ. Σοφὸν κρατεῖν γλώττης, ἢ πλείω κακὰ φέρει.

ΗΡ. Τίς γὰρ τῶν παρόντων ὑπερβολὴ ἂν εἴη;

ΘΗ. Τί δὲ δράσεις, τῷ θυμῷ κεκινημένος;

ΗΡ. Εἶμι πάλιν, ὅθεν ἐξῆλθον ἄρτι.

ΘΗ. Ὁ πολὺς ἄνθρωπος, τοιούτους λόγους λέγει.

ΗΡ. Ἐκτὸς γὰρ ὢν τῆς συμφορᾶς, νουθετεῖς με τοιαῦτα.

ΘΗ. Ἀλλὰ πῶς ὁ πολλὰ τλὰς Ἡρακλῆς τοιαῦτ' ἂν λέγοι;

ΗΡ. Οὐ πολλά γε, εἰ δεῖ μὴ πέραν μοχθεῖν τοῦ μέτρου.

ΘΗ. Ὁ μέγας φίλος καὶ εὐεργέτης τῶν ἀνθρώπων;

ΗΡ. Οὐδέν μοι πλέον ἐξ ἐκείνων, τῆς Ἥρας ἐπικρατούσης.

ΘΗ. Δεινὸν ἡγήσονται Ἕλληνες, μικροψυχίᾳ σου θανόντος.

ΗΡ. Ἄκουε δέ μου ἀπολογουμένου πρὸς τὰ νενουθετημένα· δείξω δέ σοι τόν τε πρὶν καὶ νῦν ἀβίωτον ἔμοιγε βίον ὄντα· πρῶτον μὲν μὰρ παῖς ἐγενόμην τούτου, ὃς τὸν τῆς ἐμῆς μητρὸς πατέρα ἀποκτείνας, ἔγημεν αὐτὴν, ἐναγὴς ὤν· τῆς δὲ κρηπῖδος μὴ ὀρθῶς ὑποτεθείσης, πῶς ἂν εἴη μὴ δυστυχεῖν τοὺς ἐκγόνους; Ζεὺς δὲ, εἴτις ἐστιν, ἐγείνατό με πολέμιον τῇ Ἥρᾳ· συγγνοίης δέ μοι αὐτὸς, ὦ πάτερ· τὸν γὰρ Δία λέγων, σὲ καλῶ πατέρα· εἶθ' ὑπομαζίῳ ὄντι ἔτι ὄφεις εἰς τὰ ἐμὰ σπάργανα, ὡς

---

ἡ σὴ δυστυχία ἀπὸ γῆς εἰς οὐρανὸν διήκει· τοσαύτη γάρ ἐστι τὸ μέγεθος.

Ἐπεισέφρησε σπαργάνοισι τοῖς ἐμοῖς
Ἡ τοῦ Διὸς σύλλεκτρος, ὡς ὀλοίμεθα.
Ἐπεὶ δὲ σαρκὸς περιβόλαι' ἐκτησάμην
Ἡβῶντα, μόχθους, οὓς ἔτλην, τί δεῖ λέγειν;
Ποίους ποτ' ἢ λέοντας, ἢ τρισωμάτους
Τυφῶνας, ἢ Γίγαντας, ἢ τετρασκελῆ
Κενταυροπληθῆ πόλεμον οὐκ ἐξήνυσα;
Τήν τ' ἀμφίκρανον καὶ παλιμβλαστῆ κύνα
Ὕδραν φονεύσας, μυρίων τ' ἄλλων πόνων
Διῆλθον ἀγέλας, κεἰς νεκροὺς ἀφικόμην,
Ἅδου πυλωρὸν κύνα τρίκρανον ἐς φάος
Ὅπως πορεύσαιμ' ἐντολαῖς Εὐρυσθέως.
Τὸν λοίσθιον δὲ τόνδ' ἔτλην τάλας πόνον,
Παιδοκτονήσας, δῶμα θριγκῶσαι κακοῖς.
Ἥκω δ' ἀνάγκης ἐς τόδ'. οὔτ' ἐμαῖς φίλαις
Θήβαις ἐνοικεῖν, ὅσιον· ἢν δὲ καὶ μένω,
Ἐς ποῖον ἱερὸν, ἢ πανήγυριν φίλων
Εἶμ'; οὐ γὰρ ἄτας εὐπροσηγόρους ἔχω.
Ἀλλ' Ἄργος ἔλθω; πῶς, ἐπεὶ φεύγω πάτραν;
Φέρ', ἀλλ' ἐς ἄλλην δή τιν' ὁρμήσω πόλιν;
Κᾄπειθ' ὑποβλεπώμεθ', ὡς ἐγνωσμένοι,
Γλώσσης πικροῖς κέντροισι κληδονούμενοι.
Οὐχ' οὗτος ὁ Διὸς, ὃς τέκν' ἔκτεινέν ποτε
Δάμαρτά τ'; οὐ γῆς τῆσδ' ἀποφθαρήσεται;
Κεκλημένῳ δὲ φωτὶ μακαρίῳ ποτὲ
Αἱ μεταβολαὶ λυπηρόν. ᾧ δ' ἀεὶ κακῶς
Ἐστ', οὐδὲν ἀλγεῖ, συγγενῶς δύστηνος ὤν·

ἀπόλωμαι, εἰσέφρησε ἐκείνη· ἐπεὶ δὲ τυγχάνω τὸ ἀνδρικὸν ἀπειληφὼς ἱμάτιον, τί δεῖ λέγειν, οἵων πεπείραμαι; τίνα γὰρ οὐκ ἐξήνυσα πόνον, λέοντας καταπαλαίσας, καὶ τρισωμάτους Τυφῶνας, καὶ Γίγαντας, καὶ Ἱπποκενταύρους, καὶ τὴν πολύκρανον, καὶ παλιμβλαςῆ Ὕδραν ἀποκτείνας; ἐῶ δὲ λέγειν ἄλλους μυρίους ἀγῶνας, ἀλλὰ Κέρβερον τὸν κύνα ποῦ θῶμεν τὸν τοῦ Ἅδου πυλωρόν; τὸ τρίκρανον ἐκεῖνο τέρας, ὃν κατελθὼν ἀνήγαγον ἐς τὸν βίον, προστάξαντος Εὐρυσθέως; τέλος δ' ἐπέθηκα σφραγίδα πᾶσι τούτοις τὸν δύστηνον τοῦτον ἀγῶνα, τὰ φίλτατ' ἀποκτείνας, καὶ περιβαλὼν τὸν ἐμαυτοῦ οἶκον πανταχόθεν δυστυχίαις· ἦλθον δ' ἐς τοῦτ' ἀνάγκης, ὥστ' οὔτε Θήβας οἰκεῖν ὁσίως· πῶς γὰρ εἰς ἱερὸν, ἢ εἰς πανήγυριν ἔλθω ὁ παιδοκτόνος, τοιαύτῃ δυσφήμῳ χρησάμενος συμφορᾷ; οὔτε μὴν εἰς Ἄργος κατελθεῖν, φυγὰς ὢν ἐκεῖθεν· ἀλλ' εἰς ἄλλην, εἴποις ἂν, πόλιν δεῖ με καταφυγεῖν· ἀλλὰ κἀκεῖ, γνωστῶν τῶν ἐμῶν κακῶν γενομένων, ὑπὸ τίνος οὐκ ἂν ὑποβλεπόμενος, πικρῶς λοιδοροίμην; οὐχ οὗτος ἐστὶν ὁ τοῦ Διὸς, ἐροῦσιν ἐκεῖνοι, ὃς τοὺς ἑαυτοῦ παῖδας μετὰ τῆς μητρὸς τυγχάνει ἀνῃρηκώς; οὐκ αὐτίκα μάλα ἐκφθαρήσεται ἔξω τῆς χώρας ταύτης; χαλεπὸν δ' ἀνδρὶ ἀξίωμα ἔχοντι παρὰ πάντων, τὴν ἐς τοὐναντίον μετρίως φέρειν μεταβολήν· ὃς δ' ἂν τύχῃ ἐξ ἀρχῆς δυστυχῶς ἔχων, οὐκ ἂν ἀλγοίη, ἐθὰς τῷ κακῶς πράττειν γεγε-

1291. Κληδονούμενοι] οὕτω μᾶλλον ἐξ ἑτέρας ἐκδόσεως ἀντὶ τοῦ κληδουχοῦ-

Ἐς τοῦτο δ' ἥξειν συμφορᾶς οἶμαί ποτε.
Φωνὴν γὰρ ἥσει χθὼν, ἀπεννέπουσά με
Μὴ θιγγάνειν γῆς, καὶ θάλασσα μὴ περᾷν,
Πηγαί τε ποταμῶν, καὶ τὸν ἁρματήλατον
Ἰξίον' ἐν δεσμοῖσιν ἐκμιμήσομαι.
Καὶ ταῦτ' ἄριστα, μηδέν' Ἑλλήνων μ' ὁρᾷν,
Ἐν οἶσιν εὐτυχοῦντες, ἦμεν ὄλβιοι.
Τί δῆτά με ζῆν δεῖ; τί κέρδος ἕξομεν,
Βίον γ' ἀχρεῖον, ἀνόσιον κεκτημένοι;
Χορευέτω δὲ Ζηνὸς ἡ κλεινὴ δάμαρ,
Κρούουσ' Ὀλυμπίου Ζηνὸς ἀρβύλῃ πέδον.
Ἔπραξε γὰρ βούλησιν, ἣν ἐβούλετο,
Ἄνδρ' Ἑλλάδος τὸν πρῶτον αὐτοῖσιν βάθροις
Ἄνω κάτω στρέψασα· τοιαύτῃ θεῷ
Τίς ἂν προσεύχοιθ'; ἣ γυναικὸς οὕνεκα
Λέκτρων φθονοῦσα Ζηνὶ, τοὺς εὐεργέτας
Ἑλλάδος ἀπώλεσ', οὐδὲν ὄντας αἰτίους.
ΘΗ. Οὐκ ἔστιν ἄλλου δαιμόνων ἀγὼν ὅδε,
Ἢ τῆς Διὸς δάμαρτος· εὖ τόδ' αἰσθάνῃ
* * *
Παραινέσαιμ' ἂν μᾶλλον, ἢ πάσχειν κακῶς.
Οὐδεὶς δὲ θνητῶν ταῖς τύχαις ἀκήρατος,
Οὐ θεῶν, ἐπῳδῶν εἴπερ ἀψευδεῖς λόγοι.
Οὐ λέκτρα τ' ἀλλήλοισιν, ὧν οὐδεὶς νόμος,
Συνῆψαν; οὐ δεσμοῖσι διὰ τυραννίδας

---

μενοι· σημαίνει δὲ τὸ κακῶς ἀκούειν. 1269. Ἰξίονα] ἐρασθεὶς οὕτως Ἥρας ἐμ-

νημένος· εἰς τοῦτο γὰρ οἶμαι ξυμφορᾶς ἥξειν ποθ᾽ ὕστερον, ὥστ᾽ αὐτή τε ἡ γῆ, θάλασσά τε καὶ πηγαὶ ποταμῶν φωνὴν ἀφιέντα, ἀπεροῦσί μοι μήτ᾽ ἐκείνης ἅπτεσθαι τοῖς ποσὶ, μήτε ταῦτα διαπερᾶν· ἐκμιμήσομαι τοίνυν ἐν τοῖς κάτω τὸν Ἰξίωνα ἐν δεσμοῖς· τοῦτο γὰρ κρεῖττον μηδενὸς τῶν Ἑλλήνων τὰ κατ᾽ ἐμὲ ὁρῶντος, παρ᾽ οἷς ἐν μεγίςῳ ἦν ἀξιώματι μέχρι δεῦρο· τί οὖν δεῖ με ζῆν; καὶ τί μοι πλέον ἐκ τούτου, μιαρῷ ἤδη καὶ ἀνοσίῳ γεγενημένῳ; χαιρέτω Ἥρα ἡ τοῦ Διὸς κλεινὴ σύνευνος, χορευέτω τὸ τοῦ Ὀλύμπου δάπεδον κρούουσα τῷ σανδάλῳ· ἤδη γὰρ κατέπραξεν, ὃ αὐτῇ ἦν βουλομένη, τὸν ἄριστον τῶν Ἑλλήνων πρόῤῥιζον καταστρέψασα· τὶς οὖν τοιαύτῃ θεῷ εὔχοιτ᾽ ἂν, ἣ γυναικὸς ἕνεκα τῷ Διὶ ζηλοτυποῦσα, τοὺς τῆς Ἑλλάδος εὐεργέτας ἀθώους ὄντας ἀπώλεσε;

ΘΗ. Τὰ μὲν πεπραγμένα οὐδενὸς, ἢ ἀγώνισμά ἐστιν Ἥρας· καὶ σὺ τοῦτ᾽ εὖ τυγχάνεις ᾐσθημένος· ἐγὼ δὲ παραινέσαιμ᾽ ἂν σοι φέρειν τὰ παρὰ τῶν θεῶν ἀναγκαίως ἐν τῷ βίῳ, ἢ κακῶς παθεῖν, αὐτὸν ὑπὸ σεαυτοῦ ἀναιρούμενον· τὶς γὰρ θνητῶν διετέλεσε πώποτε ἄθικτος δυστυχίαις; ὁπότε καὶ παρὰ τοῖς ἀθανάτοις ὁρῶμεν πολλὰ κακὰ γεγενημένα; οὐ γάμους οὗτοι παρανόμους ἀλλήλοις συνῆψαν, εἴπερ ἡ τῶν ποιητῶν μοῦσα ἀλη-

---

γη Νεφέλῃ, ἣν δοὺς Ζεὺς αὐτῷ, καὶ πεῖραν λαβὼν, κατεδίκασεν αὐτὸν, δεθῆναι ἐπὶ τροχοῦ ἐν ᾅδου, καὶ περιστρομβοῦσθαι τὸν ἅπαντα αἰῶνα.

1275. Πέδον] οὕτω μᾶλλον ἐξ ἑτέρας ἐκδόσεως ἀντὶ τοῦ πόδα. 1284. Παραινέσαιμ᾽ ἂν μᾶλλον, ἢ] ἐνταῦθα δοκεῖ ἐλλειπτικόν τι εἶναι, οἷον μάλιστα τὸ

Πατέρας ἐκηλίδωσαν, ἀλλ' οἰκοῦσ' ὅμως
Ὄλυμπον, ἠνέσχοντό θ' ἡμαρτηκότες.
Καίτοι τί φήσεις, εἰ σὺ μὲν, θνητὸς γεγὼς,
Φέρεις ὑπέρφευ τὰς τύχας, θεοὶ δὲ μή;
Θήβας μὲν οὖν ἔκλειπε τοῦ νόμου χάριν.
Ἕπου δ' ἅμ' ἡμῖν πρὸς πόλισμα Παλλάδος.
Ἐκεῖ χέρας σὰς ἁγνίσας μιάσματος,
Δόμους τε δώσω, χρημάτων τ' ἐμῶν μέρος.
Ἃ δ' ἐκ πολιτῶν δῶρ' ἔχω, σώσας κόρους
Δὶς ἑπτὰ, ταῦρον Κνώσσιον κατακτανὼν,
Σοὶ ταῦτα δώσω· πανταχοῦ δέ μοι χθονὸς
Τεμένη δέδασται· ταῦτ' ἐπωνομασμένα
Σέθεν τὸ λοιπὸν ἐκ βροτῶν κεκλήσεται
Ζῶντος· θανόντος δ', εὖτ' ἂν εἰς Ἅδου μόλῃς,
Θυσίαισι, λαΐνοισί τ' ἐξογκώμασιν
Τίμιον σ' ἀνάξει πᾶσ' Ἀθηναίων πόλις.
Καλὸς γὰρ ἀστοῖς στέφανος Ἑλλήνων ὕπο,
Ἄνδρ' ἐσθλὸν ὠφελοῦντας, εὐκλείας τυχεῖν.
Κἀγὼ χάριν σοι τῆς ἐμῆς σωτηρίας
Τήνδ' ἀντιδώσω· νῦν γὰρ εἶ χρεῖος φίλων.
Θεοὶ δ' ὅταν τιμῶσιν, οὐδὲν δεῖ φίλων.
Ἅλις γὰρ ὁ θεὸς ὠφελῶν, ὅταν θέλῃ·
ΗΡ. Οἴμοι! πάρεργά τοι τάδ' ἐστ' ἐμῶν κακῶν.
Ἐγὼ δὲ τοὺς θεοὺς οὔτε λέκτρ', ἃ μὴ θέμις,

---

φέρειν· ἀλλ' ἔοικεν ὅλος ἐκλελοιπέναι στίχος. 1298. Δὶς ἑπτὰ] ἑπτὰ μὲν μείρακας ἑπτὰ δὲ παρθένους· τὰ κατὰ τὴν Κρήτην αὐτῷ πεπραγμένα φησιν, ἔνθα ἀνελὼν τὸν ἐν τῇ Κνωσῷ Μινώταυρον, ἔλυσε τὸν τοῦ δασμοῦ νόμον· ἐφ' οἷς

θῇ ἄδει ταῦτα, οὐχ ἕνεκα δυναστείας δεσμοῖς τοὺς ἑαυτῶν καθεῖρξαν πατέρας ἀγνωμόνως; καὶ ὅμως οἰκοῦσιν ἔτι καὶ νῦν Ὄλυμπον, μετρίως φέροντες τὰ πεπλημμελημένα· ἢ αὐτὸς ἀξιοῖς θνητὸς γεγονὼς, χαλεπῶς φέρειν τὰς τύχας, τοὺς δ' ἀθανάτους οὔ; καταλιπὼν οὖν τὰς Θήβας κατὰ τὸν νόμον, ἕπου μεθ' ἡμῶν εἰς τὴν πόλιν τῆς Ἀθηνᾶς, ἔνθα καθαγνίσας σε τοῦ μιάσματος, οἰκίαν σεμνήν σοι δώσω οἰκεῖν, καὶ τῶν ἐμαυτοῦ χρημάτων ἀπόμοιραν· ἅ, τε δέ μοι δεδώρητο πρὸς τῶν πολιτῶν (εἰσί δέ μοι τοιαῦτα πολλὰ πολλαχῇ τῆς γῆς τεμένη) ἐφ' οἷς Μινώταυρον ἀνελὼν, διέσωσα δὶς ἑπτὰ νεανίας Ἀθηναίων, ταῦτά σοι δώσω πάντα ἔχειν· κἀπὶ τῷ σῷ κληθήσονται παρὰ πάντων ὀνόματι μέχρις ἂν ζῇς· ἀποθανόντα δὲ, θυσίαις τε καὶ τάφῳ λιθίνῳ δημοσίᾳ σε τιμήσει ἡ Ἀθηναίων πόλις· τίς γὰρ στεφάνων κάλλιστος τῇ πόλει, ἢ ἄνδρα ἄριστον τιμῶσαν, ἐπαινεῖσθαι παρὰ τῶν Ἑλλήνων; ταύτην ἐγώ σοι ἀποδώσω χάριν, ὧν παρὰ σοῦ εὖ τυγχάνω πεπονθώς· νῦν γὰρ μᾶλλόν σοι φίλων δεῖ· ἡνίκα δὲ οἱ θεοὶ τιμῶσιν ὁντιναοῦν, φίλων αὐτῷ οὐδεμία χρεία· ἱκανὸς γὰρ ὁ θεὸς ὠφελεῖν, ὅτε καὶ ὅ,τι θέλοι.

ΗΡ. Οἴμοι! ὡς οὐδέν ἐστι ταῦτα πρὸς τὴν ἐμὴν δυσπραξίαν· ἐγὼ γὰρ οὔτε θεοὺς, οἶμαι, παρανόμους συναρμό-

---

αὐτὸν "τεμένεσι" (κτήμασι γῆς) ἐτίμησαν Ἀθηναῖοι· ἅπερ νῦν αὐτὸς ἐν μέρει νῦν δίδωσι Ἡρακλεῖ· [ἴδε Πλούταρχον εἰς Θησέα. 1814. Ἃ μὴ θέμις] Ζεὺς γὰρ Ἥραν ἀδελφὴν οὖσαν ἀθεμίτως ἔγημε· καὶ ἃ αὐτῷ ἔτι πρὸς θνητὰς παρανόμως ἠσέλγηται· δεσμὰ δὲ τὰ κατὰ τὸν Κρόνον ἐννοεῖ· οὐχ ἧττον δὲ καὶ ὁ Ἄρης δέδεται Ἡφαίστου τέχναις. ἀναφέρονται δὲ ταῦτ' ἀνωτέρω στίχ. 1299,

Στέργειν νομίζω, δεσμά τ' ἐξάπτειν χεροῖν
Οὔτ' ἠξίωσα πώποτ', οὔτε πείσομαι,
Οὐδ' ἄλλον ἄλλου δεσπότην πεφυκέναι.
Δεῖται γὰρ ὁ θεὸς, εἴπερ ἐστ' ὄντως θεὸς,
Οὐδενός· ἀοιδῶν οἵδε δύστηνοι λόγοι.
Ἐσκεψάμην δὲ καίπερ ἐν κακοῖσιν ὢν,
Μὴ Δειλίαν ὄφλω τίν', ἐκλιπὼν φάος.
Τὰς συμφορὰς γὰρ ὅστις οὐκ ἐπίσταται,
Θνητὸς πεφυκὼς, ὃν πρόπον χρεὼν, φέρειν,
Οὐδ' ἀνδρὸς ἂν δύναιθ' ὑποστῆναι βέλος.
Ἐγκαρτερήσω θάνατον· εἶμι δ' ἐς πόλιν
Τὴν σὴν, χάριν τε μυρίων δώρων ἔχω.
Ἀτὰρ πόνων δὴ μυρίων ἐγευσάμην,
Ὧν οὔτ' ἀπεῖπον οὐδέν', οὔτ' ἀπ' ὀμμάτων
Ἔσταξα πηγὰς, οὐδ' ἂν ᾠόμην ποτὲ
Ἐς τοῦθ' ἱκέσθαι, δάκρυ' ἀπ' ὀμμάτων ϐαλεῖν.
Νῦν δ', ὡς ἔοικε, τῇ τύχῃ δουλευτέον.
Εἶεν· γεραιὲ, τὰς ἐμὰς φυγὰς ὁρᾷς,
Ὁρᾷς δὲ παίδων ὄντά μ' αὐθέντην ἐμῶν.
Δὸς τούσδε τύμϐῳ καὶ περίστειλον νεκροὺς
Δακρύοισι τιμῶν, (ἐμὲ γὰρ οὐκ ἐᾷ νόμος.)
Πρὸς στέρν' ἐρείσας μητρὶ, δούς τ' ἐς ἀγκάλας,
Κοινωνίαν δύστηνον, ἣν ἐγὼ τάλας
Διώλεσ' ἄκων. γῇ δ' ἐπὴν κρύψῃς νεκροὺς,
Οἴκει πόλιν τήνδ', ἀθλίως μὲν, ἀλλ' ὅμως
Ψυχὴν βιάζου τἀμὰ συμφέρειν κακά.
Ὦ τέκν', ὁ φύσας χὠ τεκὼν ὑμᾶς πατὴρ
Ἀπώλεσ', οὐδ' ὤνασθε τῶν ἐμῶν καλῶν,

σαι γάμους, οὔτε τοὺς ἑαυτῶν συνδῆσαι γεννήτορας· οὐδ' ἠξίωσα πώποτε πιςεῦσαι, οὔτε νῦν, οὔτ' ἐσαῦθις πείσομαι ταῦθ' οὕτως ἔχειν· οὐδ' ἄλλου ἄλλον ἐκείνων δεσπότην γεγονέναι· τὸ γὰρ θεῖον, εἰ ἀληθῶς ἐστι τοιοῦτον, ἐστὶν ἀνενδεές· οἱ δὲ ποιηταὶ οὕτω τῷ μέλει παρασύρουσιν ἐκείνους· ᾠήθην δ' οὖν, καίπερ ἐν κακοῖς ὢν, μὴ δεῖν δειλίαν με ἀποθανόντα ὄφλειν· ὃς γὰρ οὐ μετρίως τὰ συμβαίνοντα φέρει, οὗτος οὐδ' ἀνδρὸς πολεμίου γενναίως ὑποστήσεται τὸ δόρυ· οὔκουν ἀποθανοῦμαι· ἕψομαι δέ σοι Ἀθήναζε, καὶ χάριν σοι εἴσομαι τῶν πολλῶν ἐκείνων δωρημάτων· ἅλις δέ μοι τῶν ἀγώνων· ὧν μυρίων μὲν πεπείραμαι ἤδη, πρὸς οὐδένα δ' οὐδέπω ἀπεῖπον, οὔτ' ἀπ' ὀφθαλμῶν πω μέμνημαι ἐκχέας δάκρυ, ἀλλ' οὐδ' ᾠήθην πώποτ' ἐς τοῦτ' ἀφικέσθαι· νῦν δ' οὖν ἐνδοτέον μοί ἐστι τῇ τύχῃ· Εἶεν· σὺ δ', ὦ πάτερ (ὁρᾷς γὰρ τήν τ' ἐμὴν φυγὴν, καὶ τῶν παίδων τῶνδε νῦν αὐτόχειρά με γεγενημένον) περιςείλας ὡς εὖ τούτων τοὺς νεκροὺς, κάλυψον τῇ γῇ κοσμίως, ἀξίοις δάκρυσι τιμήσας, ὡς κωλύοντος ἐμὲ τοῦ νόμου, συναρμόσας αὐτοὺς ταῖς τῆς μητρὸς ἀγκάλαις, ὧν ἐγὼ ὁ τάλας ἀπεστέρησα ἐκείνους ἄκων· θάψας δὲ, ἡσύχαζε ἐνταῦθα, ἀθλίως μὲν, ἀλλ' ἀναγκαίως τἀμὰ κακὰ συμφέρων. Ὦ τέκνα, οἷος ἐγὼ πρὸς ἡμᾶς ὁ φύσας αὐ-

— 1325. Ἐγκαρτερήσω θάνατον] ἀναμενῶ μεθ' ὑπομονῆς τὸ φυσικὸν τέλος τοῦ βίου. 1333. Αὐθέντην] αὐτοέντην, ὁ αὐτόθεν ἱεὶς τὸ βέλος, ἢ ὅπως ἄλ-

Ἃ 'γὼ παρεσκεύαζον, ἐκμοχθῶν βίᾳ
Εὔκλειαν ὑμῖν, πατρὸς ἀπόλαυσιν καλήν.
Σέ τ' οὐχ ὁμοίως, ὦ τάλαιν', ἀπώλεσα,
Ὥσπερ σὺ τἀμὰ λέκτρ' ἔσωζες ἀσφαλῶς,
Μακρὰς διαντλοῦσ' ἐν δόμοις οἰκουρίας.
Οἴμοι δάμαρτος καὶ τέκνων! οἴμοι δ' ἐμοῦ!
Ὡς ἀθλίως πέπραγα, κἀποζεύγνυμαι
Τέκνων, γυναικός τ'. ὦ λυγραὶ φιλημάτων
Τέρψεις, λυγραί τε τῶνδ' ὅπλων κοινωνίαι!
Ἀμηχανῶ γὰρ, πότερ' ἔχω τάδ', ἢ μεθῶ,
Ἃ πλευρὰ τἀμὰ προσπιτνόντ' ἐρεῖ τάδε·
Ἡμῖν τέκν' εἷλες καὶ δάμαρθ'· ἡμᾶς ἔχεις
Παιδοκτόνους σούς. εἶτ' ἐγὼ τάδ' ὠλέναις
Οἴσω; τί φάσκων; ἀλλὰ γυμνωθεὶς ὅπλων,
Ξὺν οἷς τὰ κάλλιστ' ἐξέπραξ' ἐν Ἑλλάδι,
Ἐχθροῖς ἐμαυτὸν ὑποβαλὼν, αἰσχρῶς θάνω;
Οὐ λειπτέον τάδ', ἀθλίως δὲ σωστέον.
Ἕν μοί τι, Θησεῦ, σύγκαμ' ἀθλίῳ, κυνὸς
Κόμιστρ' ἐς Ἄργος συγκατάστησον μολὼν,
Λύπῃ τι παίδων μὴ πάθω μονούμενος.
Ὦ γαῖα Κάδμου, πᾶς τε Θηβαῖος λεὼς,
Κείρασθε, συμπενθήσατ', ἔλθετ' ἐς τάφον
Παίδων, ἅπαντας δ' ἑνὶ λόγῳ πενθήσατε

λως. σημαίνει δὲ τὸν φονέα, 1343. Ἃ 'γὼ παρεσκεύαζον· ἰδ' ἀνωτέρω στίχ. 457. καὶ ἑξῆς. 1358. Κυνὸς κόμιστρα] λαβὼν τὸν κύνα Κέρβερον ἐξ Ἑρμιόνης, κατάστησον μετ' ἐμοῦ Εὐρυσθεῖ ἐς τὸ Ἄργος· δυνατὸν γὰρ ἐμὲ, μονωθέντα, θανεῖν ἐκ λύπης.

τόχειρ γεγενημένος! ἃ δ' ἐγὼ παρεσκεύαζον ὑμῖν πολλοῖς ἀγῶσι, πάντ' οἴχεται ἐν ῥιπῇ ὀφθαλμοῦ· οὐδ' ὄνησις ὑμῖν ἐκείνων οὐδεμία· ποῦ γὰρ εὔκλεια; ποῦ δ' ἀπόλαυσις πατρός; σέ τε, ὦ τάλαινα γυνὴ, οὐ τοῖς ὁμοίοις ἠμυνάμην, ἣ τὴν ἐμὴν εὐνὴν ἐτίμας σωφροσύνῃ, διηνεκῶς οἰκουροῦσα· οἴμοι, οἵας συνεύνου, οἵων ἀπεστέρημαι τέκνων! οἴμοι δὲ καὶ ἐμαυτοῦ, ὡς ἀνάξια πεπονθότος, τέκνων θ' ἅμα καὶ γυναικὸς ἀποστερουμένου! ὦ πικρὰ θέλγητρα φιλημάτων, σκυθρωπαὶ δὲ τῶν ὅπλων τούτων ὁμιλίας· ἀπορῶ γὰρ πότερον, σώσω ταῦτα τοῦ λοιποῦ, ἢ ἀποβάλω; εἰ μὲν γὰρ τὸ πρῶτον, ἀρτώμενά μου τῶν ὤμων, κατεροῦσί μου ἐκεῖνα. Ἡράκλεις, δι' ὑμῶν τούς τε παῖδας καὶ τὴν μητέρα αὐτῶν ἀνεῖλες, πῶς οὖν ἡμᾶς τοὺς τῶν σαυτοῦ τέκνων φονέας φέρεις; εἶτ' ἐγὼ, τί φάσκων, οἴσω ταῦτα; εἰδ' αὖ μεθείην, οἷς ἀνὰ πᾶσαν τὴν Ἑλλάδα μέγ' ἠράμην κλέος, τὰ κάλλιστα ἐκπράξας, εὔληπτον ἐμαυτὸν ὑποσχὼν τοῖς ἐχθροῖς, αἰσχρῶς ἀποθανοῦμαι· οὐκοῦν ἀθλίως μὲν, ἀλλ' οὖν σωστέον ἂν εἴη ταῦτα. Θησεῦ, ἕν μοι τῷ ἀθλίῳ χάρισαι αὐτὸς ἐκεῖνο, ἕπου μετ' ἐμοῦ πρὸς Ἄργος, ὅπου δεῖ με ἐλθόντα πρῶτον, τὸν κύνα παραδοῦναι Εὐρυσθεῖ· δέος γὰρ, μὴ μόνος ὢν, δράσω τι ἀνήκεστον αὐτὸς ἐμαυτὸν, τῇ τῶν παίδων ἐξαχθεὶς λύπῃ. Ὦ Καδμεία γῆ, καὶ πᾶς λαὸς Θηβαίων, κείρασθε συναλγήσατε, συμπενθήσατε, ἐκφέρετε τοὺς παῖδας ἐκφορὰν ἀθλιωτάτην· ἁπλῶς δὲ κλαύσατε κἀμὲ μετὰ τῶν νεκρῶν· τῷ

Νεκρούς τε, κἀμέ· πάντες ἐξολώλαμεν,
Ἥρας μιᾷ πληγέντες ἀθλίῳ τύχῃ.
ΘΗ. Ἀνίστασ', ὦ δύστηνε, δακρύων δ' ἅλις.
ΗΡ. Οὐκ ἂν δυναίμην· ἄρθρα γὰρ πέπηγέ μου.
ΘΗ. Καὶ τοὺς σθένοντας γὰρ καθαιροῦσιν τύχαι.
ΗΡ. (Φεῦ!) αὐτοῦ γενοίμην πέτρος ἀμνήμων κακῶν!
ΘΗ. Παῦσαι· δίδου δὲ χεῖρ' ὑπηρέτῃ φίλῳ.
ΗΡ. Ἀλλ' αἷμα μὴ σοῖς ἐξομόρξωμαι πέπλοις.
ΘΗ. Ἔκμασσε, φείδου μηδέν. οὐκ ἀναίνομαι.
ΗΡ. Παίδων στερηθεὶς, παῖδ' ὅπως ἔχω σ' ἐμόν.
ΘΖ. Δίδου δέρῃ σὴν χεῖρ', ὁδηγήσω δ' ἐγώ.
ΗΡ. Ζεῦγός γε φίλιον· ἅτερος δὲ δυστυχής.
Ὦ πρέσβυ, τοιόνδ' ἄνδρα χρὴ κτᾶσθαι φίλον.
ΑΜ. Ἡ γὰρ τεκοῦσα τόνδε πατρὶς εὔτεκνος.
ΗΡ. Θησεῦ, πάλιν με στρέψον, ὡς ἴδω κέκνα.
ΘΗ. Ὡς δή τι φίλτρον τοῦτ' ἔχων, ῥᾴων ἔσῃ;
ΗΡ. Ποθῶ, πατρός τε στέρνα προσθέσθαι θέλω.
ΑΜ. Ἰδοὺ τάδ', ὦ παῖ· τἀμὰ γὰρ σπεύδεις φίλα·
ΘΗ· Οὕτω πόνων σῶν οὐκέτι μνήμην ἔχεις;
ΗΡ. Ἅπαντ' ἐλάσσω κεῖνα τῶνδ' ἔτλην κακά·
ΘΗ. Εἴ σ' ὄψεταί τις θῆλυν ὄντ', οὐκ αἰνέσει.
ΗΡ. Ζῶ σοι ταπεινός· ἀλλὰ προσθεῖναι δοκῶ.
ΘΗ. Ἄγαν γ'· ὁ κλεινὸς Ἡρακλῆς ποῦ κεῖνος ὤν;

---

1387. Προσθεῖναι δοκῶ] τοῦτ' ἐκ μὲν τοῦ προστίθεμαι, ἀλλ' οὐχὶ ἐκ τοῦ Θεῖνειν, οὐκ οἶδ' ὅ,τι φησι· εἰ δὲ ἀνάγοιμεν ἀνωτέρω τὴν ἔννοιαν εἰς τὸ προσθέσθαι στίχ. 1382, ἐχέτω, ὡς ἐν τῇ παραφράσει.

αὐτῷ γὰρ τῆς Ἥρας βληθέντες βέλει, πάντες ἐσμὲν ἀπολωλότες.

ΘΗ. Ἅλις δακρύων νῦν, ἀνίστασο, ὦ τάλας.

ΗΡ. Οὐ γὰρ ἂν δυναίμην, παγέντων μοι τῶν ἄρθρων.

ΘΗ. Οὐδὲν θαυμαστόν· καὶ γὰρ καὶ τῶν κρειττόνων κρατοῦσιν αἱ τύχαι.

ΗΡ. Φεῦ, φεῦ, γενοίμην λίθος, ὡς τῶν κακῶν ἀμνήμων εἴην.

ΘΗ. Παυσάμενος τούτων, δὸς τὴν χεῖρα τῷ σῷ φίλῳ.

ΗΡ. Μὴ τοῖς σοῖς ἱματίοις ἐξομόρξωμαι τὸ αἷμα·

ΘΗ. Οὐδὲν πρὸς ἔπος, ἔκμασσε, οὐκ ἀποφεύγω τοῦτο·

ΗΡ. Παίδων στερηθείς, ἄλλον σε, εὗρον παῖδα.

ΘΗ. Περιβαλοῦμαι τὴν σὴν χεῖρα· ἐγὼ δ' ἡγήσομαί σοι.

ΗΡ· Ζεῦγος μὲν φίλων ἄριστον· ἅτερος δὲ δυστυχής· ὦ πρέσβυ, τοιαύτους δεῖ κτᾶσθαι φίλους·

ΑΜ· Ἡ γὰρ πατρὶς αὐτοῦ εὐδαιμονεῖ ἐν τέκνοις·

ΗΡ· Θησεῦ, στρέψον με πάλιν, ἵνα ἴδω τὰ τέκνα αὖθις.

ΘΗ. Ἵνα τί; ἢ ἵνα ῥᾷον σχῇς ἐκ τῆς φιλοστοργίας;

ΗΡ. Πόθος γὰρ ἕλκει με πρός τε ταῦτα καὶ τὸ τοῦ πατρὸς περιπτύξασθαι στῆθος.

ΑΜ. Ἰδού σοι, ὦ παῖ, φίλα γε φίλῳ ταῦτά σοι χορηγεῖται.

ΘΗ. Οὕτω σύ, ὧν ἔτλης ἄθλων, οὐκέτ' ἔχεις μνήμην;

ΗΡ. Πάντα ἐκεῖν' οὐδὲν ἂν εἴη πρὸς τὰ παρόντα.

ΘΗ. Ἀλλ' εἴ τις ἴδοι σε οὕτως ἐκπεπτωκότα, μέμψεται πάντως.

ΗΡ. Ζῶ σοι ταπεινός, ἀλλ' ἀσπάσασθαι ἐκεῖνον θέλω.

ΘΗ. Θαυμαστὰ φής. Ἀλλὰ ποῦ ἐστιν ἐκεῖνος ὁ κλεινὸς Ἡρακλῆς;

ΗΡ. Σὺ ποῖος ἦσθα, νέρθεν ἐν κακοῖσιν ὤν;
ΘΗ. Ὡς ἐς τὸ λῆμα παντὸς ἦν ἥσσων ἀνήρ.
ΗΡ· Πῶς οὖν ἔτ' εἴπῃς, ὅτι συνέσταμαι κακοῖς;
ΘΗ. Πρόϐαινε.
ΗΡ. Χαῖρ', ὦ πρέσϐυ.
ΑΜ· Καὶ σύ μοι τέκνον
ΗΡ. Θάφθ', ὥσπερ εἶπον, παῖδας.
ΑΜ. Ἐμὲ δὲ τίς, τέκνον,
ΗΡ. Ἐγώ.
ΑΜ. Πότ' ἐλθών;
ΗΡ. Ἡνίκ' ἂν θάψῃς τέκνα.
ΑΜ. Πῶς:
ΗΡ. Ἐς Ἀθήνας πέμψομαι Θηϐῶν ἄπο.
Ἀλλ' ἐσκόμιζε τέκνα δυσκόμιστα γῇ.
Ἡμεῖς δ' ἀναλώσαντες αἰσχύναις δόμον,
Θησεῖ πανώλεις ἑψόμεσθ' ἐφολκίδες.
Ὅστις δὲ πλοῦτον, ἢ σθένος, μᾶλλον φίλων
Ἀγαθῶν πεπᾶσθαι βούλεται, κακῶς φρονεῖ.
ΧΟ. Στείχομεν οἰκτροὶ καὶ πολύκλαυτοι,
Τὰ μέγιστα φίλων ὀλέσαντες.

ΗΡ. Σύ δ' οὐ μέμνησαι, οἷος ἦς, πάσχων ἐν Ἅδου;

ΘΗ. Πῶς γὰρ οὔ; ταπεινὸν τὸ φρόνημα μάλιστα πάντων ἔσχον.

ΗΡ. Πῶς οὖν ἐπιτιμᾷς μοι τοῖς παροῦσιν ἐνδιδόντι κακοῖς;

ΘΗ. Ἴθι πρόσω.

ΗΡ. Χαῖρ', ὦ πάτερ.

ΑΜ. Νὴ καὶ σύγ' ὦ τέκνον.

ΗΡ. Καὶ θάψον, ὡς ἔφην, τοὺς ἐμοὺς παῖδας.

ΑΜ. Ἀλλ' ἐμέ γε τὸν ἄθλιον τίς θάψει, τέκνον;

ΗΡ. Ἐγώ.

ΑΜ. Πῶς, πότ' ἐπανήκων;

ΗΡ. Ἐπειδὰν παραδῶς τοὺς παῖδας τάφῳ, μεταπέμψομαί σε ἀπὸ Θηβῶν εἰς Ἀθήνας· ἀλλὰ νῦν ποίει τὴν ἐκφορὰν τοῖς δυστυχέσι τούτοις· ἡμεῖς δὲ αἰσχρῶς τὸν οἶκον καταστρέψαντες τοῦτον, ἑψόμεθα νῦν Θησεῖ ὡς πανώλεις ἐφολκίδες. Ὅστις οὖν πλοῦτον, ἢ ἰσχὺν, ἢ ὁτιοῦν φίλων ἀγαθῶν περὶ πλείονος ποιεῖται, ἐκπέπτωκε τοῦ φρονεῖν.

ΧΟ. Ἡμεῖς δι' ἴωμεν, πολλὰ καταχέοντες δάκρυα, ἐφ' οἷς τὸν ἄριστον ἀπωλέσαμεν φίλον.

# ΗΡΑΚΛΕΙΔΑΙ.

# ΥΠΟΘΕΣΙΣ.

Ἰόλαος υἱὸς μὲν ἦν Ἰφικλέους, ἀδελφιδοῦς δὲ Ἡρακλέους. ἐν νεότητι δ' ἐκείνῳ συστρατευσάμενος, ἐν γήρᾳ τοῖς ἐξ ἐκείνου βοηθὸς εὔνους παρέστη· Τῶν γὰρ παίδων ἐξ ἁπάσης ἐλαυνομένων γῆς ὑπ' Εὐρυσθέως, ἔχων αὐτοὺς, ἦλθεν εἰς Ἀθήνας, κἀκεῖ προσφυγὼν τοῖς θεοῖς, ἔσχε τὴν ἀσφάλειαν, Δημοφῶντος τῆς πόλεως κρατοῦντος. Κοπρέως δὲ, τοῦ Εὐρυσθέως κήρυκος ἀποσπᾶν θέλοντος τοὺς ἱκέτας, ἐκώλυσεν αὐτόν· ὁ δὲ ἀπῆλθε, πόλεμον ἀπειλήσας προσδέχεσθαι. Δημοφῶν δὲ τούτου μὲν ὠλιγώρει· χρησμῶν δὲ αὐτῷ νικηφόρων γενηθέντων, ἐὰν Δήμητρι τὴν εὐγενεστάτην παρθένων σφάξῃ, τοῖς λόγοις βαρέως ἔσχεν· οὔτε γὰρ ἰδίαν, οὔτε τῶν πολιτῶν τινος θυγατέρα χάριν τῶν ἱκετῶν ἀποκτεῖναι, δίκαιον ἡγεῖται. τὴν μαντείαν δὲ προγνοῦσα μία τῶν Ἡρακλέους παίδων, Μακαρία, τὸν θάνατον ἑκουσίως ὑπέστη. ταύτην μὲν οὖν εὐγενῶς ἀποθανοῦσαν ἐτίμησεν· αὐτοὶ δὲ τοὺς πολεμίους ἐπιγνόντας, εἰς τὴν μάχην ὥρμησαν.

ΤΑ

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΙΟΛΑΟΣ.
ΧΟΡΟΣ.
ΜΑΚΑΡΙΑ.
ΑΛΚΜΗΝΗ.
ΕΥΡΥΣΘΕΥΣ.
ΚΟΠΡΕΥΣ.
ΔΗΜΟΦΩΝ.
ΘΕΡΑΠΩΝ.
ΑΓΓΕΛΟΣ.

# ΗΡΑΚΛΕΙΔΑΙ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

ΙΟΛΑΟΣ, ΚΟΠΡΕΥΣ, ΧΟΡΟΣ, ΔΗΜΟΦΩΝ.

10\. ΠΑΛΑΙ ποτ' ἐστὶ τοῦτ' ἐμοὶ δεδογμένον·
Ὁ μὲν, δίκαιος τοῖς πέλας πέφυκ' ἀνήρ·
Ὁ δ' ἐς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον,
Πόλει τ' ἄχρηστος καὶ συναλλάσσειν βαρὺς,
Αὑτῷ δ' ἄριστος· οἶδα δ' οὐ λόγῳ μαθών.
Ἐγὼ γὰρ αἰδοῖ καὶ τὸ συγγενὲς σέβων,
Ἐξὸν κατ' Ἄργος ἡσύχως ναίειν, πόνων
Πλείστων μετέσχον εἷς ἀνὴρ Ἡρακλέει,
Ὅτ' ἦν μεθ' ἡμῶν· νῦν δ' ἐπεὶ κατ' οὐρανὸν
Ναίει, τὰ κείνου τέκν' ἔχων ὑπὸ πτεροῖς
Σώζω τάδ, αὐτὸς δεόμενος σωτηρίας.

2\. Ὁ μὲν Δίκαιος] ἢ λείπει στίχος ὅλος εἰς ἀποπλήρωσιν τῆς ἐννοίας. ἢ ἔλλειψιν ἔχει ὁ λόγος ἐπιθέτου τινός· οἷον, χρηστὸς, ὠφέλιμος· ἵνα ᾖ, ὁ μὲν δίκαιος καὶ μὴ εἰς κέρδος βλέπων, ὠφέλιμός ἐστι τοῖς πέλας· ὁ δὲ πλεονέκτης;

# ΗΡΑΚΛΕΙΔΑΙ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ.

ΙΟΛΑΟΣ, ΚΟΠΡΕΥΣ, ΧΟΡΟΣ, ΔΗΜΟΦΩΝ.

10. ΠΑΛΑΙ μὲν ἐγὼ οἶδα πείσας ἐμαυτὸν, ὡς τῶν ἀνθρώπων ὁ μὲν, δίκαιός ἐστι τοῖς πέλας· ὁ δὲ πλεονέκτης καὶ προπέτης εἰς κέρδος ὢν, κἂν αὐτὸς ἑαυτῷ ποιῇ τὰ συμφέροντα, ἀλλὰ τῇτε πόλει ὅλῃ ἄχρηστος, καὶ πρὸς ἕκαστον ἰδίᾳ ἐν συναλλαγαῖς βαρὺς καὶ ἀφόρητος γίγνεται· οἶδα δὲ τοῦτ' οὐκ ἀκηκοὼς, ἀλλ' αὐτὸς ἔργῳ δείξας· ἐξὸν γάρ μοι ἡσυχίαν ἐν Ἄργει ἄγειν ἐν πᾶσιν ἀγαθοῖς, ἐπειδὴ πέφυχ' ὡς μάλιστα αἰδεῖσθαι τὸ συγγενὲς, καὶ φίλους τιμᾶν, καὶ πρὶν μὲν, φέρων ἐμαυτὸν, μόνος πάντων, εἰς προὔπτους κινδύνους ἐνέβαλον, Ἡρακλεῖ τῷ πάνυ, ὅτ' ἦν μεθ' ἡμῶν, γενναίως παρασπίζων, καὶ νῦν εἰς οὐρανὸν ἐκείνου μεταστάντος, τῶν παίδων αὐτοῦ τυγχάνω προασπίζων, καίπερ αὐτὸς ἐμαυτῷ δεόμενος εὑρέσθαι σωτηρίαν· ἅμα γὰρ ἐκείνου

---

καὶ μόνον τοῦ οἰκείου συμφέροντος προορώμενος, ἐπιβλαβής· ἢ ἔστω μᾶλλον

Ἐπεὶ γὰρ αὐτῶν γῆς ἀπηλλάχθη πατὴρ,
Πρῶτον μὲν ἡμᾶς ἤθελ' Εὐρυσθεὺς κτανεῖν.
Ἀλλ' ἐξέδραμεν· καὶ πόλις μὲν οἴχεται,
Ψυχὴ δ' ἐσώθη· φεύγομεν δ' ἀλώμενοι,
Ἄλλην ἀπ' ἄλλης ἐξορίζοντες πόλιν.
Πρὸς τοῖς γὰρ ἄλλοις καὶ τόδ' Εὐρυσθεὺς κακοῖς
Ὕβρισμ' ἐς ἡμᾶς ἠξίωσεν ὑβρίσαι·
Πέμπων, ὅπη γῆς πυνθάνοιθ' ἱδρυσμένους,
Κήρυκας, ἐξαιτεῖ τε, κἀξείργει χθονὸς,
Πόλιν προτείνων Ἄργος οὐ σμικρὰν φίλων
Ἐχθρὰν γ' ἔσεσθαι, χαὐτὸν εὐτυχοῦνθ' ἅμα.
Οἱ δ', ἀσθενῆ μὲν τἀπ' ἐμοῦ δεδορκότες,
Σμικροὺς δὲ τούσδε καὶ πατρὸς τητωμένους,
Τοὺς κρείσσονας σέβοντες, ἐξείργουσι γῆς.
Ἐγὼ δὲ σὺν φεύγουσι συμφεύγω τέκνοις,
Καὶ σὺν κακῶς πράσσουσι συμπράσσω κακῶς,
Ὀκνῶν προδοῦναι, μή τις ὧδ' εἴπῃ βροτῶν·
Ἴδεσθ', ἐπειδὴ παισὶν οὐκ ἔστιν πατὴρ,
Ἰόλαος οὐκ ἤμυνε συγγενὴς γεγώς.
Πάσης δὲ χώρας Ἑλλάδος τητώμενοι,
Μαραθῶνα καὶ σύγκληρον ἐλθόντες χθόνα,
Ἱκέται καθεζόμεσθα βώμιοι θεῶν,
Προσωφελῆσαι· πεδία γὰρ τῆσδε χθονὸς

ὥσπερ καὶ παρεφράσαμεν ἀντικρύ. 14. Ἐξέδραμεν] ἐν ἄλλοις κεῖται, ἐξέδραμιν· ἀλλὰ τί μὴ ὅτι γραπτέον, ἐξέδραμον, ἐν πρώτῳ προσώπῳ; οὐ γὰρ ἂν εἴη ἄλλως γενέσθαι κατὰ συγκοπὴν ἐκ τοῦ ἐξεδράμομεν· ἔσω δ' οὖν τὸ ῥῆμα

ἀπαλλαγέντος, Εὐρυσθεὺς ἡμᾶς ἐζήτει ἀποκτεῖναι· ἀλλ' ἐκφυγόντες, διεσώθημεν μόλις, τῆς φίλης ἀποστερηθέντες πατρίδος· καὶ νῦν ἀλώμενοι φεύγομεν, ἐξ ἄλλης ἄλλην ἐξαμείβοντες πόλιν· πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς οὐδ' ἐκείνης τῆς ὕβρεως ἀπέχεται Εὐρυσθεύς. ὅπη γὰρ ἂν μάθη ἡμᾶς καταφυγόντας, πέμπων κήρυκας, ἐξαιτεῖ, καὶ οὐκ ἐᾷ αὐτοῦ ἐνδιαιτᾶσθαι· ἑαυτόν τε προτείνων ἰσχυρὸν ὄντα, καὶ πρὸς τὸ Ἄργος αὐτὸ οὐ μικρὰν ἐκείνοις ἀντὶ φιλίας ἔχθραν ἔσεσθαι ἀπειλῶν, εἰ μὴ ἐξελάσειαν ἡμᾶς· οἱ δὲ, τό,τ' ἐμὸν ἀσθενὲς ἐπιςάμενοι, καὶ τούτους ἀνηλίκους ἐν ὀρφανίᾳ ὁρῶντες γεγενημένους, πειθόμενοι τῷ ἰχυροτέρῳ, ἐξελαύνουσιν ἡμᾶς τῆς ἑαυτῶν ἀρχῆς πανταχόθεν· κἀγὼ νῦν συμφεύγω φεύγουσι τοῖς τέκνοις, καὶ συνδυστυχῶ δυστυχοῦσι, τὴν παρὰ τῶν ἀνθρώπων παραιτούμενος μέμψιν, μήτις ποτ' εἴπῃ, ἴδετε Ἰόλαον, ὅτι οὐκ ἀμύνει παισὶν ὀρφανοῖς, εἰς οὐδὲν τὸ συγγενὲς λογιζόμενος· Διὸ ἀπὸ πάσης διωκόμενοι τῆς Ἑλλάδος, ἐλθόντες ἐνταῦθα ἐς τὸν Μαραθῶνα· ἔνθ' ἡ ψῆφος πᾶσι πολίταις ἴση, καθήμεθα ἱκέται ἐπὶ τῶν βωμῶν σωτηρίας δεό-

---

ἐκδιδράσκειν, ὁ ἀόριςος ἐξέδραν ἐκ συγκοπῆς, ὃ ἐν τρίτῳ προσώπῳ καὶ παρὰ τοῖς πεζοῖς εὔχρηστον· οἷον, ἀπέδρα πᾶσα λύπη καὶ στεναγμός. 16. Ἐξορίζοντες] ἐξερχόμενοι τῶν ὅρων· ἢ ἐξαμείβοντες. 21. Προτείνων] ἐν ἄλλοις Προτιμῶν. 22. Ἐχθράν τ' ἔσεσθαι] οὕτως ἐτόλμησα μεταβαλεῖν τὸ χωρίον ἀντὶ τοῦ Ἔχθραν γε θέσθαι, καὶ ἐν ἄλλοις, Ἔχραν τε θέσθαι, καὶ ἐν ἄλλοις, Ἔχθραν γενέσθαι· ἀναπτυχθήσεται δὲ ὡδί· Προτείνων (προβάλλων) ὅτι τὸ Ἄργος, οὐ μικρὰ πόλις φίλων, ἐχθρὰ (αὐτοῖς) ἔσται. 30. Συγγενὴς] Ἡρακλῆς γὰρ καὶ

Δισσοὺς κατοικεῖν Θησέως παῖδας λόγος,
Κλήρῳ λαχόντας, ἐκ γένους Πανδίονος,
Τοῖσδ' ἐγγὺς ὄντας· ὧν ἕκατι, τέρμανας
Κλεινῶν Ἀθηνῶν τήνδ' ἀφικόμεσθ' ὁδόν.
Δυοῖν γερόντοιν δὲ στρατηγεῖται φυγή·
Ἐγὼ μὲν ἀμφὶ τοῖσδε καλχαίνω τέκοις,
Ἡ δ' αὖ τὸ θῆλυ παιδὸς Ἀλκμήνη γένος,
Ἔσωθε ναοῦ τοῦδ' ὑπηγκαλισμένη,
Σώζει· νέας γὰρ παρθένους αἰδούμεθα
Ὄχλῳ πελάζειν κἀπιβωμιοστατεῖν.
Ὕλλος δ', ἀδελφοί θ', οἷσι πρεσβεύει γένος,
Ζητοῦσ', ὅπη γῆς πύργον οἰκιούμεθα,
Ἢν τῆσδ' ἀπωθώμεσθα πρὸς βίαν χθονός.
Ὦ τέκνα, τέκνα, δεῦρο, λαμβάνεσθ' ἐμῶν
Πέπλων· ὁρῶ κήρυκα τόνδ' Εὐρυσθέως
Στείχοντ' ἐφ' ἡμᾶς, οὗ διωκόμεσθ' ὕπο,
Πάσης ἀλῆται γῆς ἀπεστερημένοι.
Ὦ μῖσος, εἴθ' ὄλοιο χὠ πέμψας σ' ἀνήρ!
Ὡς πολλὰ δὴ καὶ τῶνδε γενναίῳ πατρὶ
Ἐκ τοῦδε ταὐτοῦ στόματος ἤγγειλας κακά!

---

Ἴφικλος ἀδελφοί· Ἰφίκλου δὲ παῖς Ἰόλαος ἦν. 35. Δισσοὺς παῖδας] εἰσὶ δ' οὗτοι Δημοφῶν καὶ Ἀκάμας. ἀλλ' οὐκ ἐπὶ τούτων ταῖς ἀληθείας ἐγένετο ταῦτ' ἀλλ' ἐπὶ Θησέως μάλιστα τοῦ πατρὸς αὐτῶν. 37. Τοῖς δ' ἐγγὺς ὄντας] προσάκοντως τοῖσδε τοῖς Ἡρακλείδαις· διττὴ δ' ἂν εἴη αὐτοῖς ἡ συγγένεια· ἡ μὲν, ἐξ ἀνθρώπων· ἡ δὲ ἐκ θεῶν· ἐκείνη μὲν, εἴγε Πιτθεὺς καὶ Λυσιδίκη ἀδελφοὶ ἦσαν ἐκ Πέλοπος καὶ Ἱπποδαμείας, ἐκ μὲν οὖν Πιτθέως Αἴθρα; Θησεὺς, Δημοφῶν· ἐκ δὲ Λυσιδίκης, Ἀλκμήνη, Ἡρακλῆς, Ἡρακλεῖδες· ὥσ' εἶναι τοὺς Ἡρακλείδας δὶς ἐξανεψίους Δημοφῶντος. Ἐκ θεῶν δ' αὖ, Ζεὺς καὶ Ποσειδῶν ἀδελ-

μενοι· ἄρχειν γὰρ ἐνταῦθα φασὶ τοὺς παῖδας τοῦ Θησέως, ἐκ κλήρου λαχόντας τοῦτο, ὡς ἐκ Πανδίονος ἄνωθεν κατιόντας, καὶ τοῖσδε τοῖς παισὶ τοῦ Ἡρακλέους προσήκοντας· διὸ εἰς τὴν χώραν ταύτην τῶν περικλεῶν Ἀθηνῶν ἐσμὲν καταπεφευγότες, δύο γέροντες δισσῶν ἀνηλίκων ἐν φυγῇ φροντίδα ποιούμενοι, ἐγὼ μὲν, τῶν ἀῤῥένων· ἡ δὲ γεραιὰ Ἀλκμήνης, τὸ θῆλυ ὑποκολπομένη, ἐντὸς τοῦ ναοῦ τούτου ὑποθάλπουσα, περισώζει· αἰδὼς γὰρ ἔχει ἡμᾶς, παρθένους οὔσας, παρ' ὄχλῳ φαίνεσθαι ἱκετευούσας ἐπὶ τοῦ βωμοῦ. Ὕλος δὲ, πρεσβύτερος ὢν ἡλικίᾳ τῶν ἄλλων, ζητεῖ περιϊὼν, ποῖ ποτε πύργων ἐλθόντες, καταφευξούμεθα, εἰ κἀκ ταύτης ἐξελασθείημεν. Ἀλλ' ὑμεῖς, ὦ τέκνα, δεῦτε τῶν ἐμῶν προσίσχεσθε πέπλων· ὁρῶ γὰρ ἐκεῖνον κήρυκα παρ' Εὐρυσθέως σπεύδοντα ἐφ' ἡμᾶς, ὑφ' οὗ τυγχάνομεν ἐκ πάσης διωκόμενοι χώρας· ὦ κατάρατ' ἀνδρῶν ἁπάντων μόνος, ὄλοιο σὺ αὐτὸς, καὶ ὅς σε ἔπεμψεν ἐνταῦθα· σὺ γὰρ ἐκ τοῦ αὐτοῦ στόματος καὶ τῷ τούτων μεγαλοθύμῳ καὶ γενναίῳ πατρὶ πολλὰ πολλάκις κακὰ τυγχάνεις προενηνοχώς.

---

φοί· ἐκ μὲν Διὸς γέγονεν Ἡρακλῆς· ἐκ δὲ Ποσειδῶνος Θησεύς· Ἡρακλεῖδαι οὖν ἐξανέψιοι τοῖς Θησείδαις. 52. Ὦ μῖσος] ὦ μισητέ· ἴσως γραπτέον μᾶλλον, ὦ μῦσος· περὶ τούτου δὲ καὶ Ὅμηρος. Ἰλ. Ο. στίχ. 639.

» Κοπρῆος φίλον υἱὸν, ὃς Εὐρυσθῆος ἄνακτος
» Ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ . . .

Ὁ δὲ Σχολιαστής· Οὗτος δὲ ὁ Κοπρεὺς ἦν κήρυξ Εὐρυσθέως, τοῦ τῶν Ἀργείων βασιλέως, ὃς τὰς παρ' ἐκείνου ἐντολὰς ἔλεγε τῷ Ἡρακλεῖ, τῶν ἄθλων ἕνεκα ἔξω τῆς πόλεως μένοντι· δεδοικὼς γὰρ αὐτὸν ὁ Εὐρυσθεὺς, οὐκ εἴα ἔνδον εἰ-

ΚΟ. Ἤπου καθῆσθαι τήνδ' ἕδραν καλὴν δοκεῖς;
Πόλιν τ' ἀφῖχθαι σύμμαχον, κακῶς φρονῶν.
Οὐ γάρ τις ἐστὶν, ὃς πάροιθ' αἱρήσεται
Τὴν σὴν ἀχρεῖον δύναμιν ἀντ' Εὐρυσθέως.
Χώρει· τί μοχθεῖς ταῦτ'; ἀνίστασθαί σε χρὴ
Ἐς Ἄργος, οὗ σε λεύσιμος μένει δίκη.
ΙΟ. Οὐ δῆτ'· ἐπεί μοι βωμὸς ἀρκέσει θεοῦ,
Ἐλευθέρα τε γαῖ', ἐν ᾗ βεβήκαμεν.
ΚΟ. βούλει πόνον μοι τῆδε προσθεῖναι χερί;
ΙΟ. Οὔτοι βίᾳ γέ μ', οὐδὲ τούσδ' ἄξεις λαβών·
ΚΟ. Γνώσει σύ· μάντις δ' ἦσθ' ἄρ' οὐ καλὸς τάδε.
ΙΟ· Οὐκ ἂν γένοιτο τοῦτ', ἐμοῦ ζῶντός ποτε,
ΚΟ· Ἄπαιρ'· ἐγὼ δὲ τούσδε, κἂν σὺ μὴ θέλῃς,
Ἄξω, νομίζων, οὗπέρ εἰσ', Εὐρυσθέως·
ΙΟ. Ὦ τὰς Ἀθήνας δαρὸν οἰκοῦντες χρόνον,
Ἀμύνεθ'· ἱκέται δ' ὄντες Ἀγοραίου Διὸς,
Βιαζόμεσθα καὶ στέφη μιαίνεται,
Πόλει τ' ὄνειδος καὶ θεῶν ἀτιμία·
ΧΟ. Ἔα! ἔα! τίς ἡ βωὴ βωμοῦ πέλας
Ἕστηκε; ποίαν συμφορὰν δείξει τάχα;
ΙΟ· Ἴδετε τὸν γέροντ' ἀμαλὸν ἐπὶ πέδῳ (στρ. α')
Χύμενον· ὦ τάλας·

---

σελθεῖν. 63. Χερὶ] ἐν ἄλλοις Περί. 70. Ἀμύνετε] ἑλκόμενος Ἰόλαος ὑπὸ τοῦ Κοπρέως, πίπτει χαμαὶ, καὶ ἐπικαλεῖται τοὺς Ἀθηναίους· Ἀγοραῖος δὲ Ζεὺς ὁ ἐν τῇ τῶν Ἀθηνῶν Ἀγορᾷ καθιδρυμένος. 71. Καὶ στέφη μιαίνεται] ἃ οἱ ἱκέται φέροντες, ἤρτων καὶ ἀπὸ τῶν βωμῶν· ὡς κατωτέρω στίχ. 125. 75. Ἀμαλὸν] ἀσθενῆ· ἐν ἄλλοις δὲ κεῖται, Γέροντα μᾶλλον· οὐ καλῶς· καὶ ἐν ἄλλοις

ΚΟ. Τί δή; ἆρ' ἐς πόλιν σύμμαχον δοκεῖς ἐλθεῖν ἐνταῦθα, καὶ ἐν τῷ ἀσφαλεῖ σοι τὰ πράγματα κεῖσθαι, εἰ νοῦν τυγχάνεις ἔχων; τίς γὰρ ἔσθ', ὅς τις τὸ Εὐρυσθέως ἂν παρωσάμενος κράτος, τὰ σὰ αἱρήσεται μηδὲν ὄντα; χώρει ἐντεῦθεν· πρός τί σοι ὁ πόνος οὗτος; δεῖ γὰρ δὴ εἰς Ἄργος ἐλθόντα σε καταλευσθῆναι.

ΙΟ. Οὔμενουν· ὅ,τε γὰρ βωμὸς ὁ τοῦ θεοῦ, καὶ ἡ χώρα ἐλευθέρα γε οὖσα, ἐν ᾗ ἐσμὲν καταπεφευγότες, ἀμφότερ' εὖ οἶδ' ὅτι ἐπαρκέσουσί μοι πρὸς σωτηρίαν.

ΚΟ. Βούλει ἆρα σύγε ἀναρπασθῆναι βίᾳ;

ΙΟ. Οὐκ ἂν οὔτε τούτους, οὔτ' ἂν ἐμὲ ἐξάγοις οὕτω.

ΚΟ. Εἴσῃ αὐτίκα, κακὸς ἐν τούτοις γεγενημένος μάντις.

ΙΟ. Ἐμοῦ δὲ ζῶντος, οὐκ ἂν γένοιτο τοῦτο.

ΚΟ. Μετάστηθι, ἐκχώρει· ἐγὼ γὰρ ἄξω λαβὼν τούτους καὶ ἄκοντός σου, ὡς Εὐρυσθέως ὄντας.

ΙΟ. Ὦ τὰς κλεινὰς πάλαι Ἀθήνας κατοικοῦντες, ἀμύνεθ' ἡμῖν· ἱκέται γὰρ Ἀγοραίου καθεζόμενοι Διός, βιαζόμεθα ὑπὸ τούτου· ὃ μέγιστον ὄνειδός ἐστι τῇ πόλει, τῶντε στεμμάτων μιαινομένων, καὶ θεῶν αὐτῶν ἀτιμαζομένων.

ΧΟ. Τίς ἡ βοὴ αὕτη παρὰ τῷ βωμῷ; τίνα συμφορὰν προμηνύει;

ΙΟ. Ἴδετέ με γέροντα ἀσθενῆ, κεχυμένον κατὰ γῆς· ὦ τάλας ἐγώ, οἷα πάσχω.

---

γέροντα μέλεον. 76. Χύμενον] χύμι ῥῆμα οὐκ ἔστιν εὑρεῖν· γραπτέον οὖν ἂν εἴη, Κείμενον, ἢ Κεχυμένον, ἢ ἀναυξήτως Χυμένον. 80. Τετράπολιν] Στράβων

ΧΟ. Πρὸς τοῦ πότ' ἐν γῇ πτῶμα δύστηνον πιτνεῖς;

* * *

ΙΟ. Ὅδ', ὦ ξένοι, με, σοὺς ἀτιμάζων θεοὺς, (στ. β'.)
Ἕλκει βιαίως Ζηνὸς ἐκ προβωμίων·

ΧΟ. Ὅδ', ἐκ τίνος γῆς, ὦ γέρον· τετράπτολιν
Ξύνοικον ἦλθες λαὸν,
Ἢ πέραθεν ἀλίῳ πλάτᾳ
Κατέσχετ', ἐκλιπόντες Εὐβοΐδ' ἀκτάν;

ΙΟ. Οὐ νησιώτην, ὦ ξένοι, τρίβω βίον,
Ἀλλ' ἐκ Μυκηνῶν σὴν ἀφίγμεθα χθόνα.

ΧΟ. Ὄνομα τί σε, γέρον, Μυκηναῖος ὠ-
Νόμαζεν λαός;

ΙΟ. Τὸν Ἡράκλειον ἴστε που παραστάτην
Ἰόλαον; οὐ γὰρ σῶμ' ἀκήρυκτον τόδε.

ΧΟ. Οἶδ' εἰσακούσας καὶ πρίν· ἀλλὰ τοῦ ποτ' ἐν (μεσῳδός.)
Χειρὶ σᾷ κομίζεις κόρους
Νεοτρεφεῖς, φράσον.
Ἡρακλέους οἵδ' εἰσὶ παῖδες, ὦ ξένοι,
Ἱκέται σέθεν τε, καὶ πόλεως ἀφιγμένοι.

ΧΟ. Τί χρέος; ἢ λόγων πόλεως, ἔνεπέ μοι, (Ἀντ. ά.)
Μελόμενοι τυχεῖν;

ΙΟ Μήτ' ἐκδοθῆναι, μήτε πρὸς βίαν θεῶν
Τῶν σῶν ἀποσπασθέντες, εἰς Ἄργος μολεῖν.

ΚΟ. Ἀλλ' οὔτι τοῖς σοῖς δεσπόταις τάδ' ἀρκέσει, (Ἀντ. β'.)
Οἳ σοῦ κρατοῦντες, ἐνθάδ' εὑρίσκουσί σε.

ΧΟ. Εἰκὸς θεῶν ἱκτῆρας αἰδεῖσθαι, ξένε,

---

(Βιβλ. 8.) φησὶ ταῦτα περὶ τῆς Τετραπόλεως. Ξοῦθος δὲ τὴν Ἐρεχθέως θυγα-

ΧΟ. Πρὸς τίνος δὲ πεσὼν αὐτὸς, τοιαῦτα πάσχεις;

ΙΟ. Ὁ ξένος οὗτος ἐξέλκει με τῶν τοῦ Διὸς προβωμίων, τοὺς σοὺς θεοὺς εἰς οὐδὲν λογιζόμενος.

ΧΟ. Οὗτος; τὶς δὲ καὶ ποδαπὸς ὢν αὐτὸς, ὦ γέρον, ἧκες ᾧδ' ὡς ἡμᾶς τοὺς τὴν τετράπολιν οἰκοῦντας; ἢ ἐκ τῆς Εὐβοίας ἐςὲ διαπεπλευκότες δεῦρο;

ΙΟ. Οὔμενουν· οὐ γὰρ ἐν νήσοις ἡμῖν ἐστιν ὁ βιος· ἐκ δὲ Μηκυνῶν ἐσμὲν ἐληλυθότες.

ΧΟ. Ακούεις δὲ τίς παρὰ τῶν Μηκυναίων;

ΙΟ. Οὐκ ἀνώνυμος, οὐδ' ἀκλεὴς τυγχάνω γεγενημένος, εἴπερ ἴς' ἀκηκοότες Ἰόλαον τὸν Ἡρακλέους παραςάτην.

ΧΟ. Οἶδ' ἀκούσας τοῦτο πάλαι· ἀλλὰ τίνας τούτους χειραγωγεῖς τοὺς παῖδας;

ΙΟ. Ἔχεις τοὺς Ἡρακλείδας σοῦ τε, ὦ ξένε, καὶ τῆς πόλεως ἱκέτας ἐνταῦθα καθημένους.

ΧΟ. Τί χρῆμα βουλομένους, ἢ λόγων τυχεῖν παρὰ τῆς πόλεως;

ΙΟ. Μήτ' ἐκδότους γενέσθαι ἐχθρῷ ἀνδρὶ τουτωΐ, μήτε βίᾳ ἀπὸ τῶν σῶν θεῶν ἀποσπασθέντας, εἰς Ἄργος ἀπαχθῆναι.

ΚΟ. Τί ταῦτα ληρεῖς ἔχων; τοῖς γὰρ σοῖς δεσπόταις οὐκ ἀνεκτὰ ἔςαι ταῦτα· οἳ κρείττους ὄντες, ἔχουσί σε ὧδε.

ΧΟ. Ἄπεχ', ὦ ξένε· δεῖ γὰρ αἰδεῖσθαι τοὺς τῶν θεῶν ἱκέ-

---

, τέρα γῆμας, ᾤκισε τὴν Τετράπολιν τῆς Ἀττικῆς, Οἰνόην, Μαραθῶνα, Προβάλινθον, καὶ Τρικόρυθον. 95. Μελόμενοι] ἐν ἄλλοις μελομένῳ κεῖται· ὁ δὲ νοῦς, μήτι βούλονται προβαλεῖν τι τῇ πόλει· καὶ ἀκοῦσαί τι παρ' αὐτῆς;

Καὶ μὴ βιαίῳ χειρὶ
Δαιμόνων ἀπολιπεῖν σ' ἕδη·
Πότνια γὰρ Δίκα τάδ' οὐ πείσεται.
ΚΟ· Ἔκπεμπέ νυν γῆς τούσδε τοὺς Εὐρυσθέως,
Κοὐδὲν βιαίῳ τῆδε χρήσομαι χερί.
ΚΟ. Ἄθεον ἱκεσίαν μεθεῖναι πόλει
Ξένων προστροπάν.
ΚΟ. Καλὸν δέ γ' ἔξω πραγμάτων ἔχειν πόδα,
Εὐβουλίας τυχόντα τῆς ἀμείνονος.
ΧΟ. Οὐκοῦν τυράννῳ τῆσδε γῆς φράσαντά σε
Χρῆν ταῦτα τολμᾶν, ἀλλὰ μὴ βίᾳ ξένους
Θεῶν ἀφέλκειν, γῆν σέβοντ' ἐλευθέραν.
ΚΟ. Τίς δ' ἐστὶν χώρας τῆσδε καὶ πόλεως ἄναξ;
ΧΟ. Ἐσθλοῦ πατρὸς παῖς Δημοφῶν ὁ Θησέως.
ΚΟ. Πρὸς τόνδ' ἀγών τις ἆρα τοῦδε τοῦ λόγου
Μάλιστ' ἂν εἴη· τἄλλα δ' εἴρηται μάτην.
ΧΟ. Καὶ μὴν ὅδ' αὐτὸς ἔρχεται σπουδὴν ἔχων
Ἀκάμας τ' ἀδελφὸς, τῶνδε ἐπήκοοι λόγων.
ΔΗ. Ἐπείπερ ἔφθης, πρέσβυς ὢν, νεωτέρους,
Βοηδρομήσας τήνδ' ἐπ' ἐσχάραν Διὸς,
Λέξον τίς ὄχλον τόνδ' ἀθροίζεται τύχη.
ΧΟ. Ἱκέται κάθηνται παῖδες οἵδ' Ἡρακλέους,
Βωμὸν καταστέψαντες, ὡς ὁρᾷς, ἄναξ,
Πατρὸς τε πιστὸς Ἰόλεος παραστάτης.
ΔΗ. Τί δῆτ' ἰϋγμῶν ἥδ' ἐδεῖτο συμφορά;
ΧΟ· Βίᾳ νιν οὗτος τῆσδ' ἀπ' ἐσχάρας ἄγειν

108. Ξένων προστροπάν] ἐν ἄλλοις κεῖται, ξένων πρὸς τὸ πᾶν· προστροπὴ μέν

τας· μὴ δὲ χειρὶ βιαίᾳ σε τῶν βωμῶν ἔξω γενέσθαι· οὐ γὰρ ἀνεκτὸν τῇ σεβασμίᾳ δίκῃ.

ΚΟ. Ἐξέλασον τῆς χώρας τούτους, ὡς Εὐρυσθεῖ προσανήκοντας· καὶ χεὶρ οὐδεμία οὐδένα παρασυρεῖ βιαίως,

ΧΟ. Ἀσεβὲς ἂν εἴη τῇ πόλει πανταχόθεν τῆς τῶν ξένων ἱκεσίας παραμελῆσαι.

ΚΟ. Ἄμεινον νῦν εὖ βουλεύεσθαι, ἢ ἁμαρτόντας, ὕστερον πράγματ' ἔχειν.

ΧΟ. Δεῖσε τοίνυν τὴν τῆς χώρας σεβόμενον ἐλευθερίαν, κοινῶσαι τὸ τόλμημα τῷ ταύτης κρατοῦντι πρῶτον, οὐμὴν δ' ἐξέλκειν τῶν θεῶν τοὺς ξένους βίᾳ.

ΚΟ. Τίς δ' ὁ κρατῶν ἐστι τῆς χώρας ταύτης;

ΧΟ. Δημοφῶν ὁ παῖς Θησέως.

ΚΟ. Πρὸς τοῦτον ἄρ' ἔδει με ἐξ ἀρχῆς ἀγωνίσασθαι λόγῳ· τὰ δὲ εἰρημένα ἔῤῥιπται μάτην.

ΧΟ. Καὶ μὴν ἴδ' ἐκεῖνον σπεύδοντα δεῦρο. μετ' Ἀκάμαντος τοῦ ἀδελφοῦ, τῶν σῶν ἀκουσόμενος λόγων.

ΔΗ. Ὦ γέρον, ἐπειδὴ καὶ γέρων ὢν, ἔφθης ἡμᾶς τοὺς νεωτέρους ἐλθὼν εἰς τὸν βωμὸν ᾧδε, εἰπὲ ἡμῖν ἐφ' ὅτῳ δήποτε τοσοῦτος ἠθροίσθη ὄχλος;

ΧΟ. Ὁρᾷς τούτους, ἄναξ, τοὺς τὸν βωμὸν καταστέψαντας οὕτως; οἱ παῖδές εἰσιν Ἡρακλέους, Ἰόλαός τε ὁ ποτὲ πιστῶς ἐκείνῳ παρασπίζων, ἱκέται συγκαθεζόμενοι ᾧδε.

ΔΗ. Τί ποτ' οὖν ἔδει κραυγῆς τοσαύτης τούτοις;

ΧΟ. Ουτοσὶ γὰρ ἐπιχειρήσας ἀποσπάσαι βίᾳ τούτους τῆς

---

ἐστιν ἡ καταφυγὴ πρὸς τοὺς βωμοὺς, καὶ ἔσται οὕτως, οἷον ἐπεξήγησις τοῦ ἱκεσίαν· εἰ δὲ δεξαίμεθα τὴν ἑτέραν γραφὴν, Πρὸς τὸ πᾶν, ἐξηγείσθω, πρὸς

Ζητῶν, βοὴν ἔστησε, κἄσφηλεν γόνυ
Γέροντος, ὥστ' ἐμοὶ βαλεῖν οἴκτῳ δάκρυ·
ΔΗ· Καὶ μὴν στολήν γ' Ἕλληνα, καὶ ῥυθμὸν πέπλων
Ἔχει· τὰ δ' ἄλλα βαρβάρου χερὸς τάδε.
Σὸν δὴ τὸ φράζειν ἐστὶ, μὴ μέλειν τ', ἐμοὶ,
Ποίας ἀφῖξαι δεῦρο γῆς ὅρους λιπών.
ΚΟ. Ἀργεῖός εἰμι· τοῦτο γὰρ θέλεις μαθεῖν.
Ἐφ' οἷσι δ' ἥκω, καὶ παρ' οὗ, λέγειν θέλω.
Πέμπει Μυκηνῶν δεῦρό μ' Εὐρυσθεὺς ἄναξ,
Ἄξοντα τούσδε· πολλὰ δ' ἦλθον, ὦ ξένε,
Δίκαι' ὁμαρτῇ δρᾶν τε καὶ λέγειν ἔχων.
Ἀργεῖος ὢν γὰρ αὐτὸς, Ἀργείους ἄγω,
Ἐκ τῆς ἐμαυτοῦ δραπέτας τούτους ἔχων,
Νόμοισι τοῖς ἐκεῖθεν ἐψηφισμένους
Θανεῖν· δίκαιοι δ' ἐσμὲν οἰκοῦντες πόλιν
Αὐτοὶ καθ' αὑτῶν κυρίους κραίνειν δίκας.
Πολλῶν δὲ κἄλλων ἑστίας ἀφιγμένων,
Ἐν τοῖσιν αὐτοῖς τοισίδ' ἕσταμεν λόγοις,
Κοὐδεὶς ἐτόλμησ' ἴδια προσθέσθαι κακά.
Ἀλλ' εἴ τιν' ἐς σὲ μωρίαν ἐσκεμμένοι,
Δεῦρ' ἦλθον, ἐς κίνδυνον ἐξ ἀμηχάνων
Ῥιπτοῦντες, εἴτ' οὖν, εἴτε μὴ, γενήσεται,
(Οὐ γὰρ φρενήρη γ' ὄντα σ' ἐλπίζουσί που
Μόνον τοσαύτης, ἣν ἐπῆλθον, Ἑλλάδος
Τὰς τῶνδ' ἀβούλους ξυμφορὰς κατοικτιεῖν)
Φέρ' (ἀντίθες γὰρ) τούσδε τ' ἐς γαῖαν παρεὶς

---

πάντας ἀνθρώπους. 147. Ἀλλ' εἴτινα] ἡ ἀπόδοσις τούτου τείνει ἐπὶ πολύ.

ἐσχάρας, εἰς βοὴν κατέστησε τὸ πρᾶγμα, καταβαλὼν τὸν γέρονθ᾽ ὧδε, ὥστ᾽ ἰδόντι ἐνῆκέ μοι πρὸς δάκρυ οἶκτον.

ΔΗ. Καὶ μὴν ὁρῶγε τοῦτον Ἑλληνικῶς ἠμφιεσμένον· πῶς οὖν τὸ ἦθος βαρβαρίζει; Ἀλλὰ σὸν ἤδη ἐστί μοί λέγειν ταῦτα, μηδὲ μέλλειν· ποδαπὸς ὢν, παρεγένου ὧδε;

ΚΟ. Ἀργεῖος· ἐπεὶ τοῦτο πρῶτον εἰδέναι βούλει· ἐφ᾽ οἷς δὲ καὶ παρ᾽ οὗ τυγχάνω ἥκων, ἄκουσον ἤδη. Εὐρυσθεὺς ὁ Μυκηνῶν βασιλεὺς ἔπεμψέ με τούτους μετιόντα ἐς Ἄργος· ἦλθον δέ σοι πολλὰ ἔργῳ τε καὶ λόγῳ δίκαια παρεχόμενος· πρῶτον μὲν γὰρ Ἀργεῖος αὐτὸς ὢν, Ἀργείους τούτους ἔξω, ἀπὸ τῆς ἐμαυτοῦ πατρίδος τῷ προεψηφίσθαι κατὰ τοὺς ἡμῶν νόμους ἀποθανεῖν, λαβὼν ἀποδεδρακότας· δίκαιοι γὰρ ἐσμὲν, ὡς ἐν τοῖς αὐτοῖς συζῶντες νόμοις, αὐτοὶ παρ᾽ ἑαυτοῖς, ἃς ἔφθημεν πεποιηκότες δίκας, κυρίας ποιεῖν· πρός τε γὰρ ἄλλους πολλοὺς αὐτῶν καταπεφευγότων, τοῖς αὐτοῖς αὐτοὶ καὶ πρὸς ἐκείνους ἐλθόντες ἐχρησάμεθα λόγοις· καὶ οὐδεὶς ἐκείνων ἀπετόλμησε τὰ τούτων ἑλέσθαι σὺν κινδύνῳ· εἰ δὲ μωρίαν αὐτοὶ καταγνόντες σου, ἦλθον ἐξ ἀμηχανίας, κἂν κατορθώσωσι, κἂν μὴ, εἰς κίνδυνον ὑμᾶς ἐμβαλοῦντες (ἄλλως γὰρ, εἰ φρόνιμον ᾤοντό σε εἶναι, οὐκ ἂν ἤλπιζον μόνον τοσούτων Ἑλλήνων, πρὸς οὓς προκαταπεφεύγασι, τὰς τούτων συμφορὰς ἀσκέπτως ἐλεήσειν.) φέρε σκέψαι ἐκ παραθέσεως τῶν πρα-

---

κατωτέρω εἰς τὸ, Φέρε, τὰ δ᾽ ἄλλα τὰ πολλὰ ὡς ἐν παρενθέσει· οἷον ὡς ἐν συντόμῳ· εἰ δὲ μωρίαν μὲν ὑμῶν καταγνόντες, αὐτοὶ δὲ ἀμηχανοῦντες ἦλθον δεῦρο, φέρε σκέψαι ἐκ παραθέσεως ἀμφοτέρων πότερόν σοι συνοίσει, ἐᾶσαι

Ἡμᾶς τ' ἐάσας ἐξάγειν, τί κερδανεῖς;
Τὰ μὲν παρ' ἡμῶν τοιάδ' ἐστί σοι λαβεῖν·
Ἄργους τοσήνδε χεῖρα, τήν τ' Εὐρυσθέως
Ἰσχὺν ἅπασαν τῇδε προσθέσθαι πόλει.
Ἢν δ' ἐς λόγους τε καὶ τὰ τῶνδ' οἰκτίσματα
Βλέψας, πεπανθῇς, ἐς πάλην καθίσταται
Δορὸς τὸ πρᾶγμα· μὴ γὰρ ὡς μεθήσομεν,
Δόξῃς, ἀγῶνα τόνδ' ἄτερ χαλυβδικοῦ.
Τί δῆτα φήσεις, ποῖα πεδί' ἀφαιρεθεὶς,
Τιρυνθίοις θεὶς πόλεμον Ἀργείοις τ' ἔχειν,
Ποίοις δ' ἀμύνων συμμάχοις, τίνος δ' ὕπερ
Θάψεις νεκροὺς πεσόντας; ἢ κακὸν λόγον
Κτήσῃ πρὸς ἀστῶν, εἰ γέροντος οὕνεκα
Τύμβου, τὸ μηδὲν ὄντος, ὡς εἰπεῖν ἔπος,
Παίδων τε τῶνδ' ἐς ἄντλον ἐμβήσεις πόδα.
Ἐρεῖς, τὸ λῷστον, ἐλπίδ' εὑρήσειν μόνον.
Καὶ τοῦτο πολλῷ τοῦ παρόντος ἐνδεές·
Κακῶς γὰρ Ἀργείοισιν οἵδ' ὡπλισμένοι,
Μάχοιντ' ἂν ἡβήσαντες, εἴ τι τοῦτό σε
Ψυχὴν ἐπαίρει, χοὖν μέσῳ πολὺς χρόνος,
Ἐν ᾧ διεργασθεῖτ' ἄν. ἀλλ' ἐμοὶ πιθοῦ·

---

τούτους ὧδε μένειν, ἢ ἐκδότους ἡμῖν ποιῆσαι; 161. Δόξῃς] μὴ δόξῃς· δυνατὸν δὲ γεγράφθαι, Δόξης (ἵν' ᾖ, τὸν ἀγῶνα τῆς δόξης· τὸ δὲ χαλυβδικοῦ, σιδήρου, ἁπλῶς βούλεται λέγειν· Χαλυβδικὴ γὰρ Σκυθίας τῆς Σιδηρομήτορος μοῖρα· ὅπου σίδηρος μεταλλεύεται. 163. Θεὶς] ἀντὶ τοῦ θείης· Δῇς δὲ, καὶ θῇς, ἐν ἄλλοις, ἄμεινον δὲ Φὴς ἴσως, καὶ οὐκ ἀπιθάνως. 165. Νεκροὺς πεσόντας] πότερον ὥσπερ Θησεὺς εἵλετο πόλεμον πρὸς Θηβαίους ὑπὲρ ἀναιρέσεως

μάτων ὡδὶ, τί σοι κέρδος ἑκατέρωθεν ἔςαι, εἴτ' αὐτοὺς φυλάξεις ὧδε, εἴθ' ἡμᾶς ἐάσεις ἀπαγαγεῖν αὐτοὺς εἰς Ἄργος· παρ' ἡμῶν μὲν γάρ σοι ἔςαι πάντας Ἀργείους, καὶ πᾶσαν τὴν Εὐρυσθέως δύναμιν σύμμαχον ἔχειν τῇ πόλει ταύτῃ· ἢν δὲ οἶκτός τις, καὶ οὓς οὗτοι παρέχουσι λόγους, κατισχύσωσί σου, εἰς πόλεμον ὑμῖν τὰ πράγματα ἀποϐήσεται· μὴ γὰρ οἰηθῇς, ὡς ἄνευ ὅπλων ἐξέσται ἡμῖν τὰ διάφορα διαλύσασθαι· τί γάρ; τίνας χώρας ἀφαιρεθεὶς, ἢ τίσι τῶν συμμάχων ἀμύνων, ἢ ὑπὲρ τίνος θάπτων νεκροὺς ἐν πολέμῳ πεσόντας, φήσεις ποιεῖν πόλεμον πρὸς Ἀργείους; ἔγωγε μὲν μηδὲν ἄλλο σοι περιέσεσθαι οἴομαι, ἢ κακῶς ἀκοῦσαι παρὰ πάντων τῶν πολιτῶν, εἴγε γέροντος ἕνεκα τουτουῒ τοῦ μηκέτι μηδὲν ὄντος, ὡς εἰπεῖν, ἢ τάφος αὐτόχρημα, καὶ τῶν παίδων γε τούτων, εἰς κίνδυνον σεαυτὸν ἐμϐαλεῖς. Ἀλλ' οὐδ' ἐκεῖν' ἐρεῖς, ὡς κράτιστόν σοι τοῦτ' ἔσται πρὸς τὰς ἐλπίδας· καὶ γὰρ τοῦτ' ἔτι ἀϐληχρότερόν ἐστι τοῦ παρόντος· οὗτοί τε γὰρ ἐν ἡλικίᾳ γενόμενοι, κακῶς ἂν μάχοιντο πρὸς Ἀργείους, εἴγε καὶ τοῦτο ἐν μέρει σε ὑποθάλποι· καὶ ὁ χρόνος ἐς τηνικαῦτα μακρὸς ὁ ἐν μέσῳ, ἐν ᾧ οὐδ' οἶδέ τις, εἰ διαϐιώῃ· Πείθου τοίνυν,

---

τῶν ὑπὸ τῇ Καδμείᾳ πεσόντων· ἢ ὑπὲρ τίνος ἀπολέσεις τοσούτους πολίτας ἐν πολέμῳ; ἐγὼ μὲν ἐδεξάμην τὸ πρῶτον. 166. Γέροντος τύμϐου] λίαν τοῦτο συνεπτυγμένως ἔχει· ἀναπτυκτέον δ' ὧδε· ὑπὲρ γέροντος, ὃν οὐδ' εἰ ζῇ εἴποιμ' ἂν ἔγωγε, πλησίον ὄντα τοῦ τάφου. 168. Εἰς ἄντλον] ἐκ μεταφορᾶς τῶν πλωϊζομένων, ὁπότε ὑπερκλύζοντος τοῦ κύματος εἰς τὸ πλοῖον, αὐτοὶ ἐν τῷ ἄντλῳ εἰσὶ βεϐηκότες, τουτέστιν ἐν τοῖς ὕδασι βαίνοντες, καὶ ἐν κινδύνῳ ὄντες. 174. Ἐν ᾧ διεργασθεῖτ' ἂν] ἀντὶ τοῦ, διεργασθείητε, ἀποθάνοιτε.

Δοὺς μηδὲν, ἀλλὰ τἄμ' ἐῶν ἄγειν ἐμὲ,
Κτῆσαι Μυκήνας, μηδ', ὅπερ φιλεῖτε δρᾷν,
Πάθῃς σὺ τοῦτο, τοὺς ἀμείνονας παρὸν
Φίλους ἑλέσθαι, τοὺς κακίονας λάβῃς.

ΑΗ. Τίς ἂν δίκην κρίνειεν, ἢ γνοίη λόγον,
Πρὶν ἂν παρ' ἀμφοῖν μῦθον ἐκμάθῃ σαφῶς;

ΟΙ. Ἄναξ, ὑπάρχει μὲν τόδ' ἐν τῇ σῇ χθονὶ,
Εἰπεῖν ἀκοῦσαί τ' ἐν μέρει πάρεστί μοι,
Κοὐδείς μ' ἀπώσει πρόσθεν, ὥσπερ ἄλλοθεν.
Ἡμῖν δὲ καὶ τῷδ' οὐδέν ἐστιν ἐν μέρει·
Ἐπεὶ γὰρ Ἄργους οὐδὲν ἐσθ' ἡμῖν ἔτι,
Ψήφῳ δοκῆσαν, ἀλλὰ φεύγομεν πάτραν,
Πῶς ἂν δικαίως ὡς Μυκηναίους ἄγοι
Ὅδ' ὄντας ἡμᾶς, οὓς ἀπήλασαν χθονός;
Ξένοι γὰρ ἐσμέν. ἢ τὸν Ἑλλήνων ὅρον
Φεύγειν δικαιοῦτ', ὅστις ἂν Ἄργος φύγῃ;
Οὔκουν Ἀθήνας γ'· οὐκ ἄρ' Ἀργείων φόβῳ
Τοὺς Ἡρακλείους παῖδας ἐξελῶσι γῆς·
Οὐ γάρ τι Τραχίς ἐστιν, οὐδ' Ἀχαϊκὸν
Πόλισμ', ὅθεν σὺ τούσδε, τῇ δίκῃ μὲν οὔ,
Τὸ δ' Ἄργος ὀγκῶν, οἷάπερ καὶ νῦν λέγεις,
Ἤλαυνες ἱκέτας βωμίους καθημένους.
Εἰ γὰρ τόδ' ἔσται, καὶ λόγους κρίνουσι σοὺς,
Οὐκ οἶδ' Ἀθήνας τάσδ' ἐλευθέρας ἔτι.
Ἀλλ' οἶδ' ἐγὼ τὸ τῶνδε λῆμα καὶ φύσιν·

---

179. Τίς ἂν δίκην] τὸ παροιμιακὸν ἐκεῖνο καὶ ὅσιον.
» Μήτε δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς.
184. Ἐν μέρει] ἴσως, ἐν μέσῳ, ὡς εἴκασέ τις. 186. Ψήφῳ δοκῆσαν] ὡς εἴρηται.

οἷς αὐτὸς μᾶλλον παρέχομαί σοι, καὶ κτῆσαι Μηκυναίους συμμάχους, μηδὲν μὲν αὐτὸς δοὺς τῶν σαυτοῦ, ἐπιτρέψας δέ μοι μόνον τούτους ἐμαυτοῦ ὄντας, ἀπαγαγεῖν ἐντεῦθεν· μήδ' ὃ εἰώθατε δρᾶν πολλάκις, καὶ νῦν ταὐτὸ πάθῃς, παρὸν ἔχειν φίλους ἀμείνους, τοὺς χείρους ἀνθελέσθαι.

ΔΗ. Πῶς ἂν εἴη δίκην δικαίαν τισὶ δικάσαι πρὶν ἄν τις ἀμφοῖν λόγον ἀκούσῃ;

ΙΟ. Λόγον μὲν, ὦ βασιλεῦ, διδόναι καὶ λαμβάνειν ἀρχαῖον ἐν δίκαις, κοὐδεὶς ἐντεῦθεν ἀπώσει με, ὃ πάθοι τις ἂν παρ' ἄλλοις· ἡμῖν οὖν πρὸς τοῦτον οὐδέν ἐςι πρᾶγμα· αὐτὸς μὲν γὰρ Ἀργεῖός ἐστιν· ἡμῖν δὲ φυγοῦσι ψήφῳ οὐδὲν μέτεστι τοῦ Ἄργους· πῶς οὖν φησιν εἰς Μηκύνας ἐθέλειν ἡμᾶς ἐντεῦθεν, ἀπαγαγεῖν, οὓς ἀπήλασεν ἐκεῖθεν, καὶ ξένους ἤδη γεγενημένους; ἢ ὅςτις ἂν τὸ Ἄργος φύγῃ, δεῖ τοῦτον ἔξω καὶ πάσης τῆς Ἑλλάδος ἁπλῶς γενέσθαι; ἀλλ' οὐκ ἂν, οἶμαι, τῶν Ἀθηνῶν αὐτῶν· οὐ γὰρ ἂν Ἀθηναῖοι τούς γ' Ἡρακλέους ἐξελάσειαν παῖδας, δεδιότες Ἀργείους· οὐ δὲ Τραχίς ἐστιν ἡ πόλις αὕτη, πολίχνιόν τι Ἀχαϊκὸν, ἀφ' ἧς δίκῃ μὲν οὐδαμῶς, βίᾳ δὲ, καὶ Ἄργος εἰς δύναμιν ἐξογκῶν, ὥσπερ νῦν, ἤλαυνες τούτους, ἐν βωμοῖς ἱκέτας καθημένους· εἰ γὰρ καὶ ἐνταῦθα ταῦτα ἡμῖν ἔςαι, καὶ πρὸς τοὺς σοὺς λόγους ἡ δίκη ῥέψει, οὐκέτ' ἂν ἔγωγε εἴποιμι Ἀθήνας ἐλευθέρας· ἀλλ' ἐγῷδα σαφῶς τό,τε φρόνημα καὶ τὴν φύσιν τὴν τούτων· αἱρήσονται

Θνήσκειν θελήσουσ'· ἡ γὰρ αἰσχύνη βάρος
Τοῦ ζῆν παρ' ἐσθλοῖς ἀνδράσιν νομίζεται.
Πόλιν μὲν ἀρκεῖ· καὶ γὰρ οὖν ἐπίφθονον
Λίαν γ' ἐπαινεῖν ἐστί· πολλάκις δὲ δὴ
Κᾀυτὸς βαρυνθεὶς οἶδ', ἄγαν γ' αἰνούμενος.
Σοὶ δ' ὡς ἀνάγκη τούσδε, βούλομαι φράσαι,
Σώζειν, ἐπείπερ τῆσδε προστατεῖς χθονός.
Πιτθεὺς μὲν ἔστι Πέλοπος, ἐκ δὲ Πιτθέως
Αἴθρα, πατὴρ δ' ἐκ τῆσδε γεννᾶται σέθεν
Θησεύς. πάλιν δὲ τῶνδ' ἄνειμί σοι γένος.
Ἡρακλέης ἦν Ζηνὸς Ἀλκμήνης τε παῖς,
Κείνη δὲ Πέλοπος θυγατρός· αὐτανεψίω
Πατὴρ ἂν εἴη σός τε καὶ τούτων γεγώς.
Γένους μὲν ἥκεις ὧδε, τοῖσδε Δημοφῶν·
Ἃ δ' ἐκτὸς ἤδη τοῦ προσήκοντος σε δεῖ
Τίσαι, λέγω σοι, παισί· φημί γάρ ποτε
Σύμπλους γενέσθαι, τῶνδ' ὑπασπίζων πατρὶ,
Ζωστῆρα Θησεῖ τὸν πολυκτόνον μέτα,
Ἅδου τ' ἐρεμνῶν ἐξανήγαγεν μυχῶν

---

ἀνωτέρω στίχ. 177. 204. Ἄγαν γ' αἰνούμενος] ἴδε καὶ Ἰφιγ. Αὐλ. ςίχ. 986.
» Αἰνούμενοι γὰρ οἱ 'γαθοί, τρόπον τινὰ
» Μισοῦσι τοὺς αἰνοῦντας, ἢν αἰνῶσ' ἄγαν.

211. Θυγατρὸς] Λυσιδίκης. ἴδε ἀνωτέρω ςίχ. 37.—217. Ζωςῆρα. . . μέτα] πρὸς τὸν Ζωςῆρα. 'Αδμήτης γὰρ τῆς Εὐρυσθέως θυγατρὸς ἐφιεμένης τὴν τῆς Ἱππολύτης τῆς 'Αμαζόνος κτήσασθαι ζωστῆρα, πέμπεται Ἡρακλῆς ἐπὶ τοῦτον, συμπαραλαβὼν καὶ Θησέα· ἐξ οὗ καὶ παροιμία, οὐκ ἄνευγε Θησέως· ἐλθοῦσι δ' αὐτοῖς εἰς Θεσμικύρας λιμένα, ὑπέσχετο Ἱππολύτη δώσειν αὐτῷ ἐκεῖνον·

γὰρ μᾶλλον ἀποθανεῖν, ἢ βίᾳ ἐνδοῦναι, μηδὲν τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην εἶναι λογιζομένους, ἢ βάρος παρ' ἀγαθοῖς ἀνδράσι. Πρὸς μὲν οὖν τὴν πόλιν ἀρκεῖν μοι δοκεῖ ταῦτα, τό γ' ἐπίφθονον ἀποφεύγοντι τῶν ἐπαίνων, ἐπαχθὲς λίαν καὶ αὐτοῖς τοῖς ἐπαινομένοις πολλάκις γενόμενον, εἴγε χρή τινα ἐκ τῶν ἑαυτοῦ τοῦτ' εἰκάσαι· νῦν δὲ μέτεισιν ὁ λόγος, ὦ Δημοφῶν, πρὸς σὲ τὸν τῆς χώρας τῆσδε κρατοῦντα· ὡς καὶ κατ' ἀνάγκην φύσεως προσήκει σοι τούτους σώζειν. Οἶσθα γὰρ Πέλοπος μὲν Πιτθέα γεγεννημένον· Πιτθέως δὲ, Αἴθραν· Αἴθρας δὲ, τὸν σαυτοῦ πατέρα. Οἶσθα δ' αὖ πάλιν (ἵν' εἰς τὴν τοῦ γένους αὖθις ἀναδράμω καταγωγὴν) Ἡρακλέα Διὸς καὶ Ἀλκμήνης γεγεννημένον· Ἀλκμήνην δὲ, Λυσιδίκης. Λυσιδίκην δὲ αὖθις, Πέλοπος· Ἡρακλῆς ἄρα καὶ Θησεὺς ἐξ ἀνεψιῶν ὄντες, συγγενεῖς τυγχάνουσιν ὄντες· οὕτω τοίνυν τούτοις προσήκεις γένει· παρὰ δὲ ταῦθ', ἃ τούτοις ἀποδοῦναι ὀφείλεις, ταῦτα νῦν βούλομαι λέγειν. Ἡρακλῆς γὰρ ὁ τούτων πατὴρ, ᾧ κἀγὼ συνεπόμην παρασπίζων, οὐ μόνον ἐπὶ τὸν τῆς Ἱππολύτης ζωστῆρα, ὃς πολλῶν φόνων ἀνθρώποις ἐγένετο αἴτιος, συνέπλευσέ ποτε Θησεῖ, ἀλλὰ καὶ ἀπὸ τῶν τοῦ ᾅδου κευθμώνων ἐκεῖνον ἀνήγαγε· καὶ τοῦθ'

οὕτω Τζέτζης ἐν Λυκόφρονι. 218. Ἐξ ἐρεμνῶν] σκοτεινῶν. ᾍδην δ' ἐνταῦθα τὸ ἀληθὲς ἐθέλει τὸν Ἀϊδωνέα τὸν τῶν Μολοσσῶν βασιλέα, παρ' οὗ καθειρχθεὶς Θησεὺς, ἐλύθη Ἡρακλέως αὐτὸν ἐξαιτησαμένου. ἴδε Πλούταρχ. Θησ. ΛΑ. καὶ

Πατέρα σὸν, Ἑλλὰς πᾶσα τοῦτο μαρτυρεῖ.
Ὧν ἀντιδοῦναί σ' οἴδ' ἀπαιτοῦσιν χάριν,
Μήτ' ἐκδοθῆναι, μήτε, πρὸς βίαν θεῶν
Τῶν σῶν ἀπασπασθέντες, ἐκπεσεῖν χονός.
Σοὶ γὰρ τόδ' αἰσχρὸν χωρὶς, ἔν τε πόλει κακὸν
Ἱκέτας ἀλήτας συγγενεῖς, (οἴμοι κακῶν!
Βλέψον πρὸς αὐτοὺς, βλέψον) ἕλκεσθαι βίᾳ.
Ἀλλ' ἄντομαί σε, καὶ καταστέφω, χεροῖν
Καὶ πρὸς γενείου, μηδαμῶς ἀτιμάσῃς
Τοὺς Ἡρακλείους παῖδας, ἐς χέρας λαβών.
Γενοῦ δὲ τοῖσδε συγγενὴς, γενοῦ φίλος;
Πατὴρ, ἀδελφὸς, δεσπότης· ἅπαντα γὰρ
Ταῦτ' ἐστὶ κρείσσω, πλὴν ὑπ' Ἀργείοις πεσεῖν.

ΧΟ. Ὤκτειρ' ἀκούσας τάσδε συμφορὰς, ἄναξ.
Τὴν δ' εὐγένειαν τῆς τύχης νικωμένην
Νῦν δὴ μάλιστ' ἐσεῖδον· οἵδε γὰρ πατρὸς
Ἐσθλοῦ γεγῶτες, δυστυχοῦσ' ἀναξίως.

ΔΗ. Τρισσαί μ' ἀναγκάζουσι συμφορᾶς ὁδοὶ,
Ἰόλαε, τοὺς σοὺς μὴ παρώσασθαι ξένους·
Τὸ μὲν μέγιστον, Ζεὺς, ἐφ' οὗ σὺ βώμιος
Θακεῖς, νεοσσῶν τήνδ' ἔχων πανήγυριν,
Τὸ συγγενές τε, καὶ τὸ προὐφείλειν καλῶς
Πράσσειν παρ' ἡμῶν τούσδε πατρῴαν χάριν,
Τό τ' αἰσχρὸν, οὗπερ δεῖ μάλιστα φροντίσαι·
Εἰ γὰρ παρήσω τόνδε συλᾶσθαι βίᾳ

---

ΛΕ. 240. Καὶ τὸ προὐφείλειν] ἡ συνθήκη τούτων ἔχοι ἂν ὧδε μᾶλλον, καὶ τὸ προοφείλειν (ἐμὲ) χάριν (αὐτοῖς) πατρῴαν, (ὥστε) καλῶς πράσσειν παρ'

ἡ Ἑλλὰς μαρτυρεῖ βεβαιοῦσα· ὧν τὴν χάριν νῦν τούτοις ἀπαιτοῦσι προσήκει ἀποδοῦναι τὸ μήτ' ἐκδότους γενέσθαι, μήτ' ἀπαχθῆναι τῆς χώρας ταύτης, τῶν σῶν θεῶν ἀνασπάστους βίᾳ γεγενημένους· τοῦτο γὰρ σοί τε αὐτῷ ἰδίᾳ αἰσχύνην φέρει, καὶ τῇ πόλει ὡς μάλιςˊ ἀλυσιτελὲς, ἱκέτας πλανήτας, καὶ τὸ μέγιστον συγγενεῖς, τούτους ἕλκεσθαι ἔξω βίᾳ· ἴδε γὰρ, ὦ βασιλεῦ, βλέψον πρὸς τούτους, ἐν οἵοις κακοῖς εἰσιν, οἴμοι! ἀλλὰ καταστέφων σε, δέομαί σου, μὴ πρὸς τῶν σῶν χειρῶν, καὶ τοῦ γενείου γε τουτουΐ, μὴ ἀτιμάσῃς τοὺς Ἡρακλέους παῖδας, ἐπί σοι ἤδη γεγενημένους· ἀλλὰ γενοῦ αὐτοῖς συγγενὴς, φίλος, πατὴρ, ἀδελφὸς, δεσπότης, πᾶν ὅ,τι βούλει πλὴν ἑνὸς μόνου, μὴ ὑποπεσεῖν αὐτοὺς τοῖς Ἀργείοις.

ΧΟ. Οἴκτειρε τούτους, ὦ βασιλεῦ, εἰδὼς ἤδη, οἳ συμφορῶν εἰσιν ἐληλακότες· ἔγωγε γὰρ οὐκ ἄν ποθ' ἡγούμενος τὴν εὐγένειαν ἡττηθῆναι τῆς τύχης, νῦν ὁρῶ τοῦτ' αὐτοῖς ὀφθαλμοῖς· οὗτοι γὰρ πατρὸς γεγονότες ἀρίςου, πάσχουσιν ἀναξίως.

ΔΗ. Ὑπὸ τριῶν ἀναγκάζομαι λόγων, Ἰόλαε, ἐν τῇ παρούσῃ ἡμῶν συμφορᾷ, τοὺς σοὺς ἱκέτας τουτουσὶ μὴ ἐξελάσαι τῆς ἐμῆς ἀρχῆς ταυτησί· ὧν πρῶτον, ὃ καὶ μάλιστα, Ζεύς ἐστιν αὐτὸς, οὗ ἐπὶ τοῦ βωμοῦ νῦν καθέζῃ, ὡς νεοσσοὺς ὑπὸ τοῖς πτεροῖς τούτους συνάγων κύκλῳ· δεύτερον, τὸ συγγενές· καὶ τρίτον τὸ προσοφείλειν τούτους ἀντευποιεῖν, πατρῷαν χάριν αὐτοῖς ἀποδιδόντα· ἐῶ δὲ λέγειν τὸ αἰσχρὸν, ὃ τούς γε νοῦν ἔχοντας ὡς μάλιστα φυλάττεσθαι δεῖ· εἰ γὰρ συγχωρήσαιμι τούτῳ, ξένῳ γε ὄντι συλῆσαι βίᾳ τὸν

Ξένου πρὸς ἀνδρὸς βωμὸν, οὐκ ἐλεύθερον
Οἰκεῖν δοκήσω γαῖαν, Ἀργείοις δ' ὄκνῳ
Ἱκέτας προδοῦναι· καὶ τάδ' ἀγχόνης πέλας.
Ἀλλ' ὤφελες μὲν εὐτυχέστερον μολεῖν·
Ὅμως δὲ καὶ νῦν μὴ τρέσῃς ὅπως σέ τις
Σὺν παισὶ βωμοῦ τοῦδ' ἀποσπάσῃ βίᾳ.
Σὺ δ' Ἄργος ἐλθὼν, ταῦτά τ' Εὐρυσθεῖ φράσον,
Πρὸς τοῖσδέ τ', εἴ τι τοισίδ' ἐγκαλεῖ ξένοις,
Δίκης κυρήσει· τούσδε δ' οὐκ ἄξεις ποτέ.
ΚΟ. Οὐκ, ἢν δίκαιον ᾖ τι, καὶ νικῶ λόγῳ;
ΔΗ. Καὶ πῶς δίκαιον τὸν ἱκέτην ἄγειν βίᾳ;
ΚΟ. Οὔκουν ἐμοὶ τόδ' αἰσχρὸν, ἀλλὰ σοὶ, βλάβος·
ΔΗ. Ἐμοί γ', ἐάν σοι τούσδ' ἐφέλκεσθαι μεθῶ.
ΚΟ. Σὺ δ' ἐξόριζε, κᾆτ' ἐκεῖθεν ἄξομεν.
ΔΗ. Σκαιὸς πέφυκας, τοῦ θεοῦ πλείω φρονῶν.
ΚΟ. Δεῦρ', ὡς ἔοικε, τοῖς κακοῖσι φευκτέον.
ΔΗ. Ἅπασι κοινὸν ῥῦμα δαιμόνων ἕδρα.
ΧΟ. Ταῦτ' οὐ δοκήσει τοῖς Μυκηναίοις ἴσως.
ΔΗ. Οὔκουν ἐγὼ τῶν ἐνθάδ' εἰμὶ κύριος;
ΚΟ. Βλάπτων ἐκείνους μηδὲν, ἢν σὺ σωφρονῇς.
ΔΗ. Βλάπτεσθ', ἐμοῦ γε μὴ μιαίνοντος θεούς;
ΚΟ. Οὐ βούλομαί σε πόλεμον Ἀργείοις ἔχειν.
ΔΗ. Κἀγὼ τοιοῦτος· τῶνδε δ' οὐ μεθήσομαι.
ΚΟ. Ἄξω γε μέντοι τοὺς ἐμοὺς ἐγὼ λαβών.
ΔΗ. Οὐκ ἆρ' ἐς Ἄργος ῥᾳδίως ἄπει πάλιν.

---

ἡμῶν τόνδε. 249. Ἀποσπάσῃ] οὕτως ἀντὶ τοῦ ἀποσπάσει· τὸ δὲ, ὅπως, συνεφέλκον ἔξωθεν καὶ τὸ, μὴ, ἀντὶ τοῦ, ἵνα μή. 260. Ῥῦμα] οὕτως, ὡς κἂν ἀλ-

βωμὸν, πῶς ἂν δόξαιμι ἐλευθέραν οἰκεῖν πατρίδα; ἀλλ' οὐχὶ μᾶλλον φόβῳ καὶ δειλίᾳ προέσθαι Ἀργείοις τοὺς τοῦ θεοῦ ἱκέτας; ἐγγύς ἐστιν ἀγχόνης ταῦτα. Ὤφειλες μὲν οὖν εὐτυχέστερος ἐλθεῖν ὡς ἡμᾶς· ἀλλὰ καὶ νῦν μὴ φοβοῦ, μήτις ἐντεῦθεν, βίᾳ χρησάμενος, ἀποσπάσηται. Σὺ δ' αὖ ὁ κήρυξ, ἐλθὼν εἰς Ἄργος, ταῦτάτε λέγε Εὐρυσθεῖ, καὶ προσέτι, εἴτι ἔχοι τοῖς ξένοις τούτοις ἐγκαλεῖν, καλόν γε δίκῃ διαλύσασθαι πρὸς αὐτούς· ἄλλως δὲ οὐκ ἂν τούτους ἀπαγάγοις ἐντεῦθεν.

ΚΟ. Οὐδ' ἂν, δίκαια παρασχὼν, νικήσω λόγῳ;

ΔΗ. Καὶ ποῦ ἂν εἴη δίκαιον τοὺς βωμοὺς ἐκβιάζεσθαι;

ΚΟ. Ἐμοὶ μὲν ἄπρακτον ἀπελθεῖν αἰσχρὸν οὐκ ἔστι· σοὶ δ' ὅμως ζημίαν οἴσει.

ΔΗ. Πάντωςγ', εἰ προήσομαι τούτους ἀποσπᾶσθαι.

ΚΟ. Ἀλλ' ἐξέλασον· εἶθ' οὕτως ἄλλοθεν συλληψόμεθα.

ΔΗ. Ὡς ἀμαθὴς εἶ, ἀμαθίαν τοῦ θεοῦ καταγινώσκων.

ΚΟ. Τῶν κακῶν ἄρα καταφυγὴ ἂν εἴη ᾧδε.

ΔΗ. Οἱ βωμοὶ κοινή εἰσι παρὰ πᾶσι σωτηρία.

ΚΟ. Πάντα μᾶλλον, ἢ ταῦτ' Ἀργείοις δόξει.

ΔΗ. Ἀλλ' ἐγὼ, οὐκ Ἀργεῖοι, τῆσδε τῆς χώρας ἄρχω.

ΚΟ. Εἴγε σωφρονῶν, ἐκείνους μηδὲν βλάπτεις.

ΔΗ. Εἴγε βλάβη ἐστὶ τὸ θεοὺς μὴ μιαίνειν.

ΚΟ. Οὐκ ἂν βουλοίμην πόλεμόν σε πρὸς Ἄργος ἔχειν.

ΔΗ. Κἀγὼ τοιοῦτος, ἀσφαλῶς τῶν ἐμαυτοῦ ἐχόντων.

ΚΟ. Ἀλλ' ἔγωγ' ἀπάξω τούτους ἐμούς γε ὄντας.

ΔΗ. Ἀλλ' οὐκέτ' ἂν ἴδοις ζῶν ποτε τὸ Ἄργος.

ΚΟ· Πειρώμενος δὴ, τοῦτό γ' αὐτίκ' εἴσομαι.
ΔΗ. Κλάων ἄρ' ἅψῃ τῶνδε, κοὐκ ἐς ἀμβολάς.
ΧΟ. Μὴ πρὸς θεῶν κήρυκα τολμήσῃς θένειν.
ΔΗ. Εἰ μή γ' ὁ κήρυξ σωφρονεῖν μαθήσεται.
ΧΟ. Ἄπελθε· καὶ σὺ τοῦδε μὴ θίγῃς ἄναξ.
ΚΟ. Στείχω· μιᾶς γὰρ χειρὸς ἀσθενὴς μάχη.
Ἥξω δὲ, πολλὴν Ἄρεος Ἀργείου λαβὼν
Πάγχαλκον αἰχμὴν δεῦρο· μυρίοι δέ με
Μένουσιν ἀσπιστῆρες, Εὐρυσθεύς τ' ἄναξ
Αὐτὸς στρατηγῶν· Ἀλκάθου δ' ἐπ' ἐσχάτοις
Καραδοκῶν τἀνθένδε τέρμασιν μένει.
Λαμπρὸς δ', ἀκούσας σὴν ὕβριν, φανήσεται
Σοὶ, καὶ πολίταις, γῇ τε τῇδε, καὶ φυτοῖς·
Μάτην γὰρ ἥβην ὧδέ γ' ἂν κεκτῴμεθα
Πολλὴν ἐν Ἄργει, μή σε τιμωρούμενοι.
ΔΗ. Φθείρου· τὸ σὸν γὰρ Ἄργος οὐ δέδοικ' ἐγώ.
Ἐνθένδε δ' οὐκ ἔμελλες, αἰσχύνας ἐμὲ,
Ἄξειν βίᾳ τούσδ'· οὐ γὰρ Ἀργείων πόλει
Ὑπήκοον τήνδ', ἀλλ' ἐλευθέραν, ἔχω.
ΧΟ. Ὥρα προνοεῖν, πρὶν ὅροις πελάσαι
Στρατὸν Ἀργείων· μάλα δ' ὀξὺς Ἄρης
Ὁ Μυκηναίων,
Ἐπὶ τοῖσι δὲ δὴ μᾶλλον ἔτ', ἢ πρίν.
Πᾶσι γὰρ οὗτος κήρυξι νόμος,
Δὶς τόσα πυργοῦν τῶν γιγνομένων.
Πόσα νιν λέξειν βασιλεῦσι δοκεῖς;

ΚΘ. Καὶ δὴ πειράσομαι, εἰ τοῦτο οὕτως ἔχοι.

ΔΗ. Ἀλλ' αὐτίκ' οἰμώξεις, εἰ μόνον ἅψῃ τούτων.

ΧΟ. Μὴ πρὸς θεῶν ἀνέλῃς κήρυκα ἀφιγμένον.

ΔΗ. Ἢν μήγ' ὁ κήρυξ μάθῃ σωφρόνως ἔχειν.

ΧΟ. Χώρει σύγε, καὶ σὺ, ὦ ἄναξ ἀπέχου τούτου.

ΚΘ. Χωρῶ γε· βραχίων γὰρ εἷς τί ποτ' ἄξιον ἐν μάχαις πράττοι; δύναμιν δὲ πολλῶν ἀρειμανῶν Ἀργείων προσλαβὼν, ἥξω πάλιν αὐτίκα μάλα· μυρία γὰρ ἀσπὶς μετέωρος ἐν ὅπλοις περιμένει με ἐκ τῶν κηρυγμάτων, εἷς στρατηγὸς αὐτός ἐστιν Εὐρυσθεὺς, ἐπὶ τοῖς Ἀλκάθου ὁρίοις καραδοκῶν τἀντεῦθεν· ὃς ἅμ' ἀκούσας, ἃ ὕβρισται ὑπὸ σοῦ, ὡς ῥαγδαῖος σοί τε καὶ τοῖς σοῖς ἐπιπεσεῖται πολίταις, τοῖς θ' ὅπλοις ἐξαστράπτων, καὶ τὴν γῆν ἐπιτρέχων, πᾶν τὸ προστυχὸν δηϊῶν· μάτην γὰρ ἂν τοσαύτην νεολαίας ἀκμὴν κεκτῴμεθα ἐν Ἄργει, εἰ μὴ σὺ δίκην τήμερον δοίης.

ΔΗ. Ἔῤῥε· κόμπος γὰρ οὐ ταράττει με τοῦ Ἄργους· οὐκ ἂν ἀπαγάγοις τουτουσὶ, ἐμὲ καταισχύνων, ἐλευθέραν, ἀλλ' οὐχ ὑπείκουσαν Ἀργείοις, τὴν πόλιν ταύτην κυβερνῶντα.

ΧΟ. Καιρὸς ἤδη προπαρασκευάσασθαι, πρὶν ἢ τὸν στρατὸν εἰσβαλεῖν εἰς τὴν χώραν· ἴσμεν γὰρ ἐκείνους, εἴπερ ποτὲ, καὶ νῦν ὀξέως τοῖς ὅπλοις ἐπιόντας· ἔθος γὰρ τοῦτο τοῖς κήρυξι παρὰ πᾶσι γίγνεται αὔξειν ἀεὶ τὰς μεμψιμοιρίας ἐπανελθόντας· πόσα γὰρ οἴῃ τοῦτον ἐρεῖν ἐλθόντα

---

λῳ, ἀντὶ τοῦ, ῥῆμα. 270. 'Αμβολὰς] ἐκ συγκοπῆς τοῦ Ἀναβολή· ταῦτα δὲ λέγων ὁ Δημοφῶν, ἴησιν ὁμόσε τῷ ξίφει. 278. 'Αλκάθου] πόλις ἦν ἡ Ἄλκαθος, ἢ 'Αλκαθόη ἐν τοῖς ὁρίοις τῶν Μεγάρων καὶ Κορινθίων ἀπὸ 'Αλκαθόου υἱοῦ

Ὡς δείν' ἔπαθεν, καὶ παρὰ μικρὸν
Ψυχὴν ἦλθεν διακναῖσαι.
ΙΟ. Οὐκ ἔστι τοῦδε παισὶ κάλλιον γέρας,
Ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
Γαμεῖν τ' ἀπ' ἐσθλῶν. ὃς δὲ νικηθεὶς πόθῳ
Κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω,
Τέκνοις ὄνειδος οὕνεχ' ἡδονῆς λιπών.
Τὸ δυστυχὲς γὰρ ηὑγένει' ἀμύνεται
Τῆς δυσγενείας μᾶλλον· ἡμεῖς γὰρ, κακῶν
Ἐς τοὔσχατον πεσόντες, εὕρομεν φίλους
Καὶ ξυγγενεῖς τούσδ', οἳ, τοσῆσδ' οἰκουμένης
Ἑλληνίδος γῆς, τῶνδε προὔστησαν μόνοι.
Δότ', ὦ τέκν', αὐτοῖς χεῖρα δεξιὰν, δότε,
Ὑμεῖς τε παισὶ, καὶ πέλας προσέλθετε,
Ὦ παῖδες. ἐς μὲν πεῖραν ἤλθομεν φίλων·
Ἢν δ' οὖν ποθ' ὑμῖν νόστος ἐς πάτραν φανῇ,
Καὶ δώματ' οἰκήσητε καὶ τιμὰς πατρὸς,
Σωτῆρας αἰεὶ καὶ φίλους νομίζετε,
Καὶ μή ποτ' ἐς γῆν ἐχθρὸν αἴρεσθαι δόρυ,
Μεμνημένοι τῶνδ', ἀλλὰ φιλτάτην πόλιν
Πασῶν νομίζετ'· ἄξιόν γ' ὑμῖν σέβειν,
Οἳ γῆν τοσήνδε, καὶ Πελασγικὸν λεὼν
Ἡμῶν ἐνηλλάξαντο πολεμίους ἔχειν,
Πτωχοὺς ἀλήτας εἰσορῶντες· ἀλλ' ὅμως
Οὐκ ἐξέδωκαν, οὐδ' ἀπήλασαν χθονός.
Ἐγὼ δὲ καὶ ζῶν, καὶ θανὼν, ὅταν θάνω,
Πολλῷ σ' ἐπαίνῳ Θησέως, ὦ τὰν, πέλας,

τοῖς ἑαυτοῦ δεσπόταις, οἷα δ' ἔπαθεν ὑπὸ σοῦ; ὡς δεινά, καὶ παρὰ μικρὸν ἦλθεν ἀπολεσθῆναι.

10. Οὐκ ἂν εἴη παισὶ κάλλιον γέρας, ἢ πατρὸς καλοῦ κἀγαθοῦ πεφυκέναι, κἀξ ἀγαθῶν γυναῖκα ἔχειν· ὡς εἴτις ἔρωτι ἁλοὺς, κακοῖς ὁμιλοίη, μεμπτὸς οὗτός γε, ὅτι ἕνεχ' ἡδονῆς ὄνειδος τοῖς ἑαυτοῦ καταλίποι παισί· τὴν γὰρ δυστυχίαν εὐγένεια μὲν ῥᾳδίως ἐκκρούσαιτ' ἄν· δυσγένεια δὲ χαλεπῶς ἐκείνης ἀπαλλαγείη· αὐτίκα γὰρ ἡμεῖς, ἐν ἐσχάταις γενόμενοι συμφοραῖς, εὕρομεν τελευτῶντες φίλους καὶ συγγενεῖς, οἳ μόνοι τῶν Ἑλλήνων πρὸς ὅσους τυγχάνομεν καταπεφευγότες, προὔστησαν ἡμῶν. Ἀλλ' ἐμβάλλετ', ὦ παῖδες, τὴν δεξιὰν αὐτοῖς, καὶ ὑμεῖς ἐκείνοις ὁμοίως, προσιόντες ἀλλήλοις· ἣν δέ ποθ' ὕστερον σὺν θεῷ, ἐπανιόντες ἐς τὴν φίλην πατρίδα, τὰ πατρῷα οἰκήσητε δώματα, καὶ τὰς προσηκούσας ἀνασώσησθε τιμὰς, μὴ λήγετε σωτῆρας ἀεὶ καὶ φίλους τούτους κηρύττοντες· ἀλλὰ τῶνδε μνείαν ἀΐδιον ἔχοντες, μηδέποτ' ἐπ' Ἀθήνας ἄρησθε ὅπλα, φιλτάτην πασῶν τὴν πόλιν ταύτην ἡγούμενοι εἶναι· χρὴ γὰρ ὑμᾶς τιμᾶν ἀεὶ τούτους, οἳ τοσαύτην γῆν, καὶ τοσοῦτον λαὸν τὸν ἐκ Πελασγίας προείλοντο ὑπὲρ ἡμῶν πολεμίους κεκτῆσθαι· καίτοι γὰρ ὁρῶντες ἡμᾶς πτωχοὺς πλανωμένους, ἀλλ' οὖν οὔτ' ἐξέδωκαν, οὔτε μὴν ἄλλως τῆς ἑαυτῶν ἐξήλασαν χώρας. Ἐγὼ δ' αὖ, ὦ τάν, καὶ ζῶν σε θαυμάζω, καὶ ἀποθανὼν, ἡνίκα πάθω τοῦτο, ἐπὶ μέγα ἀρῶ σε τοῖς ἐπαίνοις παρὰ τῷ Θησεῖ,

Πέλοπος. 317. Ἐνηλλάξαντο] ἀνθείλοντο ἀντὶ ἡμῶν εἵλοντο ἔχειν ἐκείνους πο-

Ὑψηλὸν αἴρω, καὶ λέγων τάδ' εὐφρανῶ,
Ὡς εὖ τ' ἐδέξω, καὶ τέκνοισιν ἤρκεσας
Τοῖς Ἡρακλείοις, εὐγενὴς δ' ἀν' Ἑλλάδα
Σώζεις πατρῴαν δόξαν· ἐξ ἐσθλῶν δὲ φὺς,
Οὐδὲν κακίων τυγχάνεις γεγὼς πατρὸς,
Παύρων μετ' ἄλλων· ἕνα γὰρ ἐν πολλοῖς ἴσως
Εὕροις ἂν, ὅστις ἐστὶ μὴ χείρων πατρός.
ΧΟ. Ἀεί ποθ' ἥδε γαῖα τοῖς ἀμηχάνοις
Σὺν τῷ δικαίῳ βούλεται προσωφελεῖν.
Τοιγὰρ πόνους δὴ μυρίους ὑπὲρ φίλων
Ἤνεγκε, καὶ νῦν τόνδ' ἀγῶν' ὁρῶ πέλας.
ΔΗ. Σοί τ' εὖ λέλεκται, καὶ τὰ τῶνδ' αὐχῶ, γέρον,
Τοιαῦτ' ἔσεσθαι· μνημονεύσεται χάρις.
Κἀγὼ μὲν ἀστῶν σύλλογον ποιήσομαι,
Τάξω δ', ὅπως ἂν τὸν Μυκηναίων στρατὸν
Πολλῇ δέχωμαι χειρί· πρῶτα μὲν σκοποὺς
Πέμψω πρὸς αὐτὸν, μὴ λάθῃ με προσπεσών·
(Ταχὺς γὰρ εἴργει πᾶς ἀνὴρ βοηδρόμος)
Μάντεις τ' ἀθροίσας θύσομαι· σὺ δ' ἐς δόμους
Σὺν παισὶ χώρει, Ζηνὸς ἐσχάραν λιπών.
Εἰσὶν γὰρ οἵ σου, κἂν ἐγὼ θυραῖος ὦ,
Μέριμναν ἕξουσ'· ἀλλ'' ἴθ' ἐς δόμους, γέρον.
ΙΟ. Οὐκ ἂν λίποιμι βωμόν· ἑζόμεσθα δὴ
Ἱκέται μένοντες ἐνθάδ' εὖ πρᾶξαι πόλιν.
Ὅταν δ' ἀγῶνος τοῦδ' ἀπαλλαχθῇς καλῶς,

---

λεμίους· ἐν ἄλλοις δὲ ἀπηλλάξαντο; 339. Εἴργει] οὕτως ἐξ ἄλλης ἐκδόσεως ἀντὶ τοῦ, Ἄργει· ἵνα ᾖ, πᾶς ἀνὴρ ταχὺς εἴργει τὸν ἐχθρὸν τῇ προαγγελίᾳ.

ἐν Ἄδου γενόμενος· ὃν εἰκότως εὐφρανῶ, ἐκείνων πρὸς ἐκεῖνον μνησθεὶς, ὡς εὖ τε καὶ γενναίως τοὺς Ἡρακλέους δεξάμενος, ἤμυνας αὐτοῖς, καὶ ὅτι εὐγενὴς ὢν, εὐγενῶς τὴν πατρῴαν δόξαν πρὸς τοὺς Ἕλληνας σώζεις, καὶ ἐξ ἀγαθῶν γεγονὼς, οὐδὲν ἧττων τοῦ πατρὸς τυγχάνεις ὢν ἀρετῇ· οὗ πολλοὶ μὲν ἐπιθυμοῦσι τυχεῖν, ἐπιτυγχάνουσι δ' ὡς ἐλάχιστοι· μόλις γὰρ ἂν ἐν πολλοῖς ἕνα εὕροις ὅμοιον γενόμενον τῷ πατρί.

ΧΟ. Ἡ τῶν Ἀθηναίων πόλις ἀείποτε προὔστη τῶν δεομένων, καὶ μυρίους κινδύνους ὑπὲρ τοιούτων ὑπέστη· πρὸς τοιοῦτον οὖν καὶ νῦν ὁρῶ αὐτὴν ἀποδυομένην ἀγῶνα.

ΔΗ. Ἅτε σοι, ὦ γέρον, εἴρηται πρὸς τοὺς παῖδας καλά ἐστι καὶ γενναῖα, καὶ τούτους αὐτοὺς ἡγοῦμαι τοιούτους ἔσεσθαι πρὸς ἡμᾶς, ὥστε γενομένους ἐν ὥρᾳ, μηδέποτε τῆς χάριτος ἐπιλήσεσθαι· ἐμοὶ δὲ νῦν ὥρα, ἐκκλησίαν ποιήσαντα τῶν πολιτῶν, συντάξασθαι ὡς κάλλιστα τὸν στρατὸν, ὅπως σὺν πολλῇ χειρὶ δέξωμαι Μηκυναίους, σκοποὺς προπέμψας· δέος γὰρ μὴ λάθωσιν ἡμᾶς, προσπεσόντες ἡμῖν ἀπροσδοκήτοις οὖσιν· ἀνὴρ γὰρ ταχύπους, τοὺς ἐχθροὺς ἀπήργει προαγγείλας· ἐπὶ δὲ τούτοις, ἀθροίσας τοὺς μάντεις εἰς ταὐτὸν, θύσομαι· σὺ δὲ λαβὼν τοὺς παῖδας, βάδιζε εἰς τὴν ἐμὴν οἰκίαν καταλιπὼν τὸν βωμόν· εἰσὶ γὰρ αὐτοῦ, οἳ ἐπιμέλειάν σου ποιήσονται, κᾂν ἐγὼ ἀπῶ· ἀλλ' ἀναστὰς χώρει θαῤῥῶν.

ΙΟ. Οὐκ ἂν ἐξίοιμι ἔγωγ' ἐντεῦθεν· δεῖ γὰρ ἡμᾶς καθέζεσθαι ἱκετεύοντας, ὅπως εὖ πράξῃ ἡ πόλις ἐν τῇ μάχῃ· νικήσαντος δέ σου, καὶ τοῦ ἀγῶνος καλῶς ἀπαλλα-

Ἴμεν πρὸς οἴκους· θεοῖσι δ' οὐ κακίοσι
Χρώμεσθα συμμάχοισιν Ἀργείων, ἄναξ.
Τῶν μὲν γὰρ Ἥρα προστατεῖ, Διὸς δάμαρ,
Ἡμῶν δ' Ἀθηνᾶ· φημὶ δ', εἰς εὐπραξίαν
Καὶ τοῦθ' ὑπάρχειν, θεῶν ἀμεινόνων τυχεῖν.
Νικωμένη γὰρ Παλλὰς οὐκ ἀνέξεται.

ΧΟ. Εἰ σὺ μέγ' αὐχεῖς, ἕτεροι (Στρ.)
Σοῦ πλέον οὐ μέλονται,
Ξεῖν', Ἀργόθεν ἐπελθών·
Μεγαλιγορίαισι δέ γ' ἐμὰς
Φρένας οὐ φοβήσεις.
Μήπω ταῖς μεγάλαισιν οὕτω
Καὶ καλλιχόροις Ἀθάναις
Εἴη· σύ τ' ἄφρων ὅ τ' Ἄργει
Σθενέλου τύραννος.
Ὃς πόλιν ἐλθὼν ἑτέραν, (Ἀν.)
Οὐδὲν ἐλάσσον' Ἄργους,
Θεῶν ἵκτορας ἀλάτας,
Καὶ ἐμᾶς χθονὸς ἀντεχομένους,
Ξένος ὢν, βιαίως
Ἕλκεις, οὐ βασιλεῦσιν εἴξας,
Οὐκ ἄλλο δίκαιον εἰπών.
Ποῦ ταῦτα καλῶς ἂν εἴη
Παρά γ' εὖ φρονοῦσιν.
Εἰρήνα μὲν ἔμοιγ' ἀρέσκει· (Ἐπῳδ.)
Σοὶ δ', ὦ κακόφρων ἄναξ,
Λέγω, εἰ πόλιν ἥξεις,
Οὐχ οὕτως, ἃ δοκεῖς, κυρήσεις.
Οὐ σοὶ μόνῳ ἔγχος, οὐδ'

γέντος, μεταβησόμεθα παρὰ σέ· ἐλπίζω δὲ, ὦ βασιλεῦ, νίκην ἡμῖν ἕπεσθαι, θεῶν οὐ κακιόνων ἡμῖν βοηθούντων· Ἀργείων μὲν γὰρ Ἥρα ἡ Διὸς γυνὴ προστατεῖ· ἡμῶν δ' Ἀθηνᾶ· ὃ καὶ τοῦθ' ἡμῖν οὐχ ἧττον εὐτυχὲς πρὸς τοῖς ἄλλοις κρειττόνων τυχεῖν θεῶν βοηθῶν· οὐδέποτε γὰρ, οἶμαι, ἀνέξεται ἡ Παλλὰς ἡττημένη.

10. Ὦ Κοπρεῦ, τὸν ξένον λέγω τὸν Ἀργόθεν ἄρτι ἐληλυθότα. σὺ μὲν αὐχεῖς, λόγοις ἐξάρας Ἄργος, ἀλλ' ἕτεροι μικρὰ τῶν σῶν φροντίζουσι κόμπων· οὐ γὰρ μεγαληγορῶν ἐκταράξεις με· μήποτ' εἴη ταῖς κλειναῖς καὶ εὐρυχώροις Ἀθήναις τοῦτο παθεῖν· σὺ δὲ, καὶ ὁ Σθενέλου ἐν Ἄργει παῖς ἄφρονα δοκεῖτε ποιεῖν.

Πῶς γὰρ οὔ, ὃς ξένος εἰς ξένην πόλιν οὐκ ἐλάσσω ἐλθὼν τοῦ Ἄργους, θεῶν ἱκέτας πλανωμένους, καὶ τῆς ἐμῆς ἐχομένους πατρίδος, τούτους βίᾳ ἐξαγαγεῖν ἐπειράσω, οὔτε βασιλεῦσιν ἐνδιδοὺς, οὔθ' ἕτερόν τι δίκαιον παρεχόμενος; πῶς οὐκ ἂν εἴη τοῦτο καλῶς ἔχον παρά γε τοῖς εὖ φρονοῦσιν;

Εἰρήνη μέν ἐστι πανταχοῦ καλὸν σὺ δ' ὅμως, ὦ ἄναξ ἀνόητε, ἴσθι, ὡς εἰ ἐφ' ἡμᾶς ἥκοις, οὐκ ἂν τύχοις, ὧν ἐπιθυμεῖς· οὐ γὰρ μόνος αὐτὸς ἀσπίδα καὶ δόρυ φέρεις·

Ἰτέα κατάχαλκός ἐστιν.
Ἀλλ᾽ ὦ πολέμων ἐραστὰ,
Μή μοι δορὶ συνταράξῃς
Τὰν εὐχαρίτως ἔχουσαν
Πόλιν, ἀλλ᾽ ἀνάσχου.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΙΟΛΑΟΣ, ΔΗΜΟΦΩΝ ΜΑΚΑΡΙΑ, ΧΟΡΟΣ.

ΙΟ. Ὦ παῖ, τί μοι σύννοιαν ὄμμασιν φέρων
Ἥκεις; νέον τι πολεμίων λέγεις πέρι;
Μέλλουσιν, ἢ πάρεισιν, ἤ τί πυνθάνῃ;
Οὐ γάρ τι μὴ ψεύσει γε κήρυκος λόγος.
Ὁ γὰρ στρατηγὸς, εὐτυχὴς τὰ πρόσθεν ὢν,
Εἶσιν σάφ᾽ οἶδα, καὶ μάλ οὐ σμικρὸν φρονῶν,
Ἐς τὰς Ἀθήνας· ἀλλὰ τῶν φρονημάτων
Ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.
ΔΗ. Ἥκει στράτευμ᾽ Ἀργεῖον, Εὐρυσθεύς τ᾽ ἄναξ·
Ἐγὼ νιν αὐτὸς εἶδον· ἄνδρα γὰρ χρεὼν,
Ὅστις στρατηγεῖν φήσ᾽ ἐπίστασθαι καλῶς,
Οὐκ ἀγγέλοισι τοὺς ἀναντίους ὁρᾶν.
Παιδία μὲν οὖν γῆς ἐς τάδ᾽ οὐκ ἐφῆκέ πω
Στρατὸν, λεπαίαν δ᾽ ὀφρύην καθήμενος

ἀλλ' ὦ ἐραστὰ πολέμων, ἀπέχου τῆς προθέσεως ταύτης; μηδὲ τὴν ἐμὴν χαρίεσσαν πόλιν συνταράξῃς πολέμῳ, ἀλλ' ἐπίσχες.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΙΟΛΑΟΣ, ΔΗΜΟΦΩΝ, ΜΑΚΑΡΙΑ, ΧΟΡΟΣ.

ΙΟ. Τί ποθ' οὕτως, ὦ παῖ, σύννους καὶ τὰς ὀφρῦς συνεσπακὼς πάρει; μήτι νέον ἔχεις εἰπεῖν περὶ τῶν πολεμίων; τί ποτ' ἐκεῖνοι; μέλλουσιν, ἢ πάρεισιν, ἤ τι δήποτε περὶ αὐτῶν ἔχεις ἀκηκοώς; ἃ γὰρ εἴρηται τῷ κήρυκι οὔμοι δοκεῖ ψευδῆ εἶναι· ὁ γὰρ στρατηγὸς ἐκείνων εὐτυχήσας τὰ πρὸς θεῶν, ὑπερήφανα, εὖ οἶδ' ὅτι, φρονεῖ, καὶ σοβαρὸς λίαν χωρεῖ ἐπὶ τὰς Ἀθήνας· ἀλλ' ὁ Ζεὺς εἴωθε κολάζειν τοὺς ἄγαν ἀλαζόνας.

ΔΗ. Στρατὸς Ἀργείων ἤδη ὑπ' αὐτῷ Εὐρυσθεῖ καθ' ὁδὸν ἐστὶν ἰὼν ἐφ' ἡμᾶς· αὐτὸς δ' ἐγὼ τοῖς ἐμαυτοῦ ὀφθαλμοῖς εἶδον τοῦτο· δεῖ γὰρ δὴ αὐτὸν τὸν στρατηγὸν ἐπίστασθαι σαφῶς τὰ πράγμαθ' ὅπως ἔχει, καὶ μὴ διὰ ἀγγέλων ὁρᾶν τοὺς πολεμίους· ἐντὸς μέντοι τῶν ὅρων τῆς ἡμετέρας χώρας οὔπω εἰσέβαλεν· ἐπὶ δὲ τῆς τοῦ

385. Τὰ πρόσθεν ὧν εἶσιν . . . εἰς τὰς Ἀθήνας;] οὕτω μετέβαλον τὸ χωρίον καὶ ἑτέρου γνώμῃ ἐκ μέρους ἀντὶ τοῦ τὰ πρὸς θεῶν ἐστιν . . . εἰς τὰς Ἀθήνας.

σκωπεῖ, (δόκησιν δὴ τόδ' ἂν λέγοιμί σοι,)
Ποίᾳ προσάξει στρατόπεδον τὰ νῦν δορὸς,
Ἐν ἀσφαλεῖ τε τῆσδ' ἱδρύσεται χθονός.
Καὶ τἀμὰ μέντοι πάντ', ἄραρ' ἤδη καλῶς·
Πόλις τ' ἐν ὅπλοις, σφάγιά θ' ἡτοιμασμένα
Ἕστηκεν, οἷς χρὴ ταῦτα τέμνεσθαι θεῶν,
Θυηπολεῖται δ' ἄστυ μάντεων ὕπο,
Τροπαῖά τ' ἐχθρῶν καὶ πόλει σωτήρια.
Χρησμῶν δ' ἀοιδοὺς πάντας εἰς ἓν ἁλίσας,
Ἤλεγξα καὶ βέβηλα καὶ κεκρυμμένα
Λόγια παλαιὰ, τῇδε γῇ σωτήρια.
Καὶ τῶν μὲν ἄλλων διάφορ' ἐστὶ θεσφάτων
Πόλλ'· ἓν δὲ πάντων γνῶμα ταὐτὸν ἐμπρέπει·
Σφάξαι κελεύουσίν με παρθένον κόρῃ
Δήμητρος, ἥτις ἐστὶ πατρὸς εὐγενοῦς.
Ἐγὼ δ' ἔχω μὲν, ὡς ὁρᾷς, προθυμίαν
Τοσήνδ' ἐς ὑμᾶς· παῖδα δ' οὔτ' ἐμὴν κτενῶ,
Οὔτ' ἄλλον ἀστῶν τῶν ἐμῶν ἀναγκάσω
Ἄκονθ'· ἑκὼν δὲ τίς κακῶς οὕτω φρονεῖ,
Ὅστις τὰ φίλτατ' ἐκ χερῶν δώσει τέκνα;
Καὶ νῦν πικρὰς ἂν συστάσεις ἂν εἰσίδοις,
Τῶν μὲν λεγόντων, ὡς δίκαιον ἦν ξένοις
Ἱκέταις ἀρήγειν, τῶν δὲ μωρίαν ἐμὴν
Κατηγορούντων· εἰ δὲ δὴ δράσω τόδε,

---

407. Γνῶμα] οὐδετέρως παρὰ ποιηταῖς ἀντὶ τοῦ γνώμη· τὸ δὲ Ἐμπρέπει, διαπρέπει ἐν τοῖς ἄλλοις, εἴτ' οὖν κρατεῖ τῶν ἄλλων βούλεται λέγειν· τὸ δὲ Κόρῃ Δήμητρος, ἐν ἄλλοις, κόρην Δήμητρος κεῖται, οὐ καλῶς. 115. Πικρὰς ἂν]

ὅρους ὀφρύος καθήμενος, σκοπεῖ ἐκεῖθεν, ὡς ἔγωγ' ἂν εἰκάσαιμι, ποίᾳ ὁδῷ προσαγαγὼν, ἐν ἀσφαλεστέρῳ τῆς χώρας στρατοπεδεύσει· ἀλλὰ καὶ τὰ πρὸς ἐμοῦ οὐκ ἐνδεεστέρως ἔχει· οἵτε γὰρ πολῖται ἐν ὅπλοις ἤδη εἰσὶ, καὶ τὰ σφάγια ἕτοιμα τοῖς θεοῖς, οἷς χρὴ καλλιερῆσαι· θύουσι δὲ καὶ οἱ μάντεις ἤδη ἐν τῇ πόλει ἀποτρόπαια μὲν τῶν πολεμίων, σωτήρια δὲ τῇ πόλει· πρὸς δὲ τούτοις συναλίσας εἰς ἓν πάντας τοὺς χρησμολόγους, ἐξήτησα τὰ παλαιὰ λόγια, βατά τε καὶ ἄβατα, κοινά τε καὶ κεκρυμμένα, ὅσα γέ ποτε ὑπὲρ τῆσδε τῆς πόλεως εἴρηται· καὶ περὶ μὲν τῶν ἄλλων θεσφάτων διάφοροι ἦσαν γνῶμαι· εἰς ἓν δ' ἐκεῖνο ἡ τῶν πάντων συντείνει ψῆφος· πᾶσι γὰρ συνδοκεῖ δεῖν με παρθένον τῇ Δήμητρι θῦσαι, ἥτις ἂν ᾖ πατρὸς εὐγενοῦς γεγενημένη· ἔμοιγ' οὖν ἐστι μὲν πολλὴ προθυμία, ὡς ὁρᾷς, ὑμᾶς διασῶσαι, ἀλλ' οὐκ ἂν τὴν ἐμαυτοῦ θυγατέρα τολμήσαιμι ἀνελεῖν· οὔτ' ἄλλον τινὰ τῶν πολιτῶν βιασαίμην ἂν ἄκοντα τοῦτο πρᾶξαι· ἄλλως δ' οὐδεὶς ἐς τοῦτο μελαγχολίας ἥξει, ὃς ἑκὼν τὴν ἑαυτοῦ φιλτάτην προήσεται θυγατέρα· καὶ νῦν ἐκ τούτου ἴδοις ἂν πολλοὺς κατὰ πολλὰς γωνίας συνισταμένους, καὶ πικρῶς πρὸς ἀλλήλους συζητοῦντας, τοὺς μὲν χρῆναι λέγοντας ἀμύναι τοῖς ἱκέταις, τοὺς δὲ πολλὴν ἐμοῦ μωρίαν ἐκ τούτου καταγνόντας. εἰ οὖν μὴ ἐνδοίην αὐτοῖς ὁπωσ-

---

ἐν ἄλλοις κεῖται, πικρὸν ὄν· ὃ καὶ ἄμεινον ἴσως. 418. Εἰ μὴ δράσω τόδε] ἐν ἄλλοις, Ἂν μή. πότερον δὲ ἐξελάσαι τοὺς ξένους ἢ βοηθῆσαι; ἢ καὶ τρίτον, εἰ μὴ θύσαιμι τοιαύτην παρθένον; τοῦτ' ἔοικε. Δημοφῶν γὰρ, καὶ μὴ λέγων, ἀναφέρει τὸ χρέος τοῦτο εἰς μίαν τῶν θυγατέρων τοῦ Ἡρακλέους. 434. Οὐ μέλλουσα διατελεῖν] διαρκέσειν, διασώσειν.

Οἰκεῖος ἤδη πόλεμος ἐξαρτύεται.
Ταῦτ' οὖν ὅρα σὺ καὶ συνεξεύρισχ', ὅπως
Αὐτοί τε σωθήσεσθε, καὶ πέδον τόδε,
Κἀγὼ πολίταις μὴ διαβληθήσομαι.
Οὐ γὰρ τυραννίδ' ὥστε βαρβάρων ἔχω·
Ἀλλ' ἢν δίκαια δρῶ, δίκαια πείσομαι.

ΧΟ. Ἀλλ' ἦ πρόθυμον οὖσαν οὐκ ἐᾷ θεὸς
Ξένοις ἀρήγειν τήνδε χρῄζουσαν πόλιν.

ΙΟ. Ὦ τέκν' ἔοιγμεν ναυτίλοισιν, οἵτινες
Χειμῶνος ἐκφυγόντες ἄγριον μένος
Ἐς χεῖρα γῇ συνῆψαν, εἶτα χερσόθεν
Πνοαῖσιν ἠλάθησαν ἐς πόντον πάλιν.
Οὕτω δὲ χἠμεῖς τῆσδ' ἀπωθούμεσθα γῆς,
Ἤδη πρὸς ἀκταῖς ὄντες, ὡς σεσωσμένοι.
Οἴμοι! τί δῆτ' ἔτερψας, ὦ τάλαινά, με,
Ἐλπὶς τότ', οὐ μέλλουσα διατελεῖν χάριν;
Συγγνωστὰ γάρ τοι καὶ τὰ τοῦδ', εἰ μὴ θέλοι
Κτείνειν πολιτῶν παῖδας· αἰνέσας δ' ἔχω
Καὶ τἀνθάδ'· εἰ θεοῖσι δὴ δοκεῖ τάδε
Πράσσειν ἔμ', οὔτοι σοί γ' ἀπόλλυται χάρις.
Ὦ παῖδες ὑμῖν δ' οὐκ ἔχω τί χρήσομαι.
Ποῖ τρεψόμεσθα; τίς γὰρ ἄσπιστος θεῶν;
Ποῖον δὲ γαίας ἕρκος οὐκ ἀφίγμεθα;
Ὀλούμεθ', ὦ τέκν', ἐκδοθησόμεσθα δή.
Κἀμοὶ μὲν οὐδὲν, εἴ με χρὴ θανεῖν, μέλει,
Πλὴν εἴ τι τέρψω τοὺς ἐμοὺς ἐχθροὺς, θανών.
Ὑμᾶς δὲ κλάω καὶ κατοικτείρω, τέκνα,

δήποτε, εἰς ἐμφύλιον ἂν πόλεμον ἡμῖν περισταίη τὸ πρᾶγμα. Ἐπὶ τούτοις οὖν σκέψαι καὶ αὐτὸς ὅ,τι δύνῃ, συνεξευρίσκων, ὅπως αὐτοί τε σωθήσεσθε, καὶ ἡ χώρα μηδὲν πείσεται, κἀγὼ αὐτὸς μηδὲν διαβληθήσομαι πρὸς τοὺς ἄλλους· οὐ γὰρ ὡς βαρβάρων τούτων ἄρχω· ἀλλ' οἷον ἂν ἐμαυτὸν ἐκείνοις παράσχω, τοιούτων ἐκείνων κἀγὼ πειραθήσομαι.

ΧΟ. Ἀλλ' οὐκ ἂν καταλίποι ποτὲ θεὸς τὴν πόλιν ταύτην, βουλομένην ἀμύναι τοῖς ἱκέταις.

ΙΟ. Ὦ τέκνα, ὁρᾶθ' ὅπως ναύταις ἐοίκαμεν χειμασθεῖσι; καθάπερ γὰρ ἐκεῖνοι, φυγόντες πῃ τὸν ἐκ τοῦ χειμῶνος κίνδυνον, ἥψαντο μὲν τὸ πρῶτον ἥδιστα τῆς γῆς· ἀλλ' ἑτέρου πνεύματος βίᾳ ἀντιπνεύσαντος ὡς ἀπὸ τῆς χέρσου, συνηρπάγησαν πάλιν εἰς μέσον τὸ πέλαγος· ταὐτὰ δὲ συμβαίνει καὶ ἡμῖν νῦν, πρὸς αὐταῖς οὖσι ταῖς ἀκταῖς, ἀντιπερισπασθῆναι. Οἴμοι! τί δ', ὦ τάλαινα, ἐλπὶς ηὔφρανάς με, εἴγ' ἤμελλές με μετὰ μικρὸν ἀφελέσθαι τὴν χάριν; συγγνωστὸν δ' οὖν καὶ τῷ Δημοφῶντι, ὀκνοῦντι τοὺς τῶν πολιτῶν παῖδας ὑπὲρ ἡμῶν ἀνελεῖν· ἐπαινῶ καὶ τὸ τῇ πόλει δόξαν περὶ ἡμῶν· εἰ δὲ οἱ θεοὶ βούλονται κακῶς ἐμὲ πράττειν, ἀλλ' οὖν γ' ἥν σοι ὀφείλομεν χάριν, αὕτη οὐκ ἀπολεῖται. Ἡμῖν δ', ὦ παῖδες, τί ποτε χρήσωμαι; καὶ ποῖ δὴ τραπώμεθα καταφεύγοντες; τίνας τῶν θεῶν οὐ τυγχάνομεν τὰ εἰκότα τεθαραπευκότες; εἰς ποῖον ἔρυμα τῆς γῆς οὐκ ἀφίγμεθα; ἀπολούμεθ', ὦ τέκνα, ἐκδοθησόμεθα ἐχθρῷ ὠμῷ καὶ σκαιῷ· κἀμοὶ μὲν οὐδὲν μέλει, πλὴν ὅτι ἀποθανὼν, εὐφρανῶ τοὺς ἐχθροὺς ἐμαυτοῦ· τοῦτο δήπου

Καὶ τὴν γεραιὰν μητέρ' Ἀλκμήνην πατρός.
Ὦ δυστάλαινα τοῦ μακροῦ βίου σέθεν!
Τλήμων δὲ κἀγὼ, πολλὰ μοχθήσας μάτην!
Χρῆν, χρῆν ἄρ' ἡμᾶς ἀνδρὸς εἰς ἐχθροῦ χέρας
Πεσόντας, αἰσχρῶς καὶ κακῶς λιπεῖν βίον.
Ἀλλ' οἶσθ', ὅ μοι σύμπραξον; οὐχ' ἅπασα γὰρ
Πέφευγεν ἐλπὶς τῶνδέ μοι σωτηρίας.
Ἔμ' ἔκδος Ἀργείοισιν ἀντὶ τῶνδ', ἄναξ,
Καὶ μήτε κινδύνευε, σωθήτω τέ μοι
Τέκν'· οὐ φιλεῖν δεῖ τὴν ἐμὴν τύχην· ἴτω.
Μάλιστα δ' Εὐρυσθεύς με βούλοιτ' ἂν λαβὼν
Τὸν Ἡράκλειον σύμμαχον καθυβρίσαι.
Σκαιὸς γὰρ ὡνήρ· τοῖς σοφοῖς δ' εὐκτὸν σοφῷ
Ἔχθραν συνάπτειν, μὴ 'μαθεῖ φρονήματι·
Πολλῆς γὰρ αἰδοῦς καὶ δίκης τις ἂν τύχοι.

ΧΟ. Ὦ πέσβυ, μὴ νῦν τήνδ' ἐπαιτιῶ πόλιν.
Τάχ' ἂν γὰρ ἡμῖν κέρδος, ἀλλ' ὅμως κακὸν
Γένοιτ' ὄνειδος, ὡς ξένους προὐδώκαμεν.

ΔΗ. Γενναῖα μὲν τάδ' εἶπας, ἀλλ' ἀμήχανα.
Οὐ σοῦ χατίζων, δεῦρ' ἄναξ στρατηλατεῖ.
Τί γὰρ γέροντος ἀνδρὸς Εὐρυσθεῖ πλέον
Θανόντος; ἀλλὰ τούσδε βούλεται κτανεῖν.
Δεινὸν γὰρ ἐχθροῖς βλαστάνοντες εὐγενεῖς
Νεανίαι τε, καὶ πατρὸς μεμνημένοι

---

451. Οἶσθα, ὅ μοι σύμπραξον] ὅμοιον τῷ ἐν τῷ Κύκλωπι. στίχ. 131. — 460. Καὶ δίκης] ἐν ἄλλοις καὶ Τύχης· καὶ Κἀτυχής· ὁ δὲ νοῦς· εἰ δεῖ ἐχθροὺς ἔχειν, φρονίμους δεῖ εὔχεσθαι ἔχειν. δυστυχήσαντες γὰρ μετριωτέροις ἐκείνοις χρησόμεθα.

παρεςὼς τῇ διανοίᾳ μάλιςά με λυπεῖ· ὑμᾶς δὲ κλαίω, ὦ τέκνα, καὶ ἐλεῶ· ὑμᾶςτε καὶ σὺν ὑμῖν Ἀλκμήνην τὴν γεραιὰν, τὴν τοῦ πατρὸς ὑμῶν τάλαιναν μητέρα· ὦ δυςάλαινα σύγε τῆς μακροβιότητος· τάλας δὲ κἀγὼ, ὃς τοσούτους ὑπήνεγκα πόνους μάτην· ἔδει ἄρ' ἔδει εἰς χεῖρας ὑμᾶς τῶν ἐχθρῶν ἐμπεσόντας, αἰσχρὸν γενέσθαι θῦμα. Ἀλλ' οἶσθ', ὦ ἄναξ, ὃ ἐξαιτοῦμαι γενέσθαί μοι παρὰ σοῦ; ὕπεστι γάρ μοι ἔθ' ὑπόλοιπός τις ἐλπὶς ὑπὲρ τῶν παίδων· ἀντὶ γὰρ τούτων ἐμὲ ἐκδώσεις τοῖς Ἀργείοις· οὕτω γὰρ τά τε κατὰ σὲ ἐκτὸς κινδύνου ἔσται, καὶ οἱ παῖδες σωθήσονταί μοι· τὸ γὰρ κατ' ἐμαυτὸν οὐ φιλοψυχήσω· ἴτω· εἴπερ καὶ Εὐρυσθεὺς, σκαιὸς ὢν, ἐπιθυμεῖ λαβών με καθυβρίσαι, ὡς σύμμαχον Ἡρακλεῖ γε γενημένον. καίτοι οἱ μεγαλόφρονες καὶ συνετοὶ ἐχθρῶν μεγαλοφρόνων, ἀλλ' οὐ σκαιῶν καὶ ὠμῶν εὔχονται τυχεῖν εἰκότι λόγῳ· παρὰ γὰρ τοῖς τοιούτοις καὶ ἀτυχήσας τίς, πολλῆς αἰδοῦς ἂν τύχοι.

ΧΟ. Ὦ γέρον, μὴ ἐπαιτιῶ τὴν πόλιν τῆς συμφορᾶς· ἔστι μέν πως αὐτῇ κερδαίνειν, ἀποφυγοῦσαν τὸν πόλεμον· ἀλλ' οὐκ ἔστιν ἀποφυγεῖν μεῖζον κακὸν τὴν αἰσχύνην, ὡς τοὺς ξένους προϊεμένην.

ΔΗ· Γενναῖα μὲν ταῦτα φὴς, ὦ γέρον, ἀλλ' οὐ δυνατά· ὁ γὰρ ἐπιὼν ἐχθρὸς, οὐχ ἕνεκά σου ἐπιστρατεύει δεῦρο· τί γὰρ αὐτῷ κέρδος, γέροντος ἀνδρὸς ἀποθανόντος; ἀλλὰ τούτους βούλεται καταστρέψαι· νέοι γὰρ αὔξοντες, καὶ ὧν παρ' ἐκείνου ὁ πατὴρ αὐτῶν πέπονθε, τα-

Λύμας· ἃ κεῖνον πάντα προσκοπεῖν χρεών.
Ἀλλ' εἴ τιν' ἄλλην οἶσθα καιριωτέραν
Βουλὴν, ἑτοίμαζ', ὡς ἔγωγ' ἀμήχανος,
Χρησμῶν ἀκούσας, εἰμὶ καὶ φόβου πλέως.

ΜΑ. Ξένοι, θράσος μοι μηδὲν ἐξόδοις ἐμαῖς
Πρόσθητε· πρῶτον γὰρ τόδ' ἐξαιτήσομαι.
Γυναικὶ γὰρ σιγή τε, καὶ τὸ σωφρονεῖν
Κάλλιστον, εἴσω δ' ἥσυχον μένειν δόμων.
Τῶν σῶν δ' ἀκούσασ', Ἰόλεως, στεναγμάτων,
Ἐξῆλθον, οὐ ταχθεῖσα πρεσβεύειν γένους.
Ἀλλ' εἰμὶ γάρ πως πρόσφορος· μέλει δέ μοι
Μάλιστ' ἀδελφῶν τῶνδε, κἀμαυτῆς πέρι
Θέλω πυθέσθαι, μὴ 'πὶ τοῖς πάλαι κακοῖς
Προσκείμενόν τι πῆμα σὴν δάκνει φρένα.

ΙΟ. Ὦ παῖ, μάλιστά σ' οὐ νεωστὶ δὴ τέκνων
Τῶν Ἡρακλείων ἐνδίκως αἰνεῖν ἔχω.
Ἡμῖν δὲ δόξας εὖ προχωρῆσαι δόμος,
Πάλιν μεθέστηκ' αὖθις εἰς ἀμήχανον.
Χρησμῶν γὰρ ᾠδοὺς φησὶ σημαίνειν ὅδε,
Οὐ ταῦρον, οὐδὲ μόσχον, ἀλλὰ παρθένον
Σφάξαι κελεύειν, πατρὸς ἥτις εὐγενοῦς,
Εἰ χρῆν μὲν ἡμᾶς, χρῆν δὲ τήνδ' εἶναι πόλιν.
Ταῦτ' οὖν ἀμηχανοῦμεν· οὔτε γὰρ τέκνα
Σφάζειν ὅδ' αὑτοῦ φησιν, οὔτ' ἄλλου τινός.

---

471. **Καιριωτέραν**] οὐσιωδεστέραν, σωτηριώδη· βούλεται γὰρ ὁ εὐγενὴς Δημοφῶν ἀφ' ἑαυτοῦ τὸν Ἰόλαον προβαλεῖν τινα τῶν Ἡρακλήδων· προλαβοῦσα δὲ ἡ Μακαρία,

μιεύοντες μνήμην, φόβον ἐμποιοῦσι τοῖς πολεμίοις· καὶ τοῦτ' ἔσθ' ὃ ἐκεῖνος φυλάττεται προνοῶν· ἀλλὰ σύγ', εἴτιν' ἄλλην μηχανὴν σωτηρίας δύναιο ἐξευρεῖν, τοῦτο σκόπει· ἐγὼ γὰρ ἀμήχανος εἰμὶ πανταχόθεν ἕνεκα τῶν χρησμῶν, καὶ κατεπτοημένος.

ΜΑ. Ὦ ξένοι· πρῶτον γὰρ τοῦτ' ἐξαιτήσομαι παρ' ὑμῶν ἐμοὶ γενέσθαι, μή μου ἀναίδειάν τινα καταγνῶτε, ἐξελθούσης ἐνταῦθα· οἶδα μὲν γὰρ κάλλιστον κόσμον ὄντα γυναικὶ σιγήν τε καὶ σωφροσύνην, καὶ τὸ ἥσυχον οἶκοι μένειν· ἀλλὰ τῶν σῶν, ὦ Ἰόλαε, ἀκούσασα στεναγμῶν ἐξῆλθον, οὐ ταχθεῖσα περὶ τοῦ ἐμαυτῆς τι πρεσβεῦσαι γένους, ἀλλ' αὐθόρμητός πως εἰμὶ πρὸς τοῦτο· μέλει γὰρ, μάλιστά μοι τῶν τ' ἀδελφῶν τούτων μέλει, καὶ περὶ ἐμαυτῆς ἐθέλω μαθεῖν, μὴ ἐπὶ ταῖς πάλαι συμφοραῖς, ἕτερόν τι προστεθὲν, δάκνει τὴν σὴν καρδίαν.

ΙΟ. Ὦ παῖ, οὐ νῦν πρῶτον, ἀλλὰ πάλιν δικαίως ἐπαινῶ σε μάλιστα πάντων τῶν Ἡρακλέους παίδων· ἃ δὲ ἀκήκοάς μου γένοντος, ἔχει οὕτω· δόξαντα γὰρ εὖ ἡμῖν τὰ πράγματα ἔχειν, νῦν μεθέστηκεν αἴφνης εἰς ἀμηχανίαν· φησὶ γὰρ οὗτος τοὺς χρησμῳδοὺς κελεύειν, εἰ χρὴ ἡμᾶς τε καὶ τὴν πόλιν διασωθῆναι, θῦσαι θεοῖς οὐ ταῦρον, οὐ μόσχον, παρθένον δὲ, πατρὸς εὐγενοῦς εὐγενῆ γεγεννημένην· ἐν τούτοις οὖν ἡμῖν ἡ ἀμηχανία· οὗτος γὰρ οὔ φησιν οὔθ' ἑαυτοῦ, οὔτ' ἄλλου του τῶν πολιτῶν τὴν θυγατέρα σφάξειν· διὸ εἰ μή τινα μηχανὴν

---

προτείνει ἑτοίμως αὐτὴ ἑαυτήν. 480. Ἀλλὰ εἰ μὴ γάρ πως πρόσφορος] ἀλλ' οὐκ οἶδ' ὅπως ἀπ' ἐμαυτῆς εἰμι πρὸς τοῦτο φερομένη, αὐθόρμητος. 488. Χρησμῶν γὰρ

Κἀμοὶ λέγει μὲν οὐ σαφῶς, λέγει δέ πως,
Εἰ μή τι τούτων μῆχαρ ἐξευρήσομεν,
Ἡμᾶς μὲν ἄλλην γαῖαν εὑρίσκειν τινὰ,
Αὐτὸς δὲ σῶσαι τήνδε βούλεται χθόνα.

**ΜΑ.** Ἐν τῷδε κεισόμεσθα σωθῆναι λόγῳ;

**ΙΟ.** Ἐν τῷδε, τἄλλα γ' εὐτυχῶς πεπραγότες,

**ΜΑ.** Μὴ νῦν τρέσῃς ἔτ' ἐχθρὸν Ἀργεῖον δόρυ·
Ἐγὼ γὰρ αὐτῆ, πρὶν κελευσθῆναι, γέρον,
Θνήσκειν ἑτοίμη καὶ παρίςασθαι σφαγῆ.
Τί φήσομεν γάρ; εἰ πόλις μὲν ἀξιοῖ
Κίνδυνον ἡμῶν οὕνεχ' αἱρεῖσθαι μέγαν,
Αὐτοὶ δὲ, προστιθέντες ἄλλοισιν πόνους,
Παρὸν σεσῶσθαι, φευξόμεσθα μὴ θανεῖν;
Οὐ δῆτ', ἐπεί τοι καὶ γέλωτος ἄξια,
Στένειν μὲν ἱκέτας δαιμόνων καθημένους,
Πατρὸς δ' ἐκείνου φύντας, οὗ πεφύκαμεν,
Κακοὺς ὁρᾶσθαι· ποῦ τάδ' ἐν χρηστοῖς πρέπει;
Κάλλιον, οἶμαι, τῆσδ', ἃ μὴ τύχοι ποτὲ,
Πόλεως ἁλούσης, χεῖρας εἰς ἐχθρῶν πεσεῖν,
Κἄπειτα δεινὰ, πατρὸς οὖσαν εὐγενοῦς,
Παθοῦσαν, ῞Αδην μηδὲν ἧσσον εἰσιδεῖν.
Ἀλλ' ἐκπεσοῦσα τῆσδ' ἀλητεύσω χθονὸς,
Κοὐκ αἰσχυνοῦμαι δῆτ', ἐὰν δή τις λέγῃ;
Τί δεῦρ' ἀφίκεσθ' ἱκεσίοισι σὺν κλάδοις,
Αὐτοὶ φιλοψυχοῦντες; ἔξιτε χθονός.
Κακοὺς γὰρ ἡμεῖς οὐ προσωφελήσομεν.
Ἀλλ' οὐδὲ μέντοι, τῶνδε μὲν τεθνηκότων,
Αὐτὴ δὲ σωθεῖσ', ἐλπίδ' εὖ πράξειν ἔχω·

ἐξεύροιμεν πρὸς ταῦτα, σαφῶς μὲν οὐ λέγει μοι, ἀλλά γε σιγῶν κελεύει ἑτέραν ἡμᾶς χώραν εὑρεῖν πρὸς σωτηρίαν· βούλεσθαι γὰρ τὴν ἑαυτοῦ χώραν σῶσαι.

**ΜΑ.** Κᾂν τούτῳ μόνῳ κείσεται ἡμῶν ἡ σωτηρία;

ΙΟ. Τούτῳ δήπου· τὰ δ' ἄλλα εὐτυχῆ ἡμῖν πάντα.

ΜΑ. Μὴ τοίνυν φοβοῦ τὸ δόρυ τῶν Ἀργείων· ἐγὼ γὰρ αὐτὴ, ὦ γέρον, ἕτοιμός εἰμι τῶν ἄλλων ὑπερθνήσκειν, ἑκοῦσα πρὸς τὴν σφαγὴν ἐλθοῦσα· τί γὰρ ἀπολογησόμεθα, εἰ ἡ μὲν πόλις αὕτη μέγαν αἱρεῖται κίνδυνον ὑπὲρ ἡμῶν ἀρέσθαι, παρὸν μηδὲν κακὸν ἔχειν, αὐτοὶ δ' ἡμεῖς, ἄλλοις ἐπιθέντες ἀγῶνα, φιλοψυχήσαιμεν; οὐ δῆτα· αἰσχύνη γὰρ κλαίειν μὲν ἱκετεύοντας ἐπὶ τῶν βωμῶν, φαίνεσθαι δὲ κακοὺς, ἐξ ἀγαθοῦ πατρὸς πεφυκότας· πῶς γὰρ ἂν εἴη τοῦτ' ἀγαθοῖς καλὸν, ἁλούσης τῆς πόλεως, ὃ μὴ γένοιτο, τῆσδε, εἰς χεῖρας ἐμπεσεῖν τῶν ἐχθρῶν, κἆτα παθοῦσαν, οἷα δὴ καὶ πάθοιμι ἂν παρ' ἐκείνων, εὐγενοῦς πατρὸς οὖσα, μηδὲν ἧττον ἀποθανεῖν; ἀλλ' εἴποι τις ἂν, ὡς ἐξελασθεῖσα τῆς χώρας ταύτης, περιέσομαι, γῆν ἐκ γῆς, καὶ ἐκ πόλεως πόλιν ἀμειβομένη· εἶτ' οὐκ αἰσχυνθήσομαι, εἴτις ἐρεῖ μοι, τίποθ' ὑμεῖς ἥκεθ' ὧδε ἱκετηρίαις, αὐτοὶ φιλόψυχοι ὄντες; ἄπιτ' ἀφ' ἡμῶν· οὐ γὰρ ἄξιον ἀμύνειν τοῖς τοιούτοις· ἀλλὰ μήτ' αὖ σωθεῖσαν αὐτὴν, τῶν ἀδελφῶν τουτωνὶ ἀπολωλότων, ὕπεστί τις ἐλπὶς εὖ με πράξειν ποθ' ὕπε-

---

ῳδοὺς] ἀοιδοὺς, χρησμολόγους. 495. Μῆχαρ ἐξευρήσομεν] ἐν ἄλλοις ἐξαμηχανήσομεν· ὡς καὶ κατωτέρω. στίχ. 498. ἀντὶ τοῦ Κεισόμεθα κεῖται Κευχόμεθα. 511. Κάλλιον] εἰρωνικὰ ταῦτα.

Πολλοὶ γὰρ ἤδη τῇδε προὔδοσαν φίλους.
Τίς γάρ κόρην ἔρημον ἢ δάμαρτ' ἔχειν,
Ἢ παιδοποιεῖν ἐξ ἐμοῦ βουλήσεται;
Οὐκοῦν θανεῖν ἄμεινον, ἢ τούτων τυχεῖν
Ἀναξίαν. ἄλλῃ δὲ καὶ πρέπει τινὶ
Μᾶλλον τάδ', ἥτις μὴ 'πίσημος, ὡς ἐγώ.
Ἡγεῖσθ', ὅπου δεῖ σῶμα κατθανεῖν τόδε,
Καὶ στεμματοῦτε, καὶ κατάρχεσθ', εἰ δοκεῖ,
Νικᾶτε δ' ἐχθρούς· ἥδε γὰρ ψυχὴ πάρα
Ἑκοῦσα κοὐκ ἄκουσα· κἀξαγγέλλομαι
Θνήσκειν ἀδελφῶν τῶνδε κἀμαυτῆς ὕπερ.
Εὕρημα γάρ τοι μὴ φιλοψυχοῦσ' ἐγὼ
Κάλλιστον εὕρηκ' εὐκλεῶς λιπεῖν βίον.

ΧΟ. Φεῦ, φεῦ! τί λέξω, παρθένου μέγαν λόγον
Κλύων, ἀδελφῶν ἣ πάρος θέλει θανεῖν;
Τούτων τίς ἂν λέξειε γενναίους λόγους
Μᾶλλον; τίς ἂν δράσειεν ἀνθρώπων ἔτι;

ΙΟ. Ὦ τέκνον, οὐκ ἔστ' ἄλλοθεν τὸ σὸν κάρα,
Ἀλλ' ἐξ ἐκείνου σπέρμα τῆς θείας φρενὸς
Πέφυκας Ἡρακλῆος· οὐδ' αἰσχύνομαι
Τοῖς σοῖς λόγοισι, τῇ τύχῃ δ' ἀλγύνομαι.
Ἀλλ' ᾗ γένοιτ' ἂν ἐνδικωτέρως, φράσω·
Πάσας ἀδελφὰς τῆσδε δεῦρο χρὴ καλεῖν,
Κᾆθ' ἡ λαχοῦσα θνησκέτω γένους ὕπερ·
Σὲ δ' οὐ δίκαιον κατθανεῖν ἄνευ πάλου.

ΜΑ. Οὐκ ἂν θάνοιμι τῇ τύχῃ λαχοῦσ' ἐγώ.
Χάρις γὰρ οὐ πρόσεστι· μὴ λέξῃς, γέρον.

ρον· οὕτω γὰρ πολλοὶ ἐξηλέγχθησαν προέμενοι τοὺς φίλους· τίς γὰρ ἔσθ' ὅστις παρθένον ὀρφανὴν ἢ γυναῖκα ἔχειν ἢ λαβὼν, βουλήσεται ἐξ ἐμοῦ παιδοποιῆσαι; ἄμεινόν μοι, ἆρ' ἀποθανεῖν, ἢ τούτων ἀναξίως τυχεῖν· ἐατέον ταῦθ' ἑτέρᾳ τινὶ παθεῖν, ἢ οὐκ ἔλαχε γενέσθαι ἐπίσημος, μήδ' ἐμοὶ ὁμοία. Οὐκοῦν ἡγεῖσθέ μοι τὴν ἐπὶ τὸν θάνατον, ἄγεθ' ὅποι δεῖ ἐλθοῦσάν με καταστρέψαι· καί με ἤδη καταστέψατε, εἰ δοκεῖ, καὶ κατάρξασθέ μου ἑκούσης· καὶ τοὺς ἐχθροὺς νικᾶτε· ὁρᾶτε γὰρ ὅπως αὐτὴ ἐμαυτὴν ἑκοῦσα προΐεμαι ὑπὲρ τῶν φιλτάτων μοι τούτων ἀποθανεῖν ἀδελφῶν· ἀγῶνα γὰρ κάλλιστον ἐγὼ ἐξεῦρον τοῦτον, εὐκλεῶς ἀποθανεῖν μὴ φιλοψυχοῦσα.

ΧΟ. Φεῦ, φεῦ· τί εἴπω πρὸς ταῦτα, γενναῖ' ἀκούσας τῆς παρθένου λεγούσης, ἢ προαποθανεῖν τῶν ἄλλων αἱρεῖται; τούτων γὰρ γενναιότερα τίς ἂν τῶν πάντων ἀνθρώπων ἢ λόγῳ εἴποι, ἢ ἔργῳ περάνειεν;

ΙΟ. Ὦ τέκνον, οὐκ ἄλλου του, ἀλλ' αὐτοῦ ἐκείνου τοῦ θείου ἀνδρὸς σπέρμα εἶ Ἡρακλέους· κἀγὼ μὲν οὐκ αἰσχύνομαι τοιαῦτ' ἀκούων λεγούσης σοῦ· ἀλγῶ δὲ ἐπὶ τῇ σῇ τύχῃ· ἀλλ' ὅπως δικαιότερα ταῦτ' ἔσται, τοῦτ' ἤδη ἐρῶ· συνελθουσῶν γὰρ πασῶν τῶν ἀδελφῶν ὧδε, κληρῶμεν· εἶθ' οὕτως ἡ λαχοῦσα θνησκέτω ὑπὲρ τῶν ἄλλων. σὲ δ' ἄκληρον ὑπὲρ τῶν ἄλλων ἀποθανεῖν οὐ χρή· οὐ γὰρ δίκαιον.

ΜΑ. Οὐκ ἂν ἔγωγε κλήρου ἀποθάνοιμι βίᾳ, μήδ' ἐρεῖς ποτε τοῦτ', ὦ γέρον, ἀφαιρῶν με οὕτω τὴν τοῦ θανάτου

529. Στέμματοῦτε, κατάρχεσθε] καθάπερ γὰρ τῶν κτηνῶν τῶν εἰς θυσίαν προσφερομένων καταρχὰς ἐποίουν· οὕτω καὶ τῶν ἀνθρώπων τῶν μελλόντων τεθύσεσθαι. ἴδε Ἰφιγ. Ταύρ. 40. καὶ Ἰφ. Αὐλ. στίχ. 1487. καὶ ἑξῆς. 1522. καὶ 1577. καὶ ἑξῆς. 558. Θάνω] ἐνεστὼς ἐστιν

Ἀλλ' εἰ μὲν ἐνδέχεσθε, καὶ βούλεσθέ μοι
Χρῆσθαι προθύμῳ, τὴν ἐμὴν ψυχὴν ἐγὼ
Δίδωμ' ἑκοῦσα τοῖσδ', ἀναγκασθεῖσα δ' οὔ.
ΙΟ. (Φεῦ!) ὅδ' αὖ λόγος σοὶ τοῦ πρὶν εὐγενέστερος·
Κἀκεῖνος ἦν ἄριστος, ἀλ' ὑπερφέρεις
Τόλμῃ τε τόλμαν καὶ λόγῳ χρηστῷ λόγον.
Οὐ μὴν κελεύω γ', οὐδ' ἀπεννέπω, τέκνον,
Θνήσκειν σ'· ἀδελφοὺς δ' ὠφελεῖς, θανοῦσα σούς.
ΜΑ. Σοφῶς κελεύεις· μὴ τρέσῃς μιάσματος
Τοὐμοῦ μετασχεῖν, ἀλλ' ἐλευθέρως θάνω.
Ἕπου δὲ, πρέσβυ· σῇ γὰρ ἐνθανεῖν χερὶ
Θέλω· πέπλοις δὲ σῶμ' ἐμὸν κρύψον παρών.
Ἐπεὶ σφαγῆς γε πρὸς τὸ δεινὸν εἶμ' ἐγὼ,
Εἴπερ πέφυκα πατρὸς, οὗπερ εὔχομαι.
ΙΟ. Οὐκ ἂν δυναίμην σῷ 'παρεστάναι μόρῳ.
ΜΑ. Σὺ δ' ἀλλὰ τοῦδε χρῇζε, μή μ' ἐν ἀρσένων,
Ἀλλ' ἐν γυναικῶν χερσὶν ἐκπνεῦσαι βίον.
ΔΗ. Ἔσται τάδ', ὦ τάλαινα παρθένων· ἐπεὶ
Κἀμοὶ τόδ' αἰσχρὸν, μή σε κοσμῆσαι καλῶς,
Πολλῶν ἕκατι, τῆς τε σῆς εὐψυχίας,
Καὶ τοῦ δικαίου· τλημονεστάτην δέ σε
Πασῶν γυναικῶν εἶδον ὀφθαλμοῖς ἐγώ.

ἀρχαῖος ὁ χρόνος οὗτος ἀντὶ τοῦ θνήσκω· ἢ ὁ καὶ μᾶλλον, αὐθυπότακτος ἀόριστος. 564. Μή μ' ἀρσένων] παράβαλε ταῦτα πρὸς τὸ ἐν Ἑκάβῃ πάθος τῆς Πολυξένης. στίχ. 568.—566. Ἔσται τάδε] τοῦτο τῷ Ἰολάῳ ἀπέδωκάν τινες, οὐ τῷ Δημοφῶντι· ἐκ τῆς ἐν τῷ τέλει τῆς ῥήσεως ταύτης περιττῶς πως παρεισφρησάσης Ἀντωνυμίας, Μοι, Πρόσφθεγμά Μοι πεισθέντες· ἀλλὰ τὸ Τοῦδε

χάριν· ἀλλ' εἴπερ δέχεσθε τοῦτο, καὶ βούλεσθε χρῆσθαί μοι πρὸς σφαγὴν, λάβετε, ἄγετέ με προθύμως· ἑκοῦσα τὴν ἐμαυτῆς ψυχὴν ὑπὲρ τούτων προσφέρω, ἀνάγκῃ δ' οὔποτε.

ΙΟ. Φεῦ· ὡς εὐγενέστερος τοῦ πρὶν ὁ λόγος οὗτος· κἀκεῖνος μὲν γὰρ ἄριστος, ἀλλ' αὐτὴ σεαυτῆς ἀεὶ κρείττων ἀρετῇ γιγνομένη, τόλμῃ τόλμαν, καὶ λόγῳ νικᾷς λόγον· ἐγὼ μὲν οὖν μήτε κελεύειν, μήτ' ἀπαγορεύειν δυναίμην ἂν ἀποθανεῖν σε· οἶδα δ' ἐκεῖνο μόνον, ὡς ἀποθανοῦσα τοὺς σαυτῆς σώσεις ἀδελφούς.

ΜΑ. Πάνυ σαφῶς ταῦτά με κελεύεις, ἀφοσιούμενος μίασμα. ἀλλὰ μὴ φοβοῦ τοῦτο, ἐλευθέρως ἐμοῦ ἀποθνησκούσης. ἀλλ' ἕπου μοι, ὦ γέρον, πρὸς ταῦτα· ἐν γὰρ τῇ σῇ χειρὶ βούλομαι τελευτῆσαι· ἔνθα παρὼν συγκαλύψεις μοι τὸ σῶμα· ἐγὼ γὰρ πατρὸς ἀγαθοῦ γεγονυῖα, εἶμι σφαγησομένη.

ΙΟ. Οὐκ ἂν δυναίμην, ὦ τέκνον, παρεῖναι τῷ σῷ πάθει.

ΜΑ. Σὺ δ' ἀλλὰ δεήθητι τούτου γε, μὴ ἐᾶσαί με ἐν χερσὶν ἀῤῥένων· ἀλλ' ἐν γυναικῶν ἀγκάλαις τὴν ψυχὴν ἀποῤῥῆξαι.

ΔΗ. Ἔσται σοι ταῦτα, ὦ δυστυχεστάτη παρθένων· αἰσχρὸν γὰρ κἀμοὶ τοῦτό γε μάλιστα, εἰ μή σε τῶν τ' ἄλλων ἕνεκα, οὐχ ἧττον δὲ τῆς εὐψυχίας καὶ τοῦ δικαίου καλῶς κοσμήσαιμι· ὁρῶ δ' οὖν σε αὐτοῖς ὀφθαλμοῖς πασῶν γυναικῶν τλημονεστάτην γεγενημένην· ἀλλ' εἴτι

---

χρῄζε ἀνωτέρω, δεήθητι τούτου τοῦ Δημοφῶντος βούλεται λέγειν· παρ' ἄλλοις δ' αὖ ἀποδίδοται, εἰς τὸν Χορόν.

Ἀλλ' εἴ τι βούλει τούσδε τὸν γέροντά τε;
Χώρει προσειποῦσ' ὕστατον πρόσφθεγμά μοι.
ΜΑ. Ὦ χαῖρε, πρέσβυ, χαῖρε, καὶ δίδασκέ μοι
Τοιούσδε τούσδε παῖδας, ἐς τὸ πᾶν σοφούς,
Ὥσπερ σύ· μηδὲν μᾶλλον· ἀρκέσουσι γάρ.
Πειρῶ δὲ σῶσαι, μὴ θανεῖν πρόθυμος ὤν.
Σοὶ παῖδες ἐσμέν· σαῖν χεροῖν τεθράμμεθα.
Ὁρᾷς δὲ κἀμὲ, τὴν ἐμὴν ὥραν γάμου
Διδοῦσαν ἀντὶ τῶνδε κατθανουμένην.
Ὑμεῖς τ', ἀδελφῶν ἡ παροῦσ' ὁμιλία,
Εὐδαιμονοῖτε, καὶ γένοιθ' ὑμῖν, ὅσων
Ἡ 'μὴ πάροιθεν καρδία σφαγήσεται.
Καὶ τὸν γέροντα τήν τ' ἔσω γραῖαν δόμων
Τιμᾶτε πατρὸς μητέρ' Ἀλκμήνην ἐμοῦ
Ξένους τε τούσδε· κἂν ἀπαλλαγὴ πόνων
Καὶ νόστος ὑμῖν εὑρεθῇ ποτ' ἐκ θεῶν,
Μέμνησθε, τὴν σώτειραν ὡς θάψαι χρεών·
Κάλλιστά τοι δίκαιον· οὐ γὰρ ἐνδεὴς
Ὑμῖν παρέστην, ἀλλὰ προὔθανον γένους.
Τάδ' ἀντὶ παίδων ἐστί μοι κειμήλια
Καὶ παρθενείας, εἴ τι δὴ κατὰ χθονός.
Εἴη γε μέντοι μηδέν! εἰ γὰρ ἕξομεν
Κἀκεῖ μερίμνας οἱ θανούμενοι βροτῶν;
Οὐκ οἶδ', ὅποι τις τρέψεται· τὸ γὰρ θανεῖν
Κακῶν μέγιστον φάρμακον νομίζεται.
ΙΟ. Ἀλλ' ὦ μέγιστον ἐκπρέπουσ' εὐψυχίᾳ,
Πασῶν γυναικῶν ἴσθι τιμιωτάτη,
Καὶ ζῶσ' ὑφ' ἡμῶν καὶ θανοῦσ' ἔσῃ πολύ.

βούλει προσειπεῖν τούς τ' ἀδελφοὺς καὶ τὸν γέροντα τοῦτον, πρόσιθι αὐτοῖς, τὸ πανύστατον πρόσφθεγμα προσεροῦσα.

ΜΑ. Οὐκοῦν, χαῖρ', ὦ γέρον, καὶ παίδευέ μοι τοὺς παῖδας τούτους σοφοὺς τοιούτους γενέσθαι, οἷος αὐτὸς τυγχάνεις γεγενημένος· ἀρκέσει γὰρ τοσοῦτον αὐτοῖς, κοὐδενὸς αὐτοῖς περαιτέρω δεήσει· πειρῶ δὲ σώζειν αὐτοὺς, προθύμως αὐτοῖς ἀπερύκων τὸν θάνατον· σοὶ γὰρ παῖδες ἐσμὲν, ὡς ταῖς σαῖς ἐντεθραμμένοι ἀγκάλαις· ὁρᾷς γὰρ ἤδη κἀμὲ, ὅπως ἐν ὥρᾳ γάμου γεγενημένη, προδοῦσα τὸ τούτου καλὸν, ὑπὲρ αὐτῶν αἱροῦμαι ἀποθανεῖν. Χαίρετε δὲ καὶ ὑμεῖς ἡ τῶν ἀδελφῶν μου παροῦσα πανήγυρις, καὶ εὐδαιμονοίητε· καὶ γένοιθ' ὑμῖν πάντα, ὑπὲρ ὧν γίγνομαι θῦμα· τιμᾶται δὲ τόν τε γέροντα τοῦτον, καὶ Ἀλκμήνην ἔνδον τὴν τοῦ πατρὸς μητέρα· καὶ πρὸς τούτοις τοὺς ξένους τουτουσὶ οὐχ ἧττον· εἰδέποθ' ὕςερον ἀπαλλαγέντες σὺν θεῷ τῶν κακῶν, κατέλθοιτε εἰς τὴν ἑαυτῶν, μέμνησθε θάψαι τὴν σώσασαν ὑμᾶς ἀδελφὴν, ὡς ἔςι δίκαιον, κάλλιςά τε καὶ πολυτελῶς· οὐδὲν γὰρ ἐνεδέησα πρὸς τὴν ἡμῶν σωτηρίαν, προθανοῦσα ὑπὲρ τοῦ γένους· ταῦτα γάρ μοι ἀντὶ τῆς παρθενίας καὶ παιδοποιΐας ἀγάλματα ἔσται, εἴτι μοι γένοιτο ἐν Ἅδου τῶν τῆδε ἀπολαύειν· καίτοι μηδὲ εἴη ἐκεῖσε τοιούτων ἐπιθυμεῖν· εἰ γὰρ κἀκεῖ ἡμῖν ἔσται μερίμνας καὶ πράγματ' ἔχειν, οὐκ οἶδ' ὅποι τις τράπηται· ἓν γὰρ μόνον τῶν κακῶν νομίζεται φάρμακον ἡμῖν ἐνταῦθα, τὸ θανεῖν.

ΙΟ. Ἀλλ' ὦ κόρη, ἡ μηδενὶ εὐψυχίας ὑπερβολὴν λιποῦσα, ἴσθι, ὡς πασῶν γυναικῶν παρ' ἡμῖν καὶ ζῶσα καὶ τε-

Καὶ χαῖρε· δυσφημεῖν γὰρ ἅζομαι θεὰν,
Ἡ σὸν κατῆρκται σῶμα, Δήμητρος κόρην.
Ὦ παῖδες, οἰχόμεσθα· λύεται μέλη
Λύπῃ· λάβεσθε, κεἰς ἕδραν μ' ἐρείσατε
Αὐτοῦ, πέπλοισι τοῖσδε κρύψαντες, τέκνα.
Ὡς οὔτε τούτοις ἥδομαι πεπραγμένοις,
Χρησμοῦ τε μὴ κρανθέντος, οὐ βιώσιμον.
Μείζων γὰρ ἄτη· σύμφορὰ δὲ καὶ τάδε.

ΧΟ. Οὔτινά φημι θεῶν ἄτερ ὄλβιον, οὐ βαρύποτμον (Στρ.)
Ἄνδρα γενέσθαι,
Οὐδὲ τὸν αὐτὸν ἀεὶ βεβάναι δόμον
Εὐτυχίᾳ· παρὰ δ' ἄλλαν ἄλλα
Μοῖρα διώκει·
Τὸν μὲν ἀφ' ὑψηλῶν βραχὺν ᾤκισε,
Τὸν δ' ἀλήταν εὐδαίμονα τεύχει.
Μόρσιμα δ' οὔτι φυγεῖν θέμις· οὐ σοφίᾳ τις ἀπώσεται·
Ἀλλὰ μάταν ὁ πρόθυμος ἀεὶ πόνον ἕξει.
Ἀλλὰ σὺ μὴ προπίτνει τὰ θεῶν ὕπερ. μηδ' ὑπεράλγει (ἀντ.)
Φροντίδα λύπᾳ·
Εὐδόκιμον γὰρ ἔχει θανάτου μέρος
Ἁ μελέα πρό τ' ἀδελφῶν καὶ γᾶς,

---

600. Ἢ σὸν κατῆρκται σῶμα] ἴδε ὁποιδὴ παρεπέμψαμεν ἀνωτέρω στίχ. 529. ἐκεῖνο δὲ ἀντιπίπτει ἐνταῦθα, ὅτι ἀνωτέρω (στίχ. 408.) τῇ Δήμητρι φήσας δεῖν αὐτὴν θύσαι, νῦν τῇ κόρῃ ἐκείνης, τῇ Περσεφόνῃ, μεμφόμενος φαίνεται τοῦτο· διὸ εἰσηγοῦνταί τινες, ὅτι ἀντὶ Παρθένον κόρην τῇ Δήμητρι, δεῖ γράφειν, Παρθένον κόρῃ Δήμητρος· ὥσπερ καὶ ἐγράψαμεν. 607. Θεῶν ἄτερ] ὅμοια ταῦθ', οἷς ἐποίησε Θέογνις. στίχ. 165.

» Οὐδεὶς ἀνθρώπων οὔτ' ὄλβιος, οὔτε πενιχρὸς,
» Οὔτε κακὸς νόσφι δαίμονος, οὔτ' ἀγαθός·
» Ἀλλ' ἄλλῳ κακόν. . . . . . . .

θνεῶσα ἔση τιμιωτάτη· καὶ χαῖρε· εὐλαβοῦμαι δὲ λέγειν τί βλάσφημον πρὸς τὴν τῆς Δήμητρος κόρην, ᾗ τὸ σὸν προκατῆρκται σῶμα· Ὦ παῖδες, οἰχόμεθα, ἀπολλύμεθα, λύεταί μου τὰ μέλη· λάβεσθέ μου, ὦ τέκνα, καὶ καθίσαντες ἐπί τινος ἕδρας αὐτοῦ, κατακρύψατέ με τοῖς ἱματίοις τούτοις· οὐ γὰρ οὔτε τοῖς παροῦσι χαίρω, καὶ πάλιν μὴ περανθέντος τοῦ χρησμοῦ, βιοῦν οὐκ ἔςι· καὶ τοῦτο μὲν δεινὸν, κἀκεῖνο δὲ σχετλιώτερον.

ΧΟ. Οὐκ ἔστιν οὐδένα οὔτ' εὐτυχῆ γενέσθαι, οὔτ' αὖ δυςυχῆ θεῶν ἄνευ, μήτε τὸν αὐτὸν οἶκον διατελέσαι εὐτυχῶς τινὰ οἰκοῦντα· ἀλλ' ἄλλον ἄλλως ἡ μοῖρα στρέφει, ὃν μὲν ἀφ' ὑψηλῶν κατασπῶσα, ὃν δ' ἀπὸ τῶν χαμαὶ ἀνυψοῦσα· τὸ γὰρ πεπρωμένον οὐκ ἔστιν οὔτε δυνάμει διαφυγεῖν, οὔτε σοφίᾳ ποτὲ παρακρούσασθαι· ὃς δ' ἂν πειρᾶται τούτου, μάτην αὐτῷ ὁ πόνος.

Σὺ δ' οὖν μήθ' ἃ ἀνώτερα ἐστὶ καὶ αὐτῶν τῶν θεῶν, ἱκετεύων ἐξαιτοῦ παρ' αὐτῶν, μήτ' αὖ δάκνου τὴν ψυχὴν ἐπὶ τοῖς παροῦσιν· ἡ γὰρ δυστυχὴς ἐκείνη εὐψύχως τε καὶ ἐνδόξως τέθνηκεν ὑπὲρ τῆς πατρίδος καὶ τὸ

---

Ἔχει δὲ ταῦτ' οὐ καλῶς ἀνδρὶ φιλοσόφῳ· ἴδε δ' ἅμοι γέγραπται ἐν τοῖς περὶ Προνοίας ἐν τῷ Σοφιστῇ. 616. Τὰ θεῶν ὕπερ] τὰ ἀνώτερα τῆς τῶν θεῶν δυνάμεως· ἐπειδὴ γὰρ ἔφθη εἰπὼν, Μόρσιμα οὔτι φυγεῖν θέμις, ἐπιφέρει, μάτην ἄρα ἐξαιτεῖσθαι παρὰ τῶν θεῶν τι παρὰ τὸ πεπρωμένον· τοιοῦτον καὶ ἐν Ἴωνι ςίχ. 1404.

» Τὰ γὰρ πεπρωμέν' οὐδ' ὑπερβαίην ποτ' ἂν

Τὸ γοῦν, τὰ θεῶν ὕπερ, οὐδέν ἐστιν, ἢ ὕπερ τὰ θεῶν· τὸ δὲ Προπίτνει (πρό-



ΔΗΜΟΚ... ΖΩΣΙΜΑΔΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

Οὐδ' ἀκλεής νιν
Δόξα πρὸς ἀνθρώπων ὑποδέξεται.
Ἁ δ' ἀρετὰ βαίνει διὰ μόχθων.
Ἄξια μὲν πατρὸς, ἄξια δ' εὐγενίας τάδε γίγνεται!
Εἰ δὲ σέβεις σύγε θανάτους ἀγαθῶν, μετέχω σοι.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΘΕΡΑΠΩΝ, ΙΟΛΑΟΣ, ΑΛΚΜΗΝΗ, ΧΟΡΟΣ.

ΘΕ. Ὦ τέκνα, χαίρετ'· Ἰόλεως δὲ ποῦ γέρων,
Μήτηρ τε πατρὸς τῆσδ' ἕδρας ἀποστατεῖ;
ΙΟ. Πάρεσμεν, οἵα δή γ' ἐμοῦ παρουσία.
ΘΕ. Τί χρῆμα κεῖσαι καὶ κατηφὲς ὄμμ' ἔχεις;
ΙΟ. Φροντίς τις ἦλθ' οἰκεῖος, ᾗ συνεσχόμην.
ΘΕ. Ἔπαιρε νῦν σεαυτὸν, ὄρθωσον κάρα.
ΙΟ. Γέροντες ἐσμὲν, κοὐδαμῶς ἐῤῥώμεθα.
ΘΕ. Ἥκω γε μέντοι χάρμα σοὶ φέρων μέγα.
ΙΟ. Τίς δ' εἶ σύ; ποῦ σοι συντυχὼν ἀμνημονῶ;
ΟΕ. Ὕλλου πενέστης· οὔ με γιγνώσκεις ὁρῶν;
ΙΟ. Ὦ φίλταθ' ἥκεις ἆρα νῷν σωτὴρ βλάβης;

---

κυπτε, χώρει) προσπίτνει ἐν ἄλλοις κεῖται. 634. Πενέστης] ὃ Εἵλωτες μὲν ἦσαν ἐν Σπάρτῃ, Περίοικοι δὲ ἐν Κρήτῃ, τοῦτο Πενέσται ἐν Θετταλίᾳ· ἧκε δ' ὁ θεράπων οὗτος ἀγγελῶν Ὕλλον σὺν πολλῇ ἐλθόντα χειρὶ συμμάχων· Ὕλλος γὰρ ἐν ἡλικίᾳ ἤδη ὢν, οὐχ ἱκέτευε μετὰ τῶν ἄλλων ἀδελφῶν· ἀλλ' ἔξω-

κλέος μέγα ἔσται αὐτῇ ἐν τοῖς ἐπιγιγνομένοις· ἡ γὰρ ἀρετὴ, ἀνάντει βαίνουσα ὁδῷ, δι' ἱδρώτων περατοῦται καὶ πόνων· οὐκοῦν καὶ αὐτῇ ἄξια μὲν τοῦ πατρὸς, ἄξια δὲ τῆς εὐγενείας πέπρακται ταῦτα· εἰ οὖν τιμᾷς καὶ αὐτὸς τὰς τῶν ἀγαθῶν τελευτὰς, ταὐτά μοι φρονῶν τυγχάνεις.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΘΕΡΑΠΩΝ; ΙΟΛΑΟΣ, ΑΛΚΜΗΝΗ, ΧΟΡΟΣ.

ΘΕ. Χαίρεθ' ὑμεῖς ὦ τέκνα, καὶ ὅπως ἐρεῖτε μοι, ποῦ ἐστιν ὁ γέρων Ἰόλαος. καὶ Ἀλκμήνη ἡ μήτηρ τοῦ πατρὸς ὑμῶν; ἀπέχει αὕτη πολὺ ἐντεῦθεν;

ΙΟ. Πάρειμι, εἰ ἔξεστ' εἰπεῖν ὑπάρχειν μοι παρουσίαν.

ΘΕ. Τί χρῆμ' ὁρῶ τοῦτο; τίποθ' οὕτω κεῖσαι σκυθρωπός;

ΙΟ. Οἰκεῖόν τι ἐνθυμηθεὶς, ἐνοχλοῦμαι.

ΘΕ. Νῦν δ' ἐγέρθητι, ἀνορθώσας τὴν κεφαλήν.

ΙΟ. Οὐκ ἂν δυναίμην, καμὼν τῷ γήρᾳ.

ΘΕ. Ἥκω μέν τοι εὐαγγέλια σοι φέρων.

ΙΟ. Τίς δὲ εἶ; ἐξεῤῥύης γάρ μου τῆς μνήμης ὅλως.

ΘΕ. Οὐ γινώσκεις με ἰδὼν πολλάκις, τὸν θεράποντα τοῦ Ὕλλου;

ΙΟ. Ὦ φίλτατε, ἆρ' ἥκες σωτηρίαν ἡμῖν φέρων;

---

θιν σωτηρίαν καὶ τοῖς ἄλλοις ἀδελφοῖς προὐθυμεῖτο εὑρέσθαι.

ΘΕ. Μάλιστα· καὶ πρός γ' εὐτυχεῖς τὰ νῦν τάδε.
ΙΟ. Ὦ μῆτερ ἐσθλοῦ παιδὸς, Ἀλκμήνην λέγω,
Ἔξελθ', ἄκουσον τούσδε φιλτάτους λόγους.
Πάλαι γὰρ ὠδίνουσα τῶν ἀφιγμένων
Ψυχὴν ἐτήκου, νόστος εἰ γενήσεται.
ΑΛ Τί χρῆμ' ἀϋτῆς πᾶν τόδ' ἐπλήσθη στέγος,
Ἰόλαε; μῶν τίς σ' αὖ βιάζεται παρὼν
Κήρυξ ἀπ' Ἄργους; ἀσθενὴς μὲν ἥ γ' ἐμὴ
Ῥώμη, τοσόνδε δ' εἰδέναι σ' ἐχρῆν, ξένε·
Οὐκ ἔστ' ἄγειν σε τούσδ', ἐμοῦ ζώσης, ποτέ.
Ἦ τἄρ' ἐκείνου μὴ νομιζοίμην ἐγὼ
Μήτηρ ἔτ'· εἰ δὲ τῶνδε προσθίξεις χερὶ,
Δυοῖν γερόντοιν οὐ καλῶς ἀγωνιῇ.
ΙΟ. Θάρσει, γεραιὰ, μὴ τρέσῃς, οὐκ Ἀργόθεν
Κήρυξ ἀφῖκται, πολεμίους λόγους ἔχων.
ΑΛ. Τί γὰρ βοὴν ἔστησας, ἄγγελλον φόβου;
ΙΟ. Σὲ πρόσθε ναοῦ τοῦδ' ὅπως βαίης πέλας.
ΑΛ· Οὐκ ἤσμεν ἡμεῖς ταῦτα· τίς γάρ ἐσθ' ὅδε;
ΙΟ· Ἥκοντα παῖδα παιδὸς ἀγγέλει σέθεν.
ΑΛ. Ὦ χαῖρε καὶ σὺ τοῖσδε τοῖς ἀγγέλμασιν.
Ἀτὰρ τί, χώρᾳ τῇδε προσβαλὼν πόδα,
Ποῦ νῦν ἄπεστι; τίς νιν εἶργε συμφορὰ,
Σύν σοι φανέντα δεῦρ' ἐμὴν τέρψαι φρένα;
ΘΕ. Στρατὸν καθίζει τάσσεταί θ', ὃν ἦλθ' ἔχων.

---

639. Τῶν ἀφιγμένων] τῶν ἀποδημούντων, οἴμαι, τῶν ἀμφὶ τὸν Ὕλλον, ἐλθόντων ἤδη. 641. Τί χρῆμα] ἐνταῦθα πρῶτον εἴσεισιν Ἀλκμήνη εἰς τὴν σκηνήν· ἀλλ' οὐδεμίαν μνήμην ποιεῖται τῆς Μακαρίας· πότερον, οἶδεν αὐτὴν ἀπελθοῦσαν εἰς

ΘΕ. Πῶς γὰρ οὔ; ἀλλὰ πρὸς τούτοις γε καὶ εὐτυχίαν.

ΙΟ. Ὦ μῆτερ τοῦ ἀγαθοῦ ἀνδρὸς ἐκείνου. Ἀλκμήνην φωνῶ, ἔξελθ', ἔξελθ', ἄκουσον φιλτάτους λόγους· πάλαι γὰρ τῶν ἐλθόντων τούτων ἕνεκα ἐτήκου τὴν ψυχὴν ταλαιπωρουμένη, εἴγε δυνήσονταί ποτε ἐπανελθεῖν ὡς ἡμᾶς.

ΑΛ. Ἰόλαε, τί βοᾷς οὕτω; πᾶν γὰρ τὸ δῶμα τῆς σῆς ἐπλήσθη φωνῆς· μήτις αὖθις κήρυξ οὑτοσὶ ἀπὸ τῶν Ἀργείων βιάζεταί σε; μικρὰ μέν μοι ἔτι σώζεται ἰσχύς· σὲ μέντοι, ὦ ξένε, ἐκεῖνο μάλιστα χρὴ εἰδέναι, ὡς οὐκ ἂν, ἐμοῦ ζώσης, ἀπαγάγοις οὐδένα τούτων· οὕτω γὰρ μηκέτι καλοίμην ἐκείνου τοῦ ἀνδρὸς ἐγὼ μήτηρ· εἰ δὲ θίγοις τούτων, ὄψει, ὅπως κακῶς ἀπολλάξῃ δυοῖν γερόντοιν.

ΙΟ. Θάρσει, ὦ γεραιά· οὐ γὰρ Ἀργόθεν οὗτος, οὐδὲ πολέμια τυγχάνει λέγων.

ΑΛ. Τίς οὖν ἡ βοὴ, ὥσθ' ἡμᾶς καταπεπτηχέναι ἔνδον;

ΙΟ. Ὅπως σὺ ὧδε πρὸ τοῦ ναοῦ ἐξέλθῃς.

ΑΛ. Ἠγνόουν ἄρα τοῦτ' αὐτή· ἀλλὰ τίς ἐστιν οὗτος;

ΙΟ. Καὶ μὴν ἐλθεῖν φησιν Ὕλλον τὸν Ἡρακλέους.

ΑΛ. Τί φής; ὦ χαῖρε σύγε, ἐφ' οἷς τοιαῦτ' ἀγγέλλεις· ποῦ τοίνυν ἐστὶ, ποῦ ἐπιβὰς τῆς χώρας; τί κεκώλυκεν αὐτὸν μετὰ σοῦ ἐλθόντα, εὐφράναι με δεῦρο.

ΘΕ. Τὸν στρατὸν κοσμεῖ, ὃν ἧκεν ἔχων ἤδη.

---

τὴν σφαγὴν, ἢ οὔ; εἰ μὲν τὸ πρῶτον, πῶς οὐ ποιεῖται αὐτῇ τὸν προσήκοντα θρῆνον καὶ ἔπαινον; εἰ δὲ τὸ δεύτερον, πῶς οὐ ζητεῖ αὐτὴν, ἧς τὴν πρόνοιαν (ἀνωτέρω στίχ. 41.) αὐτὴ ἔσχεν; οὐκ οἶδ' ὅ,τι φῶ, δοκεῖ δέ μοι τὸ μέρος τοῦ-

ΑΛ. Τοῦδ' οὐκέθ' ἡμῖν τοῦ λόγου μέτεστι δή;
ΙΟ. Μέτεστιν· ἡμῶν δ' ἔργον ἱστορεῖν τάδε.
ΘΕ. Τί δῆτα βούλει τῶν πεπραγμένων μαθεῖν;
ΙΟ. Πόσον τι πλῆθος συμμάχων πάρεστ' ἔχων;
ΘΕ· Πολλούς· ἀριθμὸν δ' ἄλλον οὐκ ἔχω φράσαι.
ΙΟ· Ἴσασιν, οἶμαι, ταῦτ' Ἀθηναίων πρόμοι.
ΘΕ· Ἴσασι· καὶ δὴ λαιὸν ἕστηκεν κέρας.
ΙΟ· Ἤδη γὰρ ὡς ἐς ἔργον ὥπλισται στρατός.
ΘΕ. Καὶ δὴ παρῆκται σφάγια τάξεων ἑκάς.
ΙΟ. Πόσον τι δ' ἔστ' ἄπωθεν Ἀργεῖον δόρυ;
ΘΕ· Ὥστ' ἐξορᾶσθαι τὸν στρατηγὸν ἐμφανῶς.
ΙΟ. Τί δρῶντα; μῶν τάσσοντα πολεμίων στίχας;
ΘΕ· Ἠκάζομεν ταῦτ'· οὐ γὰρ ἐξηκούομεν.
Ἀλλ' εἶμ'. ἐρήμους δεσπότας τοὐμὸν μέρος
Οὐκ ἂν θέλοιμι πολεμίοισι συμβαλεῖν.
ΙΟ. Κἄγωγε σὺν σοί· ταὐτὰ γὰρ φροντίζομεν,
Φίλοις παρόντες, ὡς ἔοιγμεν, ὠφελεῖν.
ΘΕ. Ἥκιστα πρὸς σοῦ μῶρον ἦν εἰπεῖν ἔπος.
ΙΟ· Καὶ μὴ μετασχεῖν γ' ἀλκίμου μάχης φίλοις;
ΘΕ. Οὐκ ἔστ' ἐν ὄψει τραῦμα, μὴ δρώσης χερός.
ΙΟ. Τί δ'; οὐ θένοιμι κἂν ἐγὼ δι' ἀσπίδος;
ΘΕ· Θένοις ἂν, ἀλλὰ πρόσθεν αὐτὸς ἂν πέσοις·
ΙΟ. Οὐδεὶς ἔμ' ἐχθρῶν προσβλέπων ἀνέξεται.

---

ρο ἠμελῆσθαι τῷ ποιητῇ. 668. Παρῆκται σφάγια] ὅτι σὺν τῷ στρατῷ ἦγον οἱ μάντεις καὶ ἱερεῖα δῆλον ἔξ ἄλλων τε πολλῶν, ἀλλὰ καὶ ἐξ ὧν εἴρηκε περὶ Ἀμφιάρεω (Φοιν. στίχ. 176.) ταῦτα δὲ, μελλόντων τῶν τῆς μάχης σημείων ἀρθῆναι, ἐξέφερον τῶν τάξεων ἔξω· ἀλλ' ἐνταῦθα ἔοικεν ὑποδηλοῦν τὸν τῆς

ΑΛ. Τί δὲ, μῶν οὐ δεῖ καὶ ἡμᾶς εἰδέναι ταῦτα;

ΙΟ. Δεῖ γάρ· ἀλλ' ἡμῶν ἔργον ἔστιν ἐρέσθαι ταῦτα·

ΘΕ. Τί οὖν βούλει μαθεῖν τῶν πεπραγμένων;

ΙΟ. Λέγοις ἂν ἡμῖν τὸ μέτρον τῶν συμμάχων.

ΘΕ. Ἀριθμόν σοι ἀκριβῶς οὐκ ἔχω λέγειν.

ΙΟ. Ἀλλ' ἆρ' οἶδε ταῦθ' ὁ στρατηγὸς τῶν Ἀθηναίων;

ΘΕ. Κᾀν τῷ εὐωνύμῳ ἔταξεν ἐκεῖνον κέρᾳ.

ΙΟ. Οὐκοῦν ὁ στρατὸς παρατέτακται εἰς μάχην.

ΘΕ. Καὶ μὴν καὶ τὰ σφάγια μετέστησαν τῶν ὅπλων.

ΙΟ. Ὁ δὲ στρατὸς τῶν ἐχθρῶν πόσον ἀπέχει τούτων.

ΘΕ. Ὅσον φαίνεσθαι τὸν στρατηγὸν ἐκείνων.

ΙΟ. Τί ποιοῦντα, ἢ ἐκτάσοντα τοὺς πολεμίους;

ΘΕ. Τοῦθ' ὡς εἰκάσαι· οὐ γὰρ ἠκούομεν τοὺς λόγους, ἀλλ' εἶμι· οὐ γὰρ ἀνασχοίμην τοὺς δεσπότας μόνους ἐλθεῖν εἰς χεῖρας.

ΙΟ. Κᾀγὼ ταὐτὰ δρῶ· εἰκὸς γὰρ βοηθεῖν τοῖς φίλοις.

ΘΕ. Οὐ πρὸς σοῦ ταῦτα λέγειν· μωρὸς γὰρ ἔσθ' ὁ λόγος.

ΙΟ. Τί δέ; οὐ δεῖ γ' ἡμᾶς συμμετασχεῖν τῆς μάχης;

ΘΕ. Χειρὸς γὰρ, οὐκ ὄψεως τὸ τραυματίζειν.

ΙΟ. Ἐγὼ δ' οὐκ ἂν τρώσαιμι διὰ τῆς ἀσπίδος;

ΘΕ. Ἴσως, εἰ μὴ φθάσῃς αὐτὸς τρωθεὶς ὑπ' ἐκείνων.

ΙΟ. Καὶ τίς αὐτῶν ἐμὲ προσβλέπειν ὑποσταίη;

---

Μακαρίας νεκρὸν, ὑποκρύπτειν βουλόμενος τὸ πάθος τὴν Ἀλκμήνην· ἀνάγκη γὰρ ἦν αὐτῇ, εἴπερ, ἐλθεῖν εἰς θρῆνον. 680. Σθένοιμι] τί δὲ μὴ γράφωμεν ἄμεινον Θένοιμι, καὶ Θένοις; ἴδε καὶ κατωτέρω. 733. — 676. Ὡς ἔοιγμεν] ὡς ἐοίκαμεν· ὡς προσήκει ἡμῖν, ἢ ὡς δυνάμεθα.

ΘΕ. Οὐκ ἔστιν, ὦ τὰν, ἥ ποτ' ἦν Ῥώμη σέθεν.
ΙΟ. Ἀλλ' οὖν μαχοῦμαί γ' ἀριθμὸν οὐκ ἐλάσσοσι.
ΘΕ. Σμικρὸν τὸ σὸν σήκωμα προστίθης φίλοις.
ΙΟ. Μή τοί μ' ἔρυκε δρᾷν παρεσκευασμένον.
ΘΕ. Δρᾷν μὲν σύ γ' οὐχ οἷός τε, βούλεσθαι δ' ἴσως.
ΙΟ. Ὡς μὴ μενοῦντα, τἄλλα σοι λέγειν πάρα.
ΘΕ. Πῶς οὖν ὁπλίταις τευχέων ἄτερ φανῇ;
ΙΟ. Ἔστ' ἐν δόμοισιν ἔνδον αἰχμάλωθ' ὅπλα
Τοῖσδ', οἷσι χρησόμεσθα, κἀποδώσομεν
Ζῶντες· θανόντας δ' οὐκ ἀπαιτήσει θεός.
Ἀλλ' εἴσιθ' εἴσω κἀπὸ πασσάλων ἑλὼν,
Ἔνεγκ' ὁπλίτην κόσμον ὡς τάχιστά μοι.
Αἶσχρὸν γὰρ οἰκούρημα γίγνεται τόδε,
Τοὺς μὲν μάχεσθαι, τοὺς δὲ δειλίᾳ μένειν.
ΧΟ. Λῆμα μὲν οὔπω στόρνυσι χρόνος
Τὸ σὸν, ἀλλ' ἡβᾷ. σῶμα δὲ φροῦδον.
Τὶ πονεῖς ἄλλως, ἃ σὲ μὲν βλάψει,
Σμικρὰ δ' ὀνήσει πόλιν ἡμετέραν;
Χρὴ γνωσιμαχεῖν σὴν ἡλικίαν,
Τὰ δ' ἀμήχαν' ἐᾷν. οὐκ ἔστιν ὅπως
Ἥβην κτήσῃ πάλιν αὖθις.
ΑΛ. Τί χρῆμα μέλλεις, σῶν φρενῶν οὐκ ἔνδον ὢν,
Λιπεῖν μ' ἔρημον σὺν τέκνοισι τοῖς ἐμοῖς;
ΙΟ. Ἀνδρῶν γὰρ ἀλκή· σοὶ δὲ χρὴ τούτων μέλειν.

---

685. Σήκωμα] ἀντισήκωμα, βοήθειαν· ἐν ἄλλοις δὲ ἀντὶ τούτου, κεῖται, Σκήνωμα, οὐ καλῶς. 688. Ὡς μὴ μενοῦντα] ἀπόδος τοῦτο εἰς τὸ Ἔρυκε· ἵνα ᾖ, μήδ' ἔρυκέ με ὡς μὴ μενοῦντα· ἢ ἐννοητέον τὸ, Ἴσθι· οἷον, ἴσθι με ὡς μὴ μενοῦντα· ἢ

ΘΕ. Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσσιοι.

ΙΟ. Ἀλλὰ μαχοῦμαί γε σὺν ἴσοις πρὸς ἴσους.

ΘΕ. Μικρὸν ἀπὸ σοῦ τοὐπικούρημα τοῖς φίλοις.

ΙΟ. Μή με κώλυε, ὁρμώμενον πρὸς τὸν ἀγῶνα.

ΘΕ. Ἀλλ' ἡ ὁρμή σου ἐλλείπεται τοῦ ἔργου.

ΙΟ. Ὡς ἐμοῦ μὴ μενοῦντος, οὕτω λέγε περὶ ἄλλων.

ΘΕ. Πῶς οὖν συμπλακήσῃ τοῖς ἐχθροῖς ἄνευ ὅπλων;

ΙΟ. Πολλά εἰσιν ἔνδον ὧδε ἐξ αἰχμαλώτων· οἷς χρησάμενοι, ἀποδώσομεν περισωθέντες· εἰ δὲ ἀποθάνοιμεν, ὁ θεὸς οὐκ ἀπαιτήσει· ἀλλ' εἰσιὼν αὐτὸς, ἔνεγκέ μοι ὡς τάχος πανοπλίαν, ἀπὸ τοῦ πασσάλλου καθελών· αἰσχρὸν γὰρ ἔμοιγε δειλίᾳ προσοικουρεῖν, τῶν φίλων κινδυνευόντων.

ΧΟ. Τὸ μὲν φρόνημα τὸ σὸν ἔθ' ἡβᾷ, καὶ οὔπω κατίσχυσεν αὐτοῦ ὁ χρόνος· ἀλλ' ἡ τοῦ σώματος ἰσχὺς λέλοιπέ σε· πρὸς τί οὖν ὁ πόνος μάτην; ὃς οὐ τοσοῦτον τὸ κοινὸν ὠφελήσει, ὅσον σοι ἀλυσιτελὴς ἔσται· δεῖ γάρ σε εἰδέναι ἀσθενῆ ἐν γήρᾳ ὄντα, τὰ δὲ ὑπὲρ δύναμιν ἐᾷν· οὐ γὰρ ἔσθ' ὅπως δυνήσῃ ἀνακτήσασθαι ῥώμην πάλιν.

ΑΛ. Τί μέλλεις αὐτὸς οὕτως ἄφρον ποιήσειν ἔργον; ποῦ γὰρ καταλείψεις με ἔρημον μετὰ τῶν τέκνων τούτων;

ΙΟ. Ἀνδρῶν μὲν γὰρ μάχεσθαι· γυναικῶν δὲ παίδων φροντίδα ἔχειν.

---

ἀντὶ Μενοῦντος. 698. Σῶμα δὲ φροῦδον] παρῴχηκε· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σάρξ ἀσθενής· καὶ Πρόφρων μὲν θυμὸς πέλεται· κενεὴ δὲ μενοινή. » 701. Γνωσιμαχεῖν] δεῖ γέροντα ὄντα εἰδέναι τὴν ἑαυτοῦ δύναμιν. Ταῦτα δὲ εἰπὼν ὁ θεράπων, εἰσῆλθεν εἰς τὸν ναὸν ἐκκομίσων αὐτῷ πανοπλίαν.

ΑΛ. Τί δ', ἢν θάνῃς σὺ, πῶς ἐγὼ σωθήσομαι
ΙΟ. Παιδὸς μελήσει παισὶ τοῖς λελειμμένοις.
ΑΛ. Ἢν δ' οὖν, ὃ μὴ γένοιτο, χρήσωνται τύχῃ;
ΙΟ. Οἴδ' οὐ προδώσουσίν σε, μὴ τρέσῃς, ξένοι.
ΑΛ. Τοσόνδε γάρτοι θάρσος, οὐδὲν ἄλλ' ἔχω.
ΙΟ. Καὶ Ζηνὶ τῶν σῶν, οἶδ' ἐγὼ, μέλει πόνων.
ΑΛ. (Φεῦ·) Ζεὺς ἐξ ἐμοῦ μὲν οὐκ ἀκούσεται κακῶς.
Εἰ δ' ἐστὶν ὅσιος, αὐτὸς οἶδεν, εἰς ἐμέ.
ΘΕ. Ὅπλων μὲν ἤδη τήνδ' ὁρᾷς παντευχίαν,
Φθάνοις δ' ἂν οὐκ ἂν τοῖσδε συγκρύπτων δέμας
Ὡς ἐγγὺς ὡγὼν, καὶ μάλιστ' Ἄρης ςυγεῖ
Μέλλοντας· εἰ δὲ τευχέων φοβῇ βάρος,
Νῦν μὲν πορεύου γυμνὸς, ἐν δὲ τάξεσιν
Κόσμῳ πυκάζου τῷδ'· ἐγὼ δ' οἴσω τέως.
ΙΟ. Καλῶς ἔλεξας· ἀλλ' ἐμοὶ πρόχειρ' ἔχων
Τεύχη κόμιζε, χειρὶ δ' ἔνθες ὀξύην,
Λαιόν τ' ἔπαιρε πῆχυν, εὐθύνων πόδα.
ΘΕ. Ἦ παιδαγωγεῖν γὰρ τὸν ὁπλίτην χρεών;

---

708. Παιδὸς μελήσει παισὶ τοῖς λελειμμένοις] ἐν ἄλλοις κεῖται, Μελήσεις, ἀντὶ τοῦ Μελήσει· καὶ ἕτερος αὖ, Πᾶσι, ἀντὶ τοῦ Παισὶν, ὑπέλαβε δεῖν γράφειν· ἀλλ' οὐδ' οὕτως, οὐδ' ἐκείνως τὸ ἄπορον ἀφαιρεῖται· πρῶτον τὸ, Παιδὸς, τίνα ποτὲ εἰσάγει, πότερον τὸν Ἡρακλέα τὸν τῆς Ἀλκμήνης παῖδα, ἢ τὸν Ὕλλον τὸ τοῦ Ἡρακλέους παῖδα; ἔπειτα καὶ τὰ τῆς συντάξεως ἀντέςραπται ὅλως, ἀντικαθεςαμένων τῶν πτώσεων, τῆς μὲν γενικῆς εἰς δοτικὴν, καὶ ταύτης αὖθις εἰς ἐκείνην μεταβαλούσης· ἐχρῆν γὰρ εἰπεῖν, Παιδὶ μελήσει παίδων τῶν λελειμμένων· ἢ οὕτω, Παιδὸς μελήσεις παίδων τῶν λελειμμένων· εἰ δὲ βίᾳ τοῦ μέτρου συνεχώρησεν ὁ ποιητὴς τοῦθ' ἑαυτῷ, ἄλλος λόγος· γραπτέον δ' οὖν κατ' ἐμὲ ὡδί· Παίδων μελήσει τοισὶ τοῖς λελειμμένοις· καὶ ταῦτα λέγων δεικνύειν τὸν

ΑΛ. Ἀλλ' εἴτι πάθοις, τίς ἡμῖν ἔσται σωτηρία;

ΙΟ. Οἱ διασωθέντες ἂν φροντίσουσι τῶν παίδων.

ΑΛ. Εἰ δ', ὃ μὴ γένοιτο, καὶ οὗτοι χρήσονται δυστυχίᾳ;

ΙΟ. Θάῤῥει· οὐ γάρ σε προδώσουσιν οἱ φίλοι οἵδε.

ΑΛ. Ἀλλ' οὐδὲν κἀμοί ἐϛι, πλὴν τῆς ἐλπίδος ταύτης.

ΙΟ. Ἀλλὰ καὶ Ζεὺς αὐτὸς τῶν παίδων φροντίδα ἔχει.

ΑΛ. Φεῦ· Δία μὲν οὐκ ἂν ἔγωγε μεμψαίμην. εἰδ' αὐτὸς ἐμέ ἐϛι δίκαιος, αὐτὸς ἂν εἰδείη.

ΘΕ. Οὐκοῦν ἡ μὲν πανοπλία ἥδε πάρεστιν ὧδε· σὺ δὲ σπεύσας περίθου· ὁ γὰρ ἀγὼν ἐγγὺς, καὶ ὁ Ἄρης τοὺς διαμέλλοντας οὐ προσίεται· εἰδὲ βαρύνῃ τούτοις, βαδιζε ἄνοπλος· κἄπειδὰν τάχιστα γενώμεθα ἐν τῷ ϛρατοπέδῳ, ἐκεῖ ὁπλίσῃ· ἐγὼ δέ σοι τὰ ὅπλα ἐκεῖ κομίσω συμβαδίζων.

ΙΟ. Οὐκοῦν λαβὼν ταῦτα, παρακόμιζε· εὖ γὰρ ἐξεῦρες τοῦτο· καὶ τῇ μὲν τῶν χειρῶν δός μοι φέρειν τὸ δόρυ· τῆς δ' εὐωνύμου λαβόμενος, αὐτὸς ἀνακούφιζε, διευθύνον μοι τὸν πόδα, ἵνα μὴ διασφαλῶ.

ΘΕ. Καὶ πῶς ἂν καλὸν χειραγωγεῖν ὁπλίτην;

---

Χορόν· οὗτοι γὰρ μενοῦσιν ὀπίσω, ἢ ἁπλῶς, τοῖς σεσωσμένοις ἄν. 712. Ζεὺς ἐμοῦ] εὐλαβεῖται προενεγκεῖν, ὃ βλάσφημον ἐντεθύμηται· δυνατὸν γὰρ ἀναφέρειν τὴν μέμψιν ταύτην ἐς τοὺς ἐκείνου ἔρωτας, ὧν τὴν χάριν οὐκ ἀποδίδωσι νῦν, οὔτε τοῖς παισὶ τοῦ ἑαυτοῦ παιδὸς βοηθὸς γίγνεται· κινδυνεύουσιν. 722. Ὀξύην] εἶδος δένδρου ἡ ὀξύα, ὃ καὶ νῦν ἔτι ὀξυὰ λέγεται, κατεβιβασθέντος τοῦ τόνου· καθάπερ δὲ ἐκ τοῦ Μελία Μελία αὖ λέγεται καὶ τὸ δόρυ, οὕτω καὶ ἀπὸ τοῦ Ὀξύα λέγεται καὶ τὸ ἀπ' αὐτῆς κατασκευαζόμενον ἔγχος· ὃ κελεύει ὁ γέρων ἐνθεῖναι τῇ αὐτοῦ δεξιᾷ, ἵν' ἔχῃ καὶ ὡς

ΙΟ. Ὄρνιθος οὕνεκ' ἀσφαλῶς πορευτέον.
ΘΕ. Εἴθ' ἦσθα δυνατὸς δρᾷν, ὅσον πρόθυμος εἶ!
ΙΟ. Ἔπειγε· λειφθεὶς δεινὰ πείσομαι μάχης.
ΘΕ. Σύ τοι βραδύνεις, κοὐκ ἐγὼ, δοκῶν τι δρᾷν.
ΙΟ. Οὐκοῦν ὁρᾷς μου κῶλον, ὡς ἐπείγεται;
ΘΕ. Ὁρῶ δοκοῦντα μᾶλλον, ἢ σπεύδοντά σε.
ΙΟ. Οὐ ταῦτα λέξεις, ἡνίκ' ἂν λεύσσῃς μ' ἐκεῖ.
ΘΕ. Τί δρῶντα; βουλοίμην δ' ἂν εὐτυχοῦντά γε.
ΙΟ. Δι' ἀσπίδος θένοντα πολεμίων τινά.
ΘΕ. Εἰ δή ποθ' ἥξομέν γε· τοῦτο γὰρ φόβος.
ΙΟ. (Φεῦ!) εἴθ' ὦ βραχίων, οἷον ἡβήσαντά σε
Μεμνήμεθ' ἡμεῖς, ἡνίκα ξὺν Ἡρακλεῖ
Σπάρτην ἐπόρθεις, σύμμαχος γένοιό μοι
Τοιοῦτος, οἷος ἂν τροπὴν Εὐρυσθέως
Θείην! ἐπεί τοι καὶ κακὸς μένειν δόρυ.
Ἔστιν δ' ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον,
Εὐψυχίας δόκησις· οἰόμεσθα γὰρ,
Τὸν εὐτυχοῦντα πάντ' ἐπίστασθαι καλῶς.
ΧΟ. Γᾶ καὶ παννύχιος σελάνα (στρ. ά.)
Καὶ λαμπρόταται θεοῦ
Φαεσίμβροτοι αὐγαὶ,

---

βάκτρῳ αὐτῷ πορευόμενος χρήσασθαι. 725. Ὄρνιθος οὕνεκα ἀσφαλῶς πορευτέον] εὐχὴ τοῦτ' ἂν εἴη· οἰωνοῦ γὰρ οὐκ ἐμνήσθη ἐν τοῖς εἰρημένοις, ἵν' εἴχομεν ἀναφέρειν τὸν νοῦν εἰς ἐκεῖνον· ἔστω οὖν ἑρμηνευόμενον ὡδὶ, εἴη ἡμῖν ἡ ὁδὸς ἀσφαλὴς, καὶ οἰωνὸς ἀγαθὸς πρὸς τὴν νίκην· εἰμή τι ἐννοεῖ τὸν χρησμὸν περὶ τῆς σφαγῆς τῆς Μακαρίας· περὶ ἧς οὐ θέλει λέγειν σαφῶς διὰ τὴν Ἀλκμήνην παροῦσαν· εἰ δὲ ἀποπλανῶμαι τῆς ἀληθοῦς ἐννοίας, συγγνώμη, ἐν τοῖς Καρπαθίοις ὄρεσιν ἐνταῦθα ἄνευ τῶν ἀναγκαίων βίβλων τὰ τοιαῦτα ἐπεξερ-

ΙΟ. Ὄρνιθος ἕνεκα ἀσφαλῶς πορευτέον.

ΘΕ. Εἴθ' ἦν σοι ῥώμη ἴση τῇ προθυμίᾳ.

ΙΟ. Σπεῦδε· δεινὰ γὰρ ἂν πάθοιμι, ὑστερήσας τῆς μάχης.

ΘΕ. Σὺ γὰρ βραδύνεις, μεδὲν εἴργοντός μου.

ΙΟ. Οὐχ ὁρᾷς κινουμένους μου τοὺς πόδας,

ΘΕ. Δοκοῦσι μὲν, ἀλλ' οὐ καὶ προχωροῦσι.

ΙΟ. Σύ δ' οὐ ταῦτ' ἐρεῖς, ὁπότ' ἐκεῖ μὲ ἴδοις.

ΘΕ. Τί ποτε δρῶντα; εἴη δέσε ἰδεῖν νικῶντα.

ΙΟ. Δι' ἀσπίδος ἐλάσοντά τινα τῶν πολεμίων.

ΘΕ. Ἀλλ' ὕποπτον, εἰ ἀφιξόμεθά ποτε ἐκεῖσε.

ΙΟ. Φεῦ. Ὦ βραχίων σύγ' οὑμὸς οὑτωσὶ, γένοιό μοι τοιοῦτος τήμερον ἐν τῇ μάχῃ, οἷος ἦσθ', ὁπότ' ἐπόρθεις τὴν Σπάρτην μετὰ τοῦ Ἡρακλέους· οὕτω γὰρ ἂν τρέψειας εἰς φυγὴν Εὐρυσθέα· ἐπεὶ καὶ ἄλλως οἶδ' ἐκεῖνον κακὸν ὄντα τραπέσθαι πρὸς ἀλκήν· μάτην γὰρ νομίζομεν τοὺς εὐδαίμονας εὐψύχους εἶναι, οἰόμενοι οὐκ ὀρθῶς πάντ' ἐπίςασθαι τοὺς τοιούτους.

ΧΟ. Ὦ γῆ, καὶ σελήνη παννύχιε, καὶ ἀςέρες λαμπρότατοι, οἱ τὸ σέλας ἐπιπέμποντες τοῖς βροτοῖς, ἀγγέλλοντες

---

γαζομένῳ. 737. Σπάρτην ἐπόρθεις] Τυνδάρεως καὶ Ἡρακλῆς ἦσαν σύγγαμβροι, δύο ἀδελφὰς ἐσχηκότες, ὁ μὲν, τὴν Λήδαν· ὁ δὲ Ἡρακλῆς, τὴν Δηϊάνειραν· φυγόντα δὲ τὸν Τυνδάρεων ὑπὸ τῶν ἀδελφῶν Ἰκάρου καὶ Ἱπποκώοντος, βοηθήσας ὁ Ἡρακλῆς, καὶ Ἱπποκώοντα φονεύσας, κατάγει Τυνδάρεων εἰς τὴν Σπάρτην· ταύτης οὖν τῆς ἐκστρατείας δυνατὸν λαβεῖν μέρος καὶ τὸν Ἰόλαον, ἧς μεμνημένος νῦν ἐπιῤῥώννυσι τὸν βραχίονα. Μέμνηται δὲ καὶ Ἀπολλόδωρος (βιβλ. Β'. 7, 3.) τούτου, λέγων ᾧδί· Ἑλὼν δὲ τὴν Πύλον, ἐστράτευσεν ἐπὶ Λακεδαίμονα, μετελθεῖν τοὺς Ἱπποκώοντος παῖδας θέλων.

Ἀγγελίαν μοι ἐνέγκατε,
Ἰακχήσατε δ᾽ οὐρανῷ,
Καὶ παρὰ θρόνον ἀρχέταν
Γλαυκᾶς ἐν Ἀθάνας.
Μέλλω τᾶς πατριώτιδος γᾶς,
Μέλλω περὶ τῶν δόμων,
Ἱκέτας ὑποδεχθεὶς,
Κίνδυνον πολιῷ τεμεῖν σιδάρῳ.
Δεινὸν μὲν πόλιν, ὡς Μυκήνας, (ἀντ. ά.)
Εὐδαίμονα καὶ δορὸς
Πολυαίνετον ἀλκᾷ
Μῆνιν ἐμᾷ χθονὶ κεύθειν·
Κακὸν δ᾽, ὦ πόλις, εἰ ξένους
Ἱκτῆρας παραδώσομεν
Κελεύσμασιν Ἄργους.
Ζεύς μοι ξύμμαχος, οὐ φοβοῦμαι,
Ζεύς μοι χάριν ἐνδίκως
Ἔχει· οὔ ποτε θνατῶν
Ἥσσονες ποτ᾽ ἂν, οὔτ᾽ ἐμοῦ φανοῦνται.
Ἀλλ᾽, ὦ πότνια (σὸν γὰρ οὖδας (στρ. β΄.)
Γᾶς σὸν καὶ πόλις, ἇς σὺ μάτηρ,
Δέσποινά τέ, καὶ φύλαξ)
Πόρευσον ἄλλᾳ τὸν οὐ δικαίως
Τάδ᾽ ἐπάγοντα δορύσσοντα
Στρατὸν Ἀργόθεν· οὐ γὰρ ἐμᾷ γ᾽ ἀρετᾷ
Δίκαιός εἰμ᾽ ἐκπεσεῖν μελάθρων.
Ἀλλ᾽ ἐπί σοι πολύθυτος ἐσαιεὶ (ἀντ. β΄)
Τιμὰ κραίνεται, οὐδὲ λήθει
Μηνῶν φθινὰς ἁμέρα,
Ναῶν τ᾽ ἀοιδαὶ, χορῶν τε μολπαί.
Ἀνεμόεντι δὲ γᾶς ὄχθῳ
Ὀλολύγματα παννυχίοις ὑπὸ παρ-
θένων ἰακχεῖ ποδῶν κρότοισιν.

εἴπατε τῷ οὐρανῷ παρὰ τῷ θρόνῳ τοῦ Διὸς, καὶ τῇ γλαυκώπιδι Ἀθηνᾷ, ὡς τοὺς ἱκέτας τούτους δεξάμενος, ξίφει καὶ δορὶ τὸν ὑπὲρ πατρίδος καὶ οἰκεῖον τήμερον μέλλω διαλύσεσθαι κίνδυνον.

Ὡς δεινὸν μὲν Μυκήνας, πόλιν οὖσαν εὐδαίμονα, καὶ ἡλίκην ἔχουσαν δύναμιν, ἐχθρὰν τῇ ἐμαυτῆς ποιήσασθαι πόλει· χεῖρον δὲ πολλῷ, ὦ πόλις, ξένους ἐκδοῦναι ἱκέτας κελεύουσιν Ἀργείοις· ἀλλὰ τί δεῖ με φοβεῖσθαι, Δία σύμμαχον ἔχοντα, καί μοι δικαίως παρέξοντα χάριν; θεοὶ γὰρ οὐδέποτε θνητῶν οὔτ' ἄλλων, οὔτ' ἐμοῦ ἡττηθήσονται.

Ὦ δέσποιν' Ἀθηνᾶ (σὸν γὰρ τὸ κλεινὸν τῆς γῆς ταύτης ἔδαφος, καὶ ἡ πόλις· ἧς σὺ μήτηρ καὶ φύλαξ κλείζῃ εἶναι) τρέψον, ὦ πότνια, ἄλλοσέ πῃ τὸν Ἀργόθεν ἐφ' ἡμᾶς πολλῷ στρατῷ ἀδίκως ἐπιόντα· οὐ γὰρ δίκαιός εἰμι, ἐφ' οἷς δικαίως πράττω, ἐκπεσεῖν τῆς ἐμαυτοῦ οὐσίας καὶ πατρίδος.

Οὐδέπω γὰρ παρῆλθε νουμηνία τις, ἐν ᾗ σε οὐ θύμασιν ἀφθόνοις ἐν μολπαῖς καὶ χοροῖς ἐτιμήσαμεν· καὶ ὁ σὸς ναὸς ἐν τῇ ἀκροπόλει ἐπηχεῖ παννυχίοις ὀλολυγαῖς καὶ ποδῶν κρότοις ὑπὸ τῶν παρθένων.

---

748. Ἀρχέταν] τὸν θρόνον τοῦ Διὸς τοῦ ἀρχηγέτου· ὃν ἐν Ἀνδρομάχῃ (ςίχ. 3.) τύραννον ἑςίαν καλεῖ. 749. Γλαυκᾶς ἐν Ἀθάνας] ἐν ἄλλοις, γλαυκᾷ τ' ἐν Ἀθάνᾳ. 760. Κελεύσμασιν Ἄργους] οὕτως ἐξ ἑτέρας ἀντὶ τοῦ Καὶ λεύσιμον Ἄργος ἀδιανοήτου. 764. Οὔτ' ἐμοῦ] ἐν ἄλλοις Εἴτ' ἐμοῦ. 769. Δορύσσοντα] μαχούμενον τὸν ςρατόν. 776. Ἀνεμόεντι ἐπὶ ὄχθῳ] ἐπὶ τοῦ λόφου, ὅπου πανταχόθεν πνέουσιν ἄνεμοι· τὸ δὲ ὀλόλυγμα φωνὴ λεπτή ἐστι γυναικὸς ἔντ' εὐχαῖς, καὶ θρήνοις λαμ-

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΘΕΡΑΠΩΝ, ΑΛΚΜΗΝΗ, ΧΟΡΟΣ.

ΘΕ Δέσποινα, μύθους σοί τε συντομωτάτους
Κλύειν, ἐμοί τε τῷδε καλλίστους, φέρω.
Νικῶμεν ἐχθροὺς, καὶ τροπαῖ' ἱδρύεται,
Παντευχίαν ἔχοντα πολεμίων σέθεν.
ΑΛ. Ὦ φίλταθ' ἥδε σ' ἡμέρα διήλασεν
Ἠλευθερῶσθαι τοῖσδε τοῖς ἀγγέλμασιν.
Μιᾶς δέ μ' οὔπω συμφορᾶς ἐλευθεροῖς·
Φόβος γὰρ, εἴ μοι ζῶσιν, οὓς ἐγὼ θέλω.
ΘΕ. Ζῶσιν μέγιστον γ' εὐκλεεῖς κατὰ στρατόν.
ΑΛ. Ὁ μὲν γέρων οὐκ ἔστιν Ἰόλεως ὅδε;
ΘΕ. Μάλιστα, πράξας δ' ἐκ θεῶν κάλλιστα δή.
ΑΛ. Τί δ' ἐστί; μῶν τι κεδνὸν ἠγωνίζετο;
ΘΕ. Νέος μεθέστηκ' ἐκ γέροντος αὖθις αὖ.
ΑΛ. Θαύμαστ' ἔλεξας· ἀλλὰ σ' εὐτυχῆ φίλων
Μάχης ἀγῶνα πρῶτον ἀγγεῖλαι θέλω.
ΘΕ. Εἷς μου λόγος σοι πάντα σημαίνει τάδε.
Ἐπεὶ γὰρ ἀλλήλοισιν ὁπλίτην στρατὸν,
Κατὰ στόμ' ἐκτείνοντες, ἀντετάξαμεν,
Ἐκβὰς τεθρίππων Ὕλλος ἁρμάτων πόδα,

---

ξανομένη. 782. Παντευχίαν] ἱστῶντες τὰ τρόπαια, ἐπετίθουν αὐτοῖς πανοπλίαν ἐκ τῶν λαφύρων τῶν πολεμίων. 783. Διήλασε] αὕτη ἡ ἡμέρα ἤγαγέσε

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΘΕΡΑΠΩΝ, ΑΛΚΜΗΝΗ, ΧΟΡΟΣ.

ΘΕ. Δέσποινα, ἄκουσον λόγον ὡς μάλιστα μέν σοι σύντομον· ὡς μάλιστα δὲ κἀμοὶ αὐτῷ κάλλιστον· νενικήκαμεν, καὶ τρόπαια τῶν σῶν ἐγείρεται πολεμίων.

ΑΛ. Ὦ φίλτατ' ἀνδρῶν ἁπάντων, αὕτη ἡ ἡμέρα ἐπαγγέλλεταί σοι τὴν ἐλευθερίαν, ἐφ' οἷς ἀπαγγέλλεις· ἀλλ' ἔθ' ἓν ἐκεῖνο ταράττει με μάλιστα· πτόησίς τις αἱρεῖ με, εἰ περίεισιν, οὓς ἐγὼ μάλιστ' ἐφίεμαι ζῆν.

ΘΕ. Περίεισιν, μέγ' ἐν τῷ στρατῷ ἀράμενοι κλέος.

ΑΛ. Τί δ' ὁ γέρων Ἰόλαος, ζῇ ἐκεῖνος; ποῦ ἐστιν νῦν;

ΘΕ. Ζῇ εὐτυχήσας ἄριστα παρὰ τῶν θεῶν.

ΑΛ. Τί ποτ' ἄξιον πράξας, ὥστε θαυμάσαι;

ΘΕ. Εἷς νέον ἐκ γέροντος αἴφνης ἀνηβήσας.

ΑΛ. Ὡς θαυμαστὰ ταῦτα λέγεις! ἀλλ' εἴποις ἂν ἡμῖν πρῶτον, ὅπως ποθ' οἱ ἡμέτεροι ἠγωνίσαντο.

ΘΕ. Ἐρῶ γὰρ πάντα μάλιστα μὲν σύντομα, μάλιστα δὲ καὶ ἀληθῆ· παραταχθέντων γὰρ ἡμῶν ἐπ' ἀλλήλους κατὰ μέτωπον ἑκατέρωθεν, καταβὰς Ὕλλος ἀπὸ τοῦ δίφρου, καὶ προβὰς ἐν μέσῳ τῷ μεταιχμίῳ, ἔλεξε

εἰς τὸ ἐλευθερωθῆναι· ἢ οὕτως, αὕτη ἡ ἡμέρα ἦλθε, ἢ παρῆλθε ὥστε σε ἐλευθερωθῆναι ἐπὶ τοῖς εὐαγγελίοις. 783. Ἰόλαος ὅδε·] ἡ δεικτικὴ ἀντωνυμία οὐ τὴν παρουσίαν τοῦ Ἰολάου σημαίνει ὧδε, ἀλλ' αὐτὸν τοῦτον, ὃς ἦν ὧδε πρὸ ὀλίγου· καὶ ὃς τὴν τῶν παίδων τουτωνὶ φροντίδα ἔχει.

Ἔστη μέσοισιν ἐν μεταιχμίοις δορός.
Κἄπειτ' ἔλεξεν. Ὦ στρατήγ', ὃς Ἀργόθεν
Ἥκεις, ἐπεὶ τήνδ' αἶαν οὐκ εἰάσαμεν
* * *
Καὶ τὰς Μυκήνας οὐδὲν ἐργάσῃ κακὸν,
Ἀνδρὸς στερήσας· ἀλλ' ἐμοὶ μόνος μόνῳ
Μάχην συνάψας, ἢ κτανὼν, ἄγου λαβὼν
Τοὺς Ἡρακλείους παῖδας, ἢ θανὼν, ἐμοὶ
Τιμὰς πατρῴους καὶ δόμους ἔχειν ἄφες.
Στρατός δ' ἐπήνεσ', ἔς τ' ἀπαλλαγὰς πόνων
Καλῶς λελέχθαι μῦθον, ἔς τ' εὐψυχίαν.
Ὁ δ' οὔτε τοὺς κλύοντας αἰδεσθεὶς λόγων,
Οὔτ' αὐτὸς αὑτοῦ δειλίαν, στρατηγὸς ὢν,
Ἐλθεῖν ἐτόλμησ' ἐγγὺς ἀλκίμου δορός·
Ἀλλ' ἦν κάκιστος· εἶτα τοιοῦτος γεγὼς,
Τοὺς Ἡρακλείους ἦλθε δουλώσων γόνους.
Ὕλλος μὲν οὖν ἀπῴχετ' ἐς τάξιν πάλιν.
Μάντεις δ', ἐπειδὴ μονομάχου δι' ἀσπίδος
Διαλλαγὰς ἔγνωσαν οὐ τελουμένας,
Ἔσφαζον, οὐκ ἔμελλον, ἀλλ' ἀφίεσαν
Λαιμῶν βροτείων εὐθὺς οὔριον φόνον.
Οἱ δ' ἅρματ' εἰσέβαινον, οἱ δ' ὑπ' ἀσπίδων
Πλευραῖς ἔκρυπτον πλεύρ'· Ἀθηναίων δ' ἄναξ
Στρατῷ παρήγγειλ', οἷα χρὴ τὸν εὐγενῆ·
Ὦ ξυμπολῖται, τῇ τε βοσκούσῃ χθονὶ
Καὶ τῇ τεκούσῃ νῦν τιν' ἀρκέσαι χρεών.

---

800. οὐκ εἰάσαμεν] ἄλλοις δὲ κεῖται, οὐκ ἐᾷ σὰ μέν· καὶ οὐκ, εἶα σὰ μέν. ἀλλὰ καὶ

ταῦτα. Ὦ στρατηγὲ, ὁ Ἀργόθεν ἐλθὼν ἐφ' ἡμᾶς, ἐπειδὴ ἡμεῖς οὐκ ἐφύγομεν ἀπὸ ταύτης τῆς γῆς, ἔα μὲν τοὺς ἄλλους (ἑνὸς γὰρ ἀνδρὸς σεαυτοῦ τὰς Μυκήνας στερήσας, οὐδὲν κακὸν αὐτὰς δράσεις) ἐμοὶ δὲ μόνῳ εἰς χεῖρας ἐλθὼν, εἰ μὲν ἀνέλοις με, ἄγε λαβὼν τοὺς παῖδας τοῦ Ἡρακλέους· εἰ δ' ἐγώ σε, ἄφες μοι τὰς πατρῴους τιμὰς καὶ τὴν οὐσίαν ἔχειν. Ἐκ τούτου τοίνυν ὁ μὲν στρατὸς ἐπήνησε, θορυβήσας καλῶς εἰρῆσθαι ταῦτα ἔς τ' εὐψυχίαν καὶ ἀπαλλαγὴν τοῦ προκειμένου κινδύνου· ἐκεῖνος δ' ὅμως μήτε τοὺς ἀκούσαντας ταῦτ' αἰδεσθεὶς, μήτε τὴν ἑαυτοῦ δειλίαν αἰσχυνθεὶς, στρατηγὸς ὢν, ἀνεδύσατο τὸν ἀγῶνα, κάκιστον πάντων παρασχὼν ἑαυτόν· εἶτα τοιοῦτος πεφυκὼς (ὦ θεοί!) ἧκε δουλώσων τοὺς Ἡρακλέους παῖδας! Ἐντεῦθεν τοίνυν, ἐπανελθόντος εἰς τὰ ὅπλα τοῦ Ὕλλου, οἱ μὲν μάντεις ἀπογνόντες ἤδη τὴν μονομαχίαν, οὐκέτ' ἤμελλον, ἀλλ' ἔσφαζον, αἷμ' ἀνθρώπειον ἐκχέοντες αἴσιον· οἱ δὲ ἐπέβαινον τῶν ὀχημάτων, καὶ ἄλλοι ἀνῄροντο τὰς ἀσπίδας· κἀκ τούτων ὁ τῶν Ἀθηναίων βασιλεὺς, παρελθὼν τῷ στρατῷ παρεκελεύετο, οἷα χρὴ τὸν ἀγαθὸν καὶ εὐγενῆ παραγγεῖλαι. Ἄνδρες Ἀθηναῖοι καὶ ἐμοὶ συμπολῖται, νῦν εἴπερ ποτὲ χρὴ ἕκαστον ἐπαρκέσαι τῇ πατρίδι, τῇ μητρὶ ἡμῶν καὶ τροφῷ γενομένῃ. Εὐρυσθεὺς

τοῦτο κἀκεῖνο οὐχ ὑγιαίνει· δυνατὸν καὶ ἄλλον ὅλον στίχον ἐκλελοιπέναι· διορθοῖ δέ τις. οὐκ Ἔα· ἄλλος δέ τις, οὐκ Ἔλα, τὸ Οὐ πρὸς προστακτικὸν ἀποδόντες ἀκαταλλήλως· ἐ δὲ νοῦς, οἷός μοι εἴρηκται ἐν τῇ παραφράσει, εἰ μὴ καὶ ἄλλα πολλὰ ἐξέλιπε μεταξύ. 817. Λαιμῶν βροτείων] τὴν Μακαρίαν αἰνίττεται· οὐ λέγει φα-

Ὁ δ' αὖ τό, τ' Ἄργος μὴ καταισχύναι θέλων
Καὶ τὰς Μυκήνας, συμάχους ἐλίσσετο.
Ἐπεὶ δ' ἐσήμην' ὄρθιον Τυρσηνικῇ
Σάλπιγγι, καὶ συνῆψαν ἀλλήλοις μάχην,
Πόσον τίν' αὐχεῖς πάταγον ἀσπίδων βρέμειν,
Πόσον τινὰ στεναγμὸν, οἰμωγήν θ' ὁμοῦ;
Τὰ πρῶτα μὲν νυν πίτυλος Ἀργείου δορὸς
Ἐῤῥήξαθ' ἡμᾶς. εἶτ' ἐχώρησαν πάλιν.
Τὸ δεύτερον δὲ ποῦς ἐπαλλαχθεὶς ποδὶ,
Ἀνὴρ δ' ἐπ' ἀνδρὶ στὰς, ἐκαρτέρει μάχῃ.
Πολλοὶ δ' ἔπιπτον· ἦν δὲ τοῦ κελεύσματος.
Ὦ τὰς Ἀθήνας, ὦ τὸν Ἀργείων γύην
Σπείροντες, οὐκ ἀρήξετ' αἰσχύνην πόλει;
Μόλις δὲ πάντα δρῶντες, οὐκ ἄτερ πόνων,
Ἐτρεψάμεσθ' Ἀργεῖον ἐς φυγὴν δόρυ.
Κἀνταῦθ' ὁ πρέσβυς Ὕλλον ἐξορμώμενον
Ἰδὼν, ὀρέξας ἱκέτευσε δεξιὰν
Ἰόλαον ἐμβῆσαί νιν ἵππειον δίφρον.
Λαβὼν δὲ χερσὶν ἡνίας, Εὐρυσθέως
Πώλοις ἐπεῖχε· τἀπὸ τοῦδ' ἤδη κλύων
Λέγοιμ' ἂν ἄλλου, δεῦρο δ' αὐτὸς εἰσιδών.
Παλληνίδος γὰρ σεμνὸν ἐκπερῶν πάγον
Δίας Ἀθάνας, ἅρμ' ἰδὼν Εὐρυσθέως,

νερῶς δι' Ἀλκμήνην. 825. Ὄρθιον] μέλος. Ὄρθιος νόμος, ᾠδή τι διεγερτικὴ εἰς μάχην· ὃν κρούσας Τιμόθεος, ἐποίησεν Ἀλέξανδρον ἐκπηδῆσαι ἀπὸ τῆς εὐωχίας ἀπὸ τὰ ὅπλα. 831. Ποῦς ὑπαλλαχθεὶς ποδὶ, ἀνὴρ δ' ἐπ' ἀνδρὶ σὰς] τοῦτο

δ' αὖ καὶ αὐτὸς, ἵνα μὴ καταισχύνῃ τὰς Μηκήνας εἰς τὸ Ἄργος, ἐδεῖτο τῶν συμμάχων προθύμους εἰς τὸ ἔργον γενέσθαι· ἐπεὶ δέ ποτ' ἐσήμηνεν ἡ σάλπιγξ τὸ ὄρθιον, καὶ συνεμίξαμεν ἀλλήλοις, τί δοκεῖς; οἷος μὲν ἦν ἀραγμὸς τῶν ἀσπίδων! οἷος δὲ στεναγμὸς οἰμωγῇ μεμιγμένος! Τὸ μὲν οὖν πρῶτον ῥαγδαιότερον ἡμῖν τῶν Ἀργείων ἐπιπεσόντων, διεῤῥάγη ἡμῶν ἡ φάλαγξ· εἶτ' ἀποχωρησάντων ἐκείνων, συστραφέντες αὖθις ἡμεῖς, καὶ ἀνὴρ παρ' ἀνδρὶ στὰς ἐν συνασπισμῷ, ἐμαχόμεθα· ἦν δὲ κέλευσμα ἑκατέρωθεν, ὦ τὰς Ἀθήνας οἰκοῦντες, ὦ τοὺς τοῦ Ἄργους ἀγροὺς γεωργοῦντες, οὐκ ἀπερύξετε τῇ πόλει τὴν αἰσχύνην; Μόλις δὲ παντὶ σθένει χρησάμενοι, καὶ πάντα ὑποστάντες ἀγῶνα, ἐτρέψαμεν εἰς φυγὴν τοὺς πολεμίους· κἀνταῦθα ὁ πρέσβυς Ἰόλαος, ἰδὼν τὸν Ὕλλον διφρεύοντα, ἄρας τὰς χεῖρας, ἐδεῖτο ἀναλαβεῖν κἀκεῖνον· τούτου δὲ γενομένου, λαβὼν τὰς ἡνίας, ἐφῆκε κατόπιν τοῦ Εὐρυσθέως. Μέχρι μὲν οὖν τούτων αὐτός εἰμι ἑωρακὼς, ἃ ὑμῖν διεξῆλθον· ἃ δὲ μετὰ τοῦτο συνέβη, λέγοιμ' ἂν παρ' ἄλλων ἀκηκοώς· Ἰόλαος γὰρ παραλλάξας τὸν ἱερὸν τῆς Παλλανίδος πάγον, ὡς εἶδε τὸ Εὐρυσθέως ὄχημα, ηὔξατο Διΐ τε καὶ

---

δ' ὅλον βούλεται λέγειν, στάντες πυκνοὶ, καὶ ἐν συνασπισμῷ· ἔστι δὲ ταῦτα ἐκ μιμήσεως Ὁμήρου Ἰλ. Ν. στίχ. 130.

» Φράξαντες δόρυ δουρὶ, σάκος σάκεϊ προθελύμνῳ.

» Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.

838. Ἐξορμώμενον] καταβαίνοντα τοῦ δίφρου· ἢ διαβαίνοντα ἁπλῶς.

844. Παλληνίδος] Μοῖρα τῆς Ἀττικῆς ἡ Παλληνίς. τείνουσα ἐπὶ Μέγαρα· ἔνθα λόφος ἦν καὶ ἱερὸν Ἀθηνᾶς· περὶ ἧς καὶ Ἡρόδοτος ἐν Κλειοῖ· Ἀπικνέεται

Ἠράσαθ' Ἥβῃ, Ζηνί θ', ἡμέραν μίαν
Νέος γενέσθαι κἀποτίσασθαι δίκην
Ἐχθρούς· κλύειν δὴ θαύματος πάρεστί σοι.
Δισσὼ γὰρ ἀστέρ' ἱππικοῖς ἐπὶ ζυγοῖς
Σταθέντ', ἔκρυψαν ἅρμα λυγαίῳ νέφει.
Σὸν δὴ λέγουσι παῖδά γ' οἱ σοφώτεροι,
Ἥβην θ'· ὁ δ' ὄρφνης ἐκ δυσαιθρίου νέων
Βραχιόνων ἔδειξεν ἡβητὴν τύπον.
Αἱρεῖ δ' ὁ κλεινὸς Ἰόλεως Εὐρυσθέως
Τέτρωρον ἅρμα πρὸς πέτραις Σκειρωνίσιν.
Δεσμοῖς τε δήσας χεῖρας ἀκροθίνιον
Κάλλιστον, ἥκει τὸν στρατηλάτην ἄγων,
Τὸν ὄλβιον πάροιθεν· ἡ δὲ νῦν τύχη
Βροτοῖς ἅπασι λαμπρὰ κηρύσσει μαθεῖν,
Τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦν, πρὶν ἂν
Θανόντ' ἴδῃ τις· ὡς ἐφήμεροι τύχαι.

ΧΟ. Ὦ Ζεῦ τροπαῖε, νῦν ἐμοὶ δεινοῦ φόβου
Ἐλεύθερον πάρεστιν ἦμαρ εἰσιδεῖν.

ΑΛ. Ὦ Ζεῦ, χρόνῳ μὲν τἄμ' ἐπεσκέψω κακά.
Χάριν δ' ὅμως σοι τῶν πεπραγμένων ἔχω.
Καὶ παῖδα τὸν ἐμὸν πρόσθεν οὐ δοκοῦσ' ἐγὼ
Θεοῖς ὁμιλεῖν, νῦν ἐπίσταμαι σαφῶς.

---

ἐπὶ Παλληνίδος 'Αθηναίης ἱρόν. 846. Ἥβῃ] πότερον, ἵνα ἥβην παρὰ τῆς Ἥβης εὕρηται, ἢ ὅτι γυνὴ Ἡρακλεῖ ἐλέγετο δεδόσθαι αὐτή; τὸ πρῶτον πιθανώτερον. 855. Σκειρωνίσιν] ἴδε Ἱππόλ. στίχ. 993.—860. Τὸν εὐτυχεῖν] συχνὸν τύπος τοῦτο τῷ ἡμετέρῳ ποιητῇ· οὕτω γὰρ καὶ 'Ανδρομάχῃ. στίχ.

» Χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν,
» Πρὶν ἂν, θανόντος, τὴν τελευταίαν ἴδῃς,
» Ὅπως περάσας ἡμέραν, ἥξει κάτω.

Ἥβη, μίαν μόνην ἀνηβῆσαι ἡμέραν, ὅσον τίσασθαι τοὺς πολεμίους· σὺ δὲ σύντεινόν μοι νῦν τὸ οὖς πρὸς ὃ μέλλω ἐρεῖν· δύο γὰρ ἀστέρες ἐπὶ τοῦ τῶν ἵππων στάντες ζυγοῦ, συνεκάλυψαν τὸ ἅρμα νέφει σκοτεινῷ· τὸν σὸν παῖδα καὶ τὴν Ἥβην οἱ σοφώτεροι τῶν ἀνθρώπων λέγουσιν εἶναι τούτους. Ἰόλαος δ' ἅμα ἐκδὺς τῆς νεφέλης, ἔδειξεν ἀνδρὸς ἡβῶντος βραχίονας· κἀπιθέμενος Εὐρυσθεῖ, αἱρεῖ αὐτὸν σὺν τῷ δίφρῳ παρὰ ταῖς Σκειρωνίσι· καὶ περιαγαγὼν τὼ χεῖρε, ἔδησεν ἀλύτοις δεσμοῖς· καὶ νῦν ἥκει ἄγων τὸν στρατηγὸν κάλλιστον ἀκροθίνιον τὸν πρὶν γενόμενον ὀλβιώτατον· ὥσθ' ἡ παροῦσα τύχη παιδεύει μάλιστα πάντας, μηδένα μακαρίζειν, πρὶν ἄν τις ἴδῃ αὐτὸν ἀποθανόντα· τὰ γὰρ τῆς τύχης ἀλλάσσει παρ' ἡμέραν.

ΧΟ. Ὦ Ζεῦ ἀποτρόπαιε, νῦν ἀπαλλαγεὶς ἀληθῶς μεγίστης ἀγωνίας, εὖ οἶδ' ὅτι ἐλεύθερον διανύσω αἰῶνα.

ΑΛ. Ὦ Ζεῦ, ὀψὲ μὲν τὰς ἐμὰς ἐπισκοπεῖν ἠξίωσας συμφοράς, ἀλλ' οὖν μεγίστην σοι τῶν πεπραγμένων χάριν ἔχω· καὶ τὸν ἐμὸν παῖδ' ἀπιστοῦσα μέχρι δεῦρο τοῖς θεοῖς πάρεδρον γενέσθαι, νῦν τοῦτο πέπεισμαι σαφῶς

---

Οὕτω δὲ καὶ ἐν Ἰφιγενείᾳ Αὐλ. στίχ. 161.

» Θνητῶν δ' ὄλβιος εἰς τέλος οὐδεὶς,
» Οὐδ' εὐδαίμων·
» Οὔπω γὰρ ἔφυ τις ἄλυπος.

Ὁμοίως δὲ κἀν ταῖς Τρῳάσι στίχ. 486.

» . . . . . . Τῶν δ' εὐδαιμόνων
» Μηδένα νομίζετ' εὐτυχεῖν, πρὶν ἂν θάνῃ.

862. Ὦ Ζεῦ τροπαῖε] ὁ τροπὴν ἐμποιῶν τοῖς πολεμίοις.

Ὦ τέκνα, νῦν δὴ, νῦν ἐλεύθεροι πόνων,
Ἐλεύθεροι δὲ τοῦ κακῶς ὀλουμένου
Εὐρισθέως ἔσεσθε, καὶ πόλιν πατρὸς
Ὄψεσθε, κλήρους δ' ἐμϐατεύσετε χθονὸς,
Καὶ θεοῖς πατρῴοις θύσεθ', ὧν ἀπειργμένοι
Ξένοι πλανήτην εἴχετ' ἄθλιον βίον.
Ἀτὰρ τί κεύθων, Ἰόλεως σοφόν ποτε
Εὐρυσθέως ἐφείσαθ', ὥςε μὴ κτανεῖν;
Λέξον· παρ' ἡμῖν μὲν γὰρ οὐ σοφὸν τόδε,
Ἐχθροὺς λαϐόντα, μὴ 'ποτίσασθαι δίκην.

ΘΕ. Τὸ σὸν προτιμῶν, ὥς νιν ὀφθαλμοῖς ἴδοις
Κρατοῦντα, καὶ σῇ δεσποτούμενον χερί.
Οὐ μὴν ἑκόντα γ' αὐτὸν, ἀλλὰ πρὸς βίαν
Ἔζευξ' ἀνάγκῃ· καὶ γὰρ οὐκ ἐϐούλετο
Ζῶν ἐς σὸν ἐλθεῖν ὄμμα, καὶ δοῦναι δίκην.
'Αλλ', ὦ γεραιὰ, χαῖρε, καὶ μέμνησό μοι,
Ὃ πρῶτον εἶπας, ἡνίκ' ἠρχόμην λόγου·
Ἐλευθέρωσόν μ'· ἐν δὲ τοῖς τοιοῖσδε χρὴ
'Αψευδὲς εἶναι τοῖσι γενναίοις στόμα.

ΧΟ. Ἐμοὶ χορὸς μὲν ἡδὺς εἴη, λίγεια (Στρ. ά.)
Λωτοῦ χάρις ἐνί γε δαιτί·
Εἴη δ' εὔχαρις 'Αφροδίτα.
Τερπνὸν δέ τι καὶ φίλων ἄρ'
Εὐτυχίαν ἰδέσθαι
Τῶν πάρος οὐ δοκούντων.
Πολλὰ γὰρ τίκτει
Μοῖρα τελεσσιδώτειρ',
Αἰών τε Κρόνου παῖς.

ἐκ τῶν παρόντων. Ὦ τέκνα, ἴστε νῦν ὑμεῖς τοῦ κακῶς κακοῦ ἀπολουμένου ἀπηλλαγμένοι, καὶ τὴν πατρῴαν οὐκ ἐς μακρὰν ὀψόμενοι πόλιν· τῆς τε γὰρ γῆς αὐτῆς ἐπιβήσεσθε καὶ τοῖς πατρῴοις θεοῖς θύσετε· ὧν ἀπειργμένοι, ξένοι παρὰ ξένοις πλανήτην διηνύετε βίον. Ἀλλὰ τί δήποτε βουλόμενος ὁ Ἰόλαος, οὐκ ἀπέκτεινεν συλλαβὼν Εὐρυσθέα; νόμιμον γὰρ ἡμῖν, εἴτις ἐχθὸν λάβοι, ἀνελεῖν, λαμβάνοντα δίκην.

ΘΕ. Σοῦ γ' ἕνεκα τοῦθ' οὕτω τυγχάνει πεπραχὼς, ὅπως τοῖς σαυτῆς ὀφθαλμοῖς ἐκεῖνον ζῶντα ἴδῃς, ἀλαζόνα μὲν τὸ πρὶν ἐπὶ τῷ κράτει, ταπεινὸν δὲ καὶ ὑποχείριόν σοι ἤδη γεγενημένον· ἀλλ' οὔθ' ἑκόντ' αὖθις, ἀλλ' ἀναγκάσας ἐκεῖνον ἄγει ὧδε· οὐ γὰρ ἐβούλετο οὐδένα τρόπον σοὶ παραςῆναι ζῶν, καὶ δίκην δοῦναι. Σὺδ' ὦ γεραιὰ, χαῖρε, καὶ μέμνησό μοι, ὧν ἀρχομένῳ μοι τοῦ λόγου ἐπηγγείλω· δώσῃς γὰρ νῦν μοι τὴν ἐλευθερίαν· ἐν γὰρ τοῖς τοιούτοις χρὴ ἀεὶ τοὺς γενναίους σύμφωνα, οἷς λέγουσι, πράττειν.

ΧΟ. Ἡδὺς μὲν ἔμοιγ' ὁ χορός ἐστιν, ἡδὺς δὲ καὶ αὐλὸς ἐν θαλίαις χάριν πολλὴν παρέχων ἐν μολπῇ τοῖς ἀκούουσι· τερπνὴ δὲ καὶ ἡ Ἀφροδίτη· ἀλλ' οὐχ ἧττον τέρπει καὶ φίλων τῶν πρὶν ἀτυχούντων εὐτυχία παροῦσα· πολλὰ γὰρ ἥτε τελεσιουργὸς μοῖρα, καὶ ὁ χρόνος ὁ παῖς τοῦ Κρόνου φέρει.

---

879. Κρατοῦντα] κρατοῦντα μέν ποτε, νῦν δὲ δεσποζόμενον τῇ σῇ χειρί· εἰμή τι τὸ κρατοῦντα ἀντὶ παθητικοῦ ἐξείληπται. 884. Ὁ πρῶτον εἶπας] ἀνωτέρω ςίχ. 783. 887. Ἡδὺς εἴη, λύγεια] οὕτως ἐξ ἄλλης ἀντὶ τοῦ, ἡδὺς, εἰ λύγεια. 895. Κρόνου παῖς] ὁ γὰρ χρόνος παρὰ τὸ Κρόνος τροπῇ τοῦ ψιλοῦ εἰς δασύ.

Ἔχεις ὁδόν τιν', ὦ πόλις, δίκαιον. (Ἀντ. α΄.)
Οὐ χρή ποτε τόδ' ἀφελέσθαι,
Τιμᾷν θεούς· ὁ δὲ μή σε φάσκων
Ἐγγὺς μανιῶν ἐλαύνει,
Δεικνυμένων ἐλέγχων
Τῶνδ'. ἐπίσημα γάρ τοι
Θεὸς παραγγέλλει,
Τῶν ἀδίκων παραιρῶν
Φρονήματος αἰεί·
Ἔστιν ἐν οὐρανῷ βεβακὼς
Τεὸς γόνος, ὦ γεραιὰ,
(Φεύγει λόγον, ὡς τὸν ᾅδα
Δόμον κατέβα, πυρὸς
Δεινᾷ φλογὶ σῶμα δαισθείς)
Ἥβας τ' ἐρατὸν χροΐζει λέχος
Χρυσέαν κατ' αὐλάν.
Ὦ Ὑμέναιε, δισσοὺς
Παῖδας Διὸς ἠξίωσας.
Συμφέρεται τὰ πολλὰ πολλοῖς· Ἀντ. β΄.
Καὶ γὰρ πατρὶ τῶνδ' Ἀθάναν
Λέγουσ' ἐπίκουρον εἶναι,
Καὶ τούσδε θεᾶς πόλις
Καὶ λαὸς ἔσωσε κείνας,

---

909. Σῶμα δαϊσθεὶς] καταφλεγεὶς ἐν τῇ Οἴτῃ ὡς ὁ μῦθος. Μέτιθι Ἀπολλόδωρον. βιβλ. Β. 7, 71. τὸ δὲ χροΐζει, πλησιάζει, προςρίβει, βούλεται λέγειν.

Ὦ πόλις, ὁδὸς τοὔργον τοῦτο ἔστω σοι ἀεὶ πρὸς τὰ δίκαια τῶν ἀνθρώπων, καὶ μηδέποτ' ἀφαιρεθείης τὸ τιμᾶν τοὺς θεούς· ὁ δ' ἀντιλέγων οὐ πόῤῥω ἐστὶ μανίας, τοιούτου παραδείγματος προκειμένου· φανερὰ γὰρ σημεῖα δείκνυσιν ὁ θεὸς τοῖς θνητοῖς δικαιοσύνης, τῶν ἀλαζόνων τὸ φρόνημα πολλαχῶς παρακόπτων.

Ὁ σὸς ἄρα παῖς, ὦ γεραιὰ, ἐν οὐρανῷ ἐστι· ψευδὲς δὲ τὸ καταφλεγέντα αὐτὸν καταβῆναι εἰς ᾅδου· ἔςι δ' ἐν τῇ τῶν ἀθανάτων χρυσῇ αὐλῇ, συγγιγνόμενος τῇ Ἥβῃ. Ὦ Ὑμέναιε, δύο ἄρα παῖδας τοῦ Διὸς θείας ἠξίωσας ὁμιλίας.

Ἄλλοις ἄλλοτι συμπίπτει ἀκολούθως πρὸς σωτηρίαν· καὶ γὰρ Ἀθηνᾶν φασιν ἐπίκουρον τῷ τούτων πατρὶ γενέσθαι ἐν κινδύνοις· καὶ νῦν ἡ πόλις ἐκείνης αὖθις διέσωσε τοὺς ἐκείνου παῖδας, ἐπισχοῦσα τὴν ὕβριν

---

912. Δισσοὺς παῖδας] πότερον τοῦ γάμου τῶν θεῶν, ἢ τῆς θεότητος αὐτῆς; καὶ πότερον Διόνυσον καὶ Ἡρακλέα· τὸν μὲν, Ἀριάδνῃ· τὸν δὲ, τῇ Ἥβῃ συνῆψεν ὁ Ὑμέναιος, ἢ μόνον Ἡρακλέα πρὸς Ἥβην, ἄμφω παῖδας ὄντας Διός; τοῦτο ἔοικε καὶ γὰρ Διὸς γενέσθαι καὶ Ἥβην, καὶ Ὅμηρος μαρτυρεῖ ἐκεῖνα ποιήσας. Ὀδ. Λ. 600.

» Τὸν δὲ μετ' εἰσενόησα βίην Ἡρακληείην,
» Εἴδωλον, αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι
» Τέρπεται ἐν θαλίῃ, καὶ ἔχει καλλίσφυρον Ἥβην,
» Παῖδα Διὸς μεγάλοιο, καὶ Ἥρης χρυσοπεδίλου.

915. Πατρὶ τῶνδε] τῷ Ἡρακλεῖ· ᾧ σύμμαχος ἦν Ἀθηνᾶ, ὡς καὶ Ὅμηρος. Ἰλ. Θ. 362.

» Οὐδέ τι τῶν μέμνηται, ὅ οἱ μάλα πολλάκις υἱὸν
» Τειρόμενον σώεσκον ὑπ' Εὐρυσθῆος ἀέθλων,

Ἔσχεν δ' ὕϐριν ἀνδρὸς, ᾧ θυμὸς ἦν
Πρὸ δίκας βιαίως.
Μή ποτ' ἐμοὶ φρόνημα
Ψυχά τ' ἀκόρεστος εἴη!

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΑΓΓΕΛΟΣ, ΑΛΚΜΗΝΗ, ΕΥΡΥΣΘΕΥΣ, ΧΟΡΟΣ.

ΑΓ. Δέσποιν', ὁρᾷς μὲν, ἀλλ' ὅμως εἰρήσεται,
Εὐρυσθέα σοι τόνδ' ἄγοντες ἥκομεν,
Ἄελπτον ὄψιν, τῷδέ τ' οὐχ ἧσσον τυχεῖν·
Οὐ γάρ ποτ' ηὔχει χεῖρας ἵξεσθαι σέθεν,
Ὅτ' ἐκ Μυκηνῶν πολυπόνῳ σὺν ἀσπίδι
Ἔστειχε, μείζω τῆς τύχης φρονῶν πολὺ,
Πέρσων Ἀθήνας. ἀλλὰ τὴν ἐναντίαν
Δαίμων ἔθηκε καὶ μετέστησεν τύχην.
Ὕλλος μὲν οὖν ὅ,τ' ἐσθλὸς Ἰόλεως βρέτας
Διὸς τροπαίου καλλίνικον ἔστασαν·
Ἐμοὶ δὲ πρὸς σὲ τόνδ' ἐπιστέλλουσ' ἄγειν,
Τέρψαι θέλοντες σὴν φρέν'. ἐκ γὰρ εὐτυχοῦς
Ἥδιστον ἐχθρὸν ἄνδρα δυστυχοῦνθ' ὁρᾶν.
ΑΛ. Ὦ μῖσος, ἥκεις; εἷλέ σ' ἡ Δίκη χρόνῳ;

---

919. Ὧ θυμὸς ἦν πρὸ δίκας βιαίως] ἐν ἄλλοις, πρὸς δίκας· οὐ καλῶς· ὁ δὲ νοῦς.

ἀνδρὸς ἀλαζόνος, οὗ πρὸς τῇ ῥινὶ δριμεία κάθηται χολὴ ἀντὶ τῆς δίκης. ἀλλ' ἔμοιγ' εἴη μήθ' ὑπέρμεγα φρονεῖν, θνητὸν ὄντα, μήτ' ἄπληστόν ποτε ψυχὴν κεκτῆσθαι.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΑΓΓΕΛΟΣ, ΑΛΚΜΗΝΗ, ΕΥΡΥΣΘΕΥΣ, ΧΟΡΟΣ.

ΑΓ. Δέσποινα, ὁρᾷς μὲν καὶ αὐτὴ αὐτοῖς ὀφθαλμοῖς, ἀλλ' ὅμως ἐρῶ· ἰδοὺ Εὐρυσθεὺς ὁ σοβαρὸς, ὃν ἥκομεν ἄγοντες, οὐχ ἧττον ἀνέλπιστον ὄψεσθαι, ἢ καὶ αὐτῷ πείσεσθαι τοιαῦτα· οὐδέποτε γὰρ προσεδόκησε χερσὶ ταῖς σαῖς περιπεσεῖσθαι, τηλικαύτῃ δυνάμει Ἀργόθεν ἐπιὼν ἐπ' Ἀθήνας, μεῖζον ἢ κατ' ἄνθρωπον φρονῶν ἐπὶ τῇ τύχῃ, ἀνθ' ὧν ὁ δαίμων ἀνέτρεψεν αὐτὸν εἰς πᾶν τοὐναντίον. Ὁ μὲν οὖν Ὕλλος καὶ Ἰόλαος ἄγαλμα καλλίνικον ἵστασαν Διῒ τροπαίῳ· ἐμοὶ δὲ προσέταξαν ἀπαγαγεῖν τὸν τύραννον πρὸς σὲ, ὅπως ἥδιον σχῇς ἰδοῦσα· τί γὰρ ἥδιστον, ἢ ἐχθρὸν ἐξ εὐτυχίας ἄκρας εἰς πᾶν τοὐναντίον ἰδεῖν μεταπεσόντα;

ΑΛ. Ὦ μῖσος, ἥκες; ἔχεις τελευτῶν τήνδε τὴν δίκην χρό-

ὃς ἀλαζὼν ὢν καὶ ὑβριστὴς, δεύτερον τοῦ θυμοῦ τὸ δίκαιον ἐτίθετο· ὅ ἐστιν, ἥττων γιγνόμενος τοῦ θυμοῦ, εἰς οὐδὲν τὸ δίκαιον ἐλογίζετο. 931. Βρέτας] εἴδωλον, ἢ ἁπλῶς τρόπαιον· οὕτω δ' ἐχρήσατο κἀν Φοινίσσαις ςίχ. 1265. καὶ 1487.—936. Ω μῖσος] μήτι γραπτέον μᾶλλον, ὦ μῦσος;

Πρῶτον μὲν οὖν μοι δεῦρ' ἐπίστρεψον κάρα,
Καὶ τλῆθι τοὺς σοὺς προσβλέπειν ἐναντίον
Ἐχθρούς· κρατῇ γὰρ νῦν γε, κοὐ κρατεῖς ἔτι·
Ἐκεῖνος εἶ σύ (βούλομαι γὰρ εἰδέναι)
Ὃς πολλὰ μὲν τὸν ὄνθ', ὅπου στὶ νῦν, ἐμὸν
Παῖδ' ἠξίωσας, ὦ πανοῦργ' ἐφυβρίσαι;
Τί γὰρ σὺ κεῖνον οὐκ ἔτλης καθυβρίσαι;
Ὃς καὶ παρ' ᾅδην ζῶντά νιν κατήγαγες,
Ὕδρας, λέοντάς τ' ἐξαπολλύναι λέγων,
Ἔπεμπες; ἄλλα δ', οἷ' ἐμηχανῶ, κακὰ
Σιγῶ· μακρὸς γὰρ μῦθος ἂν γένοιτό μοι.
Κοὐκ ἤρκεσέν σοι ταῦτα τολμῆσαι μόνον,
Ἀλλ' ἐξ ἁπάσης κἀμὲ καὶ τέκν' Ἑλλάδος
Ἤλαυνες, ἱκέτας δαιμόνων καθημένους,
Τοὺς μὲν γέροντας, τοὺς δὲ νηπίους ἔτι.
Ἀλλ' εὗρες ἄνδρας, καὶ πόλισμ' ἐλεύθερον,
Οἵ σ' οὐκ ἔδεισαν. δεῖ σε κατθανεῖν κακῶς.
Καὶ κερδανεῖς ἅπαντα· χρῆν γὰρ οὐχ ἅπαξ
Θνήσκειν σὲ, πολλὰ πήματ' ἐξειργασμένον.
ΑΓ. Οὐκ ἔστ' ἀνυστὸν τόνδε σοὶ κατακτανεῖν.
ΑΛ. Ἄλλως ἄρ' αὐτὸν αἰχμάλωτον εἵλομεν;
Εἴργει δὲ δὴ τίς τόνδε μὴ θανεῖν νόμος;
ΑΓ. Τοῖς τῆσδε χώρας προστάταισιν οὐ δοκεῖ.
ΑΛ. Τί δὴ τόδ', ἐχθροὺς τοῖσιδ' οὐ καλὸν κτανεῖν;
ΑΓ. Οὐχ, ὅντιν' ἄν γε ζῶνθ' ἕλωσιν ἐν μάχῃ.

---

δε 'Απολ. βιβλ. Ι. 2, 5.—953. Κακῶς] πολλαῖς ποιναῖς καὶ τιμωρίαις, ἀλλ' οὐχ ἑνὶ θανάτῳ· οὕτω γὰρ ἀποθανὼν ἅπαξ, κερδανεῖς ἅπαντα· ὡς μὴ ἀξίως ἀποτίσας τὰς ἐς τὸν Ἡρακλέα ὕβρεις.

νω; στρέψον οὖν πρῶτον τὴν σαυτοῦ κεφαλὴν ὡς ἡμᾶς καὶ τόλμα πρὸς τοὺς ἐχθροὺς τοὺς σαυτοῦ μικρὸν ἀναβλέψαι· σύνοισθα γὰρ νῦν κρατούμενος, κοὐκέτι αὐτὸς κρατῶν ἑτέρων· οὐκοῦν ἐκεῖνος εἶ; βούλομαι γὰρ τοῦτο πρῶτον εἰδέναι· ὃς πολλὰ ἐς τὸν ἐμὸν ἐξύβρισας παῖδα, τὸν νῦν ὄνθ', ὅπη ἂν ᾖ ἐκεῖνος· τί γάρ σοι ἀπολέλοιπας ὕβρεως; ὃς, ἐῶ τὰ πολλὰ, ἀλλὰ καὶ εἰς τὸν ᾅδην κατέπεμψας ἐκεῖνον, καὶ ἐφ' ὕδρας καὶ λέοντας, κελεύων ταῦτ' ἀνελεῖν· τί δ' ἂν ἀριθμήσαιμι τἆλλα, οἷς ἐσκευώρεις ἐκεῖνον ἀπολέσαι; μηκύνειν γὰρ ἀνάγκη, εἴπερ εἴποιμι πάντα· ἀλλ' οὐδὲ, τούτοις αὖ ὁρίσας τὴν κακίαν, ἔληξας ἐμέ τε καὶ τοὺς παῖδας ἐξ ἁπάσης ἐλαύνων τῆς Ἑλλάδος, καὶ ταῦθ' ἱκέτας τῶν θεῶν καθημένους, τοὺς μὲν εἰς ἄκρον ἐληλακότας γήρως, τοὺς δὲ νηπίους ὄντας· ἀλλ' εὗρες, ὦ θεοί! εὗρες πόλιν καὶ ἄνδρας ἐλευθέρους, μὴ τρέσαντας τὴν σὴν ἀλαζονίαν· οὐκοῦν κακῶς ἀποθανεῖν σε χρὴ, καὶ πάντα ἐξέςαι σοι κερδάναι οὕτως· ἔδει γάρ σε, οὐχ ἅπαξ ἁπλῷ θανάτῳ παθεῖν τοῦτο, μὴ ἁπλᾶ ἡμᾶς ἐξειργασμένον.

ΑΓ. Ἀλλ' οὐκ ἔξεστί σοι τοῦτον ἀποκτεῖναι.

ΑΛ. Τί ὅτι μή; ἢ μάτην αὐτὸν τυγχάνομεν ἑλόντες; τίς γὰρ νόμος αὐτὸν ἐξαιρήσεται;

ΑΓ. Οὐ γὰρ δοκεῖ τοῖς κρατοῦσι τῆς χώρας ταύτης.

ΑΛ. Τί δέ; οὐ καλὸν τούτοις τοὺς ἐχθροὺς ἀποκτεῖναι;

ΑΓ. Οὐχ οὓς ἂν ἕλωσιν ἐν μάχῃ ζῶντας.

ΑΛ. Καὶ ταῦτα δόξανθ' Ὕλλος ἐξηνέσχετο;
ΑΓ. Χρῆν δ' αὐτὸν, οἶμαι, τῇδ' ἀπιστῆσαι χθονί;
ΑΛ. Χρῆν τόνδε μὴ ζῆν, μηδὲ φάος ὁρᾷν ἔτι.
ΑΓ. Τότ' ἠδικήθη πρῶτον, οὐ θανὼν ὅδε.
ΑΛ. Οὐκοῦν ἔτ' ἐστὶν ἐν καλῷ δοῦναι δίκην.
ΑΓ. Οὐκ ἔστι, τοῦτον ὅστις ἂν κατακτάνοι.
ΑΛ. Ἔγωγε· καίτοι φημὶ κἄμ' εἶναί τινα.
ΑΓ. Πολλὴν ἄρ' ἕξεις μέμψιν, εἰ δράσεις τόδε.
ΑΛ. Φιλῶ πόλιν τήνδ', οὐδὲν ἀντιλεκτέον.
Τοῦτον δ', ἐπείπερ χεῖρας ἦλθεν εἰς ἐμὰς,
Οὐκ ἔστι θνητῶν, ὅστις ἐξαιρήσεται.
Πρὸς ταῦτα τὴν θρασεῖαν, ὅστις ἂν θέλῃ,
Καὶ τὴν φρονοῦσαν μεῖζον, ἢ γυναῖκα χρὴ,
Λέξει· τὸ δ' ἔργον τοῦτ' ἐμοὶ πεπράξεται.
ΧΟ. Δεινόν τι καὶ συγγνωστὸν, ὦ γύναι, σ' ἔχειν
Νεῖκος πρὸς ἄνδρα τόνδε· γιγνώσκω καλῶς·
ΕΥ. Γύναι, σάφ' ἴσθι μή με θωπεύσοντά σε,
Μήδ' ἄλλο μηδὲν τῆς ἐμῆς ψυχῆς πέρι
Λέξονθ', ὅθεν χρὴ δειλίαν ὄφλειν τινά·
Ἐγὼ δὲ νεῖκος οὐχ' ἑκὼν τόδ' ἠράμην.
Ἤδειν γε σοὶ μὲν αὐτανέψιος γεγὼς,

963. Χρῆν δ' αὐτὸν, οἶμαι, ἀπιστῆσαι τῇδε χθονί;] διὰ τὸ, οἶμαι, οὐ χρὴ, Οἶμαι ἐρωτηματικῶς προφέρειν τοῦτο· ἀλλ' ἐν εἰρωνείᾳ· ὁ δὲ νοῦς· ἐχρῆν τὸν Ὕλλον μὴ πιστεύειν, εἶτ' οὖν ἀπειθῆ φανῆναι τῇ πόλει τῇδε; ὅ ἐστιν, ἐδύνατο ἀπαρνήσασθαι τὴν τῆς πόλεως ταύτης ἀξίωσιν; τοιοῦτον δέ ἐστι καὶ τὸ, τὸ γὰρ σῶμα οὐκ ἀπιστήσω χθονὶ (κατωτέρω. στίχ. 1027) ὅ ἐστιν, οὐκ ἀναίνομαι ἀποδοῦναι τὸ σῶμα αὐτοῦ τῇ γῇ. 965. Τότ' ἠδικήθη πρῶτον, οὐ θανὼν ὅδε] ἐπειδὴ λέγει ἡ 'Αλκμήνη, ὅτι οὐκ ἐχρῆν ὁρᾷν φάος,

ΑΛ. Τί δ' ὁ Ὕλλος; ἐδέξατο τὸ δόγμα;

ΑΓ. Μῶν ἐχρῆν αὐτὸν ἀπειθῆσαι τῇ πόλει;

ΑΛ. Ἀλλ' ἔδει τοῦτον μηκέτι ζῆν ἐν τοῖς ἄλλοις.

ΑΓ. Τότε γὰρ ἂν οὗτος ἀπέθανε δικαίως.

ΑΛ. Καλὸν δ' ἔτ' ἐστιν καὶ νῦν αὐτὸν δοῦναι δίκην.

ΑΓ. Οὐκ ἔσθ' ὅστις ἀποκτενεῖ τοῦτον ὧδε.

ΑΛ. Ἔγωγ' εἰμί· εἰ δεῖ με καυχήσασθαι γραῖαν οὖσαν.

ΑΓ. Ἀλλ' εἰ δράσεις τοῦτο πολλὴν μέμψιν ἕξεις.

ΑΛ. φιλῶ μὲν τὴν πόλιν τήνδε, καὶ οὐκ ἂν ἄλλως ἔχοι· τοῦτον δὲ, ἐπεὶ ἅπαξ ταῖς ἐμαῖς ἐμπέπτωκε χερσὶν, οὐκ ἔσθ' ὅστις, θνητὸς ὢν, αὐτὸν ἐξαιρήσεται· πρὸς ταῦτα λεγέτω με, ὅστις ἐθέλοι, θρασεῖαν, καὶ μείζω ἢ κατὰ γυναῖκα φρονεῖν· τοῦτ' ἀλλ' οὖν ἐγὼ πράξω.

ΧΟ. Οἶδ', ὦ γύναι, μέγα μὲν καὶ δεινὸν μῖσος, συγγνωστὸν δὲ, ἔχουσάν σε πρόςγε τὸν ἄνδρα τοῦτον.

ΕΥ. Ὦ γύναι, ἐκεῖνο μέν σε πρῶτον εἰδέναι δεῖ, ὡς μήτε λόγοις ὑποδραμοῦμαί σε, μήτ' ἄλλο τι πράξω, δεόμενός σου σωθῆναι, ἐξ ὧν δειλίαν ἄντις μου καταγνοίη δικαίως· ἔπειτα τὸ μῖσος τοῦτο οὐχ ἑκὼν ἀνηράμην·

---

ἀποκρίνεται, ὅτι τὸ ἄδικον τοῦτο γέγονε τότε, μὴ πεσόντος τούτου ἐκεῖ ἐν τῇ μάχῃ· ἡ δὲ φράσις ὡς μάλα καινότροπος· ἣν ἀνεπτύξειεν ἄντις ὧδί· Τότε οὗτος πέπονθε τὸ ἄδικον τοῦτο (ὅ ἐστιν ἔτχε τὸ ζῆν ἀδίκως) ὅτε ληφθεὶς, οὐκ ἀπέθανεν ἐν τῇ μάχῃ. 968. Ἔγωγε· καίτοι φημὶ] ἐν ἄλλοις δὲ κεῖται· Ἔγωγε· καὶ τί φημι· κἂν μεῖναί τινα; οὐκ ὀρθῶς· ὁ δὲ νοῦς, οἶμαι, Ἐγὼ ἀποκτενῶ· εἰ δεῖ λέγειν κἀμέ τινα εἶναι, γηραλαίαν ἤδη καὶ ἀδύνατον οὖσαν· οὕτω δὲ καὶ Ἡρακλεῖ στίχ. 41. Κἄμ'· εἴτι δὴ κἄμ' ἐν ἀνδράσιν λέγειν. 982. Αὐτανέψιος] Περσέως μὲν ἐγένοντο Σθένελος καὶ Ἠλεκτρύων· τούτων δ' αὖ Σθενέλου μὲν, Εὐρυσθεύς· Ἠλεκτρύωνος δὲ, Ἀλκμήνη· Ἀλκμήνης δὲ Ἡρακλῆς.

Τῷ σῷ δὲ παιδὶ συγγενὴς Ἡρακλέει.
Ἀλλ' εἴτ' ἔχρηζον, εἴτε μὴ, (θεὸς γὰρ ἦν)
Ἥραμε κάμνειν τήνδ' ἔθηκε τὴν νόσον.
Ἐπεὶ δ' ἐκείνῳ δυσμένειαν ἠράμην,
Κἄγνων ἀγῶνα τόνδ' ἀγωνιούμενος,
Πολλῶν σοφιστὴς πημάτων ἐγιγνόμην,
Καὶ πόλλ' ἔτικτον. νυκτὶ συνθακῶν ἀεὶ,
Ὅπως, διώσας, καὶ κατακτείνας ἐμοὺς
Ἐχθροὺς, τὸ λοιπὸν μὴ συνοικοίην φόβῳ,
Εἰδὼς μὲν οὐκ ἀριθμὸν, ἀλλ' ἐτητύμως
Ἄνδρ' ὄντα τὸν σὸν παῖδα· καὶ γὰρ ἐχθρὸς ὢν,
Ἀκούσεται τά γ' ἐσθλὰ, χρηστὸς ὢν ἀνήρ.
Κείνου δ' ἀπαλλαχθέντος, οὐκ ἐχρῆν μ' ἄρα,
Μισούμενον πρὸς τῶνδε, καὶ ξυνειδότα
Ἔχθραν πατρῴαν, πάντα κινῆσαι πέτρον,
Κτείνοντα, κἀκβάλλοντα, καὶ τεχνώμενον;
Τοιαῦτα δρῶντι τἄμ' ἐγίγνετ' ἀσφαλῆ.
Οὔκουν σύ γ', ἀναλαβοῦσα τὰς ἐμᾶς τύχας,
Ἐχθροῦ λέοντος δυσμενῆ βλαστήματα
Ἤλαυνες ἂν κακοῖσιν, ἀλλὰ σωφρόνως
Εἴασας οἰκεῖν Ἄργος; οὔ τιν' ἂν πίθοις.
Νῦν οὖν, ἐπειδή μ' οὐ διώλεσαν τότε
Πρόθυμον ὄντα, τοῖσιν Ἑλλήνων νόμοις,
Οὐχ ἁγνός εἰμι τῷ κτανόντι, κατθανών.
Πόλις τ' ἀφῆκε σωφρονοῦσα, τὸν θεὸν

989. Νυκτὶ συνθακῶν] τὴν νύκτα εἰσάγει, ὡς τῶν καιριωτέρων σκέψεων γιγνομέ-

πῶς γὰρ, σοῦ μὲν ἐξ ἀνεψίου οὔσης, Ἡρακλέους δὲ τοῦ σοῦ παιδὸς συγγενοῦς μοι; ἀλλ' ἡ Ἥρα ἑκόντι ἀέκοντι, θεός γ' οὖσα, τὴν νόσον ταύτην ἐνέβαλέ μοι· ἐπεὶ δὲ ἅπαξ ἔχθρα φανερὰ διέστησεν ἡμᾶς ἀπ' ἀλλήλων, καὶ ἔγνων πολὺν ποθ' ὕστερον ἐσόμενόν μοι ἀγῶνα οὐκέτ' ἐπαυόμην πάντα μηχανώμενος τρόπον, καὶ πολλὰ νύκτωρ καὶ μεθ' ἡμέρας βυσσοδομεύων, ὅπως τοὺς ἐμοὺς ἀνελὼν πολεμίους, τὸ λοιπὸν ἀπαλλαγείην καὶ τοῦ φόβου, εἰδὼς ἐκεῖνον οὐχ ἕνα ὄντα τῶν ἐκ τοῦ πάτου, ἀλλ' ἄνδρα, εἴπερ τις ἄλλος, γενναῖον· καὶ γὰρ ἐχθρὸς μὲν ἦν ὁ ἀνὴρ, ἀλλ' ἄξιον καλῶς ἀκούειν ἄριστον ὄντα· ἐκείνου δὲ ἀπαλλαγέντος, ἆρ' οὐκ ἔδει με μισούμενον πρὸς τούτων, καὶ συνειδότα αὐτοῖς πατρῴαν ἔχθραν, πρόνοιαν ἐμαυτοῦ ποιήσεσθαι, μηχανώμενον ὅπως αὐτοὺς καταβαλὼν, ἀφανεῖς ποιήσω; οὕτω γὰρ ἂν ἦν ἀσφαλῆ τὰ κατ' ἐμέ· τί δαί; σύγ' αὐτὴ, εἰ τὴν ἐμὴν ἔσχες τάξιν, οὐκ ἂν, εἰπέ μοι, λέοντος ἐχθροῦ ἐχθίστους σκύμνους παντοίαις ἐξήλασας ἐπηρείαις, ἀλλ' εἴασας ἂν παρεδρεύειν ἐν Ἄργει; οὐκ ἂν πείσαις οὐδένα. Ἐπειδὴ τοίνυν οὐκ ἔπεσον ἐν τῇ μάχῃ, ἔνθα πρόθυμος ἦν πρὸς τοῦτο, νῦν εἰ ἀποθάνοιμι, προστρόπαιος ἔσομαι τῷ ἀποκτενοῦντι κατά γε τοὺς τῶν Ἑλλήνων νόμους· ἡ γὰρ πόλις, τὸν θεὸν μᾶλλον τιμῶσα, ἢ τὴν ἐμὴν ἔχθραν λογιζομένη, ἀφῆκέ μοι ζῆν, σώφρον ποιοῦσα

---

νην αἰτίαν· διὸ καὶ Εὐφρόνην ταύτην καλοῦσιν οἱ ποιηταί. 992. Ἀριθμὸν] οὐτιδανὸν, ἕνα τῶν χύδην ἀνθρώπων. 1004. Οὐ διώλεσαν τότε] ὁπόθ' ἑάλων αἰχμάλωτος, καὶ πρόθυμος ἦν πεσεῖν μετὰ δόξης ἐκεῖ μᾶλλον, ἢ ἐνταῦθ' αἰσχρῶς

Μεῖζον τίουσα τῆς ἐμῆς ἔχθρας πολύ.
Ἄγ᾽ εἶπας, ἀντήκουσας· ἐντεῦθεν δὲ χρὴ
Τὸν προστρόπαιον τόν τε γενναῖον καλεῖν.
Οὕτω γε μέντοι τἄμ᾽ ἔχει· θανεῖν μὲν οὐ
Χρήζω, λιπὼν δ᾽ ἂν οὐδὲν ἀχθοίμην βίον.

ΧΟ. Παραινέσαι σοι σμικρὸν, Ἀλκμήνη, θέλω,
Τὸν ἄνδρ᾽ ἀφεῖναι τόνδ᾽, ἐπεὶ πόλει δοκεῖ.

ΑΛ. Τί δ᾽ ἢν θάνῃ τε, καὶ πόλει πειθώμεθα;

ΧΟ. Τὰ λῷστ᾽ ἂν εἴη· πῶς τάδ᾽ οὖν γενήσεται;

ΑΛ. Ἐγὼ διδάξω ῥᾳδίως· κτανοῦσα γὰρ
Τόνδ᾽, εἶτα νεκρὸν τοῖς μετελθοῦσιν φίλων
Δώσω· τὸ γὰρ σῶμ᾽, οὐκ ἀπιστήσω χθονί·
Οὗτος δὲ δώσει τὴν δίκην θανὼν ἐμοί.

ΕΥ. Κτεῖν᾽, οὐ παραιτοῦμαί σε· τὴν δὲ δὴ πόλιν,
Ἐπεί μ᾽ ἀφῆκε καὶ κατηδέσθη κτανεῖν,
Χρησμῷ παλαιῷ Λοξίου δωρήσομαι,
Ὃς ὠφελήσει μεῖζον, ἢ δοκεῖν, χρόνῳ.
Θανόντα γάρ με θάψεθ᾽, οὗ τὸ μόρσιμον,
Δίας πάροιθε παρθένου Παλληνίδος.
Καὶ σοὶ μὲν εὔνους καὶ πόλει σωτήριος
Μέτοικος ἀεὶ κείσομαι κατὰ χθονὸς,
Τοῖς τῶνδε δ᾽ ἐκγόνοισι πολεμιώτατος,
Ὅταν μόλωσι δεῦρο σὺν πολλῇ χερὶ,
Χάριν προδόντες τήνδε· τοιούτων ξένων

ἔργον. Ταῦτα μὲν παρ' ἐμοῦ πρὸς ἃ ἔφθης εἰποῦσα· νῦν δ' ἐπικαλεῖσθαί με δεῖ τὸν προστρόπαιον καὶ ἐναγώνιον Δία· τέως δ' οὖν τὰ κατ' ἐμὲ ταύτη ἔχει, οὔτ' ἂν ἀποθανεῖν βουλοίμην, οὐδ' ἂν ἀποθανὼν ἀχθοίμην.

ΧΟ. Ἄκουσον ἐμοῦ, ὦ Ἀλκμήνη, ἐπειδὴ δοκεῖ τῇ πόλει, ἄφες σύγε, ἄφες τὸν ἄνδρα τοῦτον.

ΑΛ. Τί δέ; εἰ οὗτος ἀποθάνοι, χ' ἡμεῖς πειθοίμεθα τῇ πόλει, οὐ κρεῖττον τοῦτο;

ΧΟ. Πολλῷ τῷ λόγῳ, εἴσοι τοῦτ' ἔξεστι συμβιβάσαι.

ΑΛ. Καὶ μὴν ἐξέσται· ἀνελοῦσα γὰρ αὐτὸν, ἀποδώσω τὸν νεκρὸν τοῖς βουλομένοις θάψαι· οὕτω γὰρ ἡμὲν γῇ τὸ σῶμα· ἐγὼ δὲ δίκην λήψομαι παρ' αὐτοῦ ἀποθανόντος.

ΕΥ. Σὺ μὲν κτεῖνον, οὐδὲ παραιτοῦμαί σε, τήνδε πόλιν ταύτην ἐπεὶ τὸ ἑαυτῆς μέρος ἀφῆκέ μοι ζῆν καταιδεσθεῖσα, ἀντὶ τούτου χρησμῷ τινι τοῦ Λοξίου ἀμείψομαι· ὃς χρόνῳ πολλῷ ὕστερον ὠφελήσει αὐτὴν μεῖζον, ἢ δοκεῖν. ἀποθανόντα γὰρ παραδώσει με τάφῳ πρὸ τῆς παρθένου Παλληνίδος, ἔνθα εἵμαρταί μοί ποτε ταφῆναι, σοὶ μὲν καὶ τῇ πόλει ἀεὶ σωτήριος· πολεμιώτατος δὲ τοῖς τούτων ἀπογόνοις, ἡνίκα ποθ' ὕστερον, προδόντες, ὧν νῦν τυγχάνουσιν εὖ παθόντες, σὺν μυρίᾳ ἐπελεύ-

---

κατασστρέψαι. 1026. Παλληνίδος] καὶ Παλληνία φησὶ Βαρῖνος· Ἀθηνᾶ ἐν Χαλκίτῃ· Παλληνεῖς δὲ δῆμός ἐστι τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ τῷ βουλομένῳ τυραννεῖν καὶ Ἀθηναίοις ἀμυνουμένοις αὐτὸν πόλεμος κατέστη. ἴδε δὲ καὶ ἀνωτέρω στίχ. 844.

Προὔστητε! πῶς οὖν ταῦτ᾽ ἐγὼ πεπυσμένος,
Δεῦρ᾽ ἦλθον, ἀλλ᾽ οὐ χρησμὸν ᾐδούμην θεοῦ;
Ἥραν νομίζων θεσφάτων κρείσσω πολὺ,
Κοὐκ ἂν προδοῦναί μ᾽. Ἀλλὰ μήτε μοι χοὰς,
Μήθ᾽ αἷμ᾽ ἐάσῃς εἰς ἐμὸν στάξαι τάφον.
Κακὸν γὰρ αὐτοῖς νόστον ἀντὶ τῶνδ᾽ ἐγὼ
Δώσω· διπλοῦν δὲ κέρδος ἕξετ᾽ ἐξ ἐμοῦ·
Ὑμᾶς τ᾽ ὀνήσω, τούσδε τε βλάψω θανών.

ΑΛ. Τί δῆτα μέλλετ᾽, εἰ πόλει σωτηρίαν
Κατεργάσασθαι τοῖσί τ᾽ ἐξ ὑμῶν χρεὼν,
Κτείνειν τὸν ἄνδρα τόνδ᾽, ἀκούοντες τάδε;
Δείκνυσι γὰρ κέλευθον ἀσφαλεστάτην.
Ἐχθρὸς μὲν ὡνὴρ, ὠφελεῖ δὲ κατθανών.
Κομίζετ᾽ αὐτὸν, δμῶες, εἶτα χρὴ κυσὶν
Δοῦναι κατανόντας· μὴ γὰρ ἐλπίσῃς, ὅπως
Αὖθις πατρῴας ζῶν ἔμ᾽ ἐκβαλεῖς χθονός.

ΧΟΡΟΣ.

Ταῦτα δοκεῖ μοι, στείχετ᾽, ὀπαδοί.
Τὰ γὰρ ἐξ ἡμῶν,
Καθαρῶς ἔσται βασιλεῦσιν.

ὄονται ἀσπίδι· τοιούτων γὰρ ὑμεῖς γε νῦν προασπίζετε ξένων. Ἀλλὰ πῶς ἐγὼ, εἴποις ἂν, ταῦτα εἰδὼς, ἧκον δεῦρο, μικρὰ τῶν τοῦ θεοῦ φροντίσας χρησμῶν; ἢ ὅτι κρείττω νομίσας Ἥραν εἶναι, οὐκ ἂν ᾤήθην με προδώσειν· ἀλλὰ σύγε μὴ ἐάσῃς μηδένα τούτων μήθ' αἷμα, μήτε χοὰς ἐπὶ τοὐμοῦ ἐπιχέαι τάφου· ποιήσω γὰρ αὐτοὺς, ἐπειδὰν ἐπὶ τάδε ἐπίωσιν ὅπλοις, κακῶς κακοὺς ἀνθ' ὧν ποιοῦσί με νῦν, ἐπανελθεῖν ἐς τὴν ἑαυτῶν· ὥστε διπλῆ τις τῇ πόλει ἐντεῦθεν ἡ ὄνησις, ὑμῶν τε σωθέντων, κἀκείνων ἀπολεσθέντων.

**ΑΛ.** Τοσαῦτα τοίνυν καὶ τοιαῦθ' ὑμεῖς ἀκούοντες ἀγαθὰ τῇ πόλει καὶ τοῖς τέκνοις ὑμῶν παρὰ τούτου ἐσόμενα, τίποτε μέλετε διαχρήσεσθαι; ἐχθρὸς μὲν γάρ ἐστιν ὁ ἀνὴρ, ἀλλ' ἀποθανὼν ὠφελήσει. Ἀπάγεθ' ὑμεῖς αὐτὸν οἱ οἰκέται· καὶ ἀνελόντες, ῥίψετε αὐτὸν, εἰ δοκεῖ, τοῖς κυσί· μηκέτι ἐλπίσῃς, ἐπιζήσας ἐκβαλεῖν με αὖθις τῆς φιλτάτης πατρίδος.

**ΧΟ.** Ἴτε, ποιεῖτε τὰ κελευόμενα· ταὐτὰ γὰρ κἀμοὶ δοκεῖ· τὰ γὰρ παρ' ἡμῶν καθαρὰ ἔσται τοῖς ἡμῶν βασιλεῦσι.

# ΚΥΚΛΩΨ.

# ΥΠΟΘΕΣΙΣ.

Ὀδυσσεὺς ἀναχθεὶς ἐξ Ἰλίου, εἰς Σικελίαν ἀπεῤῥίφθη, ἔνθα ὁ Πολύφημος· εὑρὼν δὲ καὶ δουλεύοντας ἐκεῖ τοὺς Σατύρους, οἶνον δοὺς, ἄρνας ἤμελλε λαμϐάνειν καὶ γάλα παρ' αὐτῶν, ἐπιφανεὶς δὲ ὁ Πολύφημος, ζητεῖ τὴν αἰτίαν τῆς τῶν ἰδίων ἐκφορήσεως. ὁ Σιληνὸς δὲ τὸν ξένον λῃστεύοντα καταλαϐεῖν φησί. τὰ δ' ἄλλα, ὡς παρ' Ὁμήρῳ κεῖται.

ΤΑ

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΣΙΛΗΝΟΣ.

ΧΟΡΟΣ. Σατύρων.

ΟΔΥΣΣΕΥΣ.

ΚΥΚΛΩΨ.

# ΚΥΚΛΩΨ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

ΚΕΙΜΕΝΟΝ·

ΣΙΛΗΝΟΣ; ΧΟΡΟΣ. ΟΔΥΣΣΕΥΣ.

ΣΙ. Ὦ Βρόμιε διὰ σὲ μυρίους ἔχω πόνους
Νῦν, χὤτ' ἐν ἥβῃ τοὐμὸν εὐσθένει δέμας·
Πρῶτον μὲν, ἡνίκ' ἐμμανὴς Ἥρας ὕπο
Νύμφας ὀρείας ἐκλιπὼν ᾤχου τροφούς.
Ἔπειτα δ' ἀμφὶ γηγενῆ μάχην δορὸς,
Ἐνδέξιος σῷ ποδὶ παρασπιστὴς γεγὼς,
Ἐγκέλαδον, ἰτέαν ἐς μέσην θένων δορὶ,
Ἔκτεινα — φέρ' ἴδω· τοῦτ' ἰδὼν ὄναρ λέγω;
Οὐ μὰ Δί', ἐπεὶ καὶ σκῦλ' ἔδειξα Βακχίῳ.

---

1. Ω Βρόμιε] Σεληνοὶ καὶ Σάτυροι ὀπαδοὶ ἦσαν τοῦ Βάκχου ἐκστρατεύοντος εἰς Ἰνδούς· ἦσαν δὲ μικρὰ ἀνθρωπάρια μεθύοντα, κέρατα καὶ ὦτα ἔχοντες αἰγὸς, ὁμοίως δὲ καὶ οὐρὰν καὶ πόδας· λέγονται δὲ οἱ Σάτυροι γενέσθαι Ἑρμοῦ καὶ Ὑφθίμης τῆς Νύμφης· ἢ μᾶλλον Βάκχου καὶ τῆς Νηρηΐδος Νύσης· ὁ δὲ ποιητὴς ἐνταῦθα Σιληνὸν πατέρα τῶν Σατύρων εἰσάγει. 2. Ἐν ἥβῃ] ὁπόθ' εἱπόμην σοι ἐν ταῖς ἐκστρατείαις. 3. Ἐμμανὴς] Διόνυσον πεμφθέντα ὑπὸ τοῦ Διὸς διὰ τοῦ Ἑρμοῦ εἰς Νύσσαν τὴν ἐν τῇ Ἀσίᾳ, Ἥρα διὰ ζηλοτυπίαν οὐδ' αὐτοῦ

# ΚΥΚΛΩΨ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

ΠΑΡΑΦΡΑΣΙΣ.

ΣΙΛΗΝΟΣ, ΧΟΡΟΣ, ΟΔΥΣΣΕΥΣ.

ΣΙ. Ὦ Βρόμιε, ὡς μυρία τυγχάνω παθὼν διὰ σὲ, νῦν τε καὶ ὁπότ' ἦν ποτὲ ἐν ἡλικίᾳ· πρῶτον μὲν, ἡνίχ' ὑπὸ τῆς Ἥρας μανεὶς ἐπλανῶ πολλαχῆ περιπολῶν, τὰς τροφοὺς Νύμφας καταλιπὼν ἐν Νύσσῃ· ἔπειθ' ὁπότ' ἐν τῇ τῶν Γιγάντων μάχῃ παρασπιστὴς σὸς ὢν, ἀνεῖλον Ἐγκέλαδον, διελάσας διαμπερὲς διὰ τῆς ἀσπίδος· Ἀλλὰ φέρε ἴδω, ἆρ' ἐν ὕπνοις ἰδὼν τοῦτο, γαυριῶ; οὐμενουν· καὶ γὰρ καὶ σκῦλα τότε μέμνημαι δείξας

---

εἴασεν ἡσυχίαν ἄγειν, ἀλλὰ μανίαν αὐτῷ ἐνθεῖσα, ἐποίησε πλανᾶσθαι πανταχοῦ γῆς εἰς Αἴγυπτον, Συρίαν τε, καὶ Ἰνδούς. 5. Γηγενῆ μάχην] τὴν Γιγαντομαχίαν φησίν· ἦσαν δὲ οἱ Γίγαντες παῖδες τῆς γῆς, μεγέθει σωμάτων θαυμαστοὶ, ὥστε καὶ θεοῖς τοῖς τὸν οὐρανὸν ἔχουσιν ἐπολέμησαν, ἀκοντίζοντές τε, καὶ πέτρας βάλλοντες ἄνω· ἀλλὰ τελευτῶντες κατεπολεμήθησαν· Ἐγκέλαδον δὲ, ὃν Σιληνὸς αὐχεῖ ἀνελεῖν, ἑπόμενος τῷ Βάκχῳ, Ἀθηνᾶ ἐφόνευσεν. 8. Ὄναρ] αὐτὸς ἑαυτῷ ἀπιστεῖ τὸ ἔργον τοῦτο· λέγει δὲ ταῦθ' ἵνα γέλωτα ἐμποιήσῃ τοῖς θεαταῖς· τοιοῦτον γὰρ τὸ δρᾶμα τὸ πλεῖστον μέρος.

Καθαροῖσιν ἄντροις μῆλά τ' εἰσδεχώμεθα.
Ἤδη δὲ παῖδας προσνέμοντας εἰσορῶ
Ποίμνας· τί ταῦτα; μῶν κρότος Σικιννίδων
Ὅμοιος ὑμῖν νῦν τε χὤτε Βακχίῳ
Κῶμοι συνασπίζοντες Ἀλθαίας δόμους
Προσῆτ', ἀοιδαῖς βαρβίτων σαυλούμενοι;

ΧΟ. Πᾷ δή μοι γενναίων μὲν πατέρων (στρ. ά.)
Γενναίων τ' ἐκ τοκάδων,
Πᾷ δή μοι νίσσῃ σκοπέλους;
Οὐ τᾷδ' ὑπήνεμος αὔρα
Καὶ ποιηρὰ βοτάνα,
Δινᾶέν θ' ὕδωρ ποταμῶν
Ἐν πίστραις κεῖται πέλας ἄν-
Τρων; οὗ σοι βλαχαὶ τεκέων;
Ψύττ'! οὐ τᾷδ' οὖν, οὐ τᾷδε νέμῃ; (στρ. β'.)
Οὔτ' αὖ κλιτὺν δροσεράν;
Ὠή! ῥίψω πέτρον τάχα σου
Ὕπαγ' ὦ, ὕπαγ' ὦ κεράστα
Μηλοβότα στασίωρον *
Κύκλωπος ἀγροβότα.
Σπαργῶντάς μοι τοὺς μαστοὺς χάλασον· (ἀντ. ά.)
Δέξαι θηλαῖσι σποράς,
Ἃς λείπεις ἀρνῶν θαλάμοις.
Ποθοῦσί σ' ἁμερόκοιτοι
Βλαχαὶ σμικρῶν τεκέων.
Εἰς αὐλάν ποτ' ἀμφιβαλεῖς,
Ποιηροὺς λιποῦσα νομάς,
Αἰτναίων εἴσω σκοπέλων;
Οὐ τάδε Βρόμιος οὐ τάδε χοροί, (ἀντ. β'.)

ἐπανελθόντα ἀπὸ τῆς νομῆς, ἐν καθαροῖς ἀναπαύωνται διαιτήμασι· καὶ ἤδη δοκῶ μοι ὁρᾷν τοὺς παῖδας προσελαύνοντα τὰς ὄϊς δεῦρο. Ἀλλὰ τὶ ταῦτα; μῶν χορὸς ἔσθ' ὅμοιος ἡμῖν νῦν τε, καὶ ὅτε προσήειτε κωμάζοντες ἐν συνασπισμῷ πρὸς τὴν τῆς Ἀλθαίας οἰκίαν ὡς μάλισθ' ἁβρῶς, καὶ ἐν βαρβίτων μολπαῖς ἄκροις βαίνοντες τοῖς ποσί;

ΧΟ. Ποῖ δή μοι, ὦ γενναίων πατέρων, γενναίων δὲ τοκάδων τέκνα, ποῖ δὴ ἀνασκιρτᾶτε πάλιν ἐς τοὺς σκοπέλους; ἆρ' οὐκ ἔστιν αὖρα λεπτὴ ἐνταῦθα, καὶ πόα τρυφερὰ, καὶ ὕδωρ ποτάμιον ἐν δεξαμεναῖς παρὰ τῷ σπηλαίῳ, ὅπου τὰ ἡμέτερα βλήχονται τέκνα; Ψύττα· τί ποτ' οὐ τάδε, ἢ ἐπὶ τάδε νέμῃ παρὰ τὴν δροσερὰν κοιλάδα; ὠή· αὐτίκα βαλῶσε τῷ λίθῳ τούτῳ· ὕπαγ', ὕπαγε, ὦ κερασφόρε ἐπὶ τὸν ὀρεινὸν τουτονὶ σταθμὸν τοῦ ποιμένος καὶ ὑγροδιαίτου Κύκλωπος.

Ἄνες δέ μοι σύ γε σπαργῶντας τοὺς μαςοὺς, δεξαμένη τὰ τέκνα ὑπὸ ταῖς θηλαῖς, ἃ προϊοῦσα ἐπὶ τὴν νομὴν κατέλιπες ἐν σηκοῖς· καὶ ἃ δι' ἡμέρας ὅλης κοιμώμενα, ποθοῦσί σε νῦν βληχώμενα· σὺ δὲ νῦν λιποῦσα τοὺς λειμῶμας, εἰσέρχου εἰς τὸν σταθμὸν ἐντὸς τῶν τῆς Αἴτνης τούτων σπηλαίων. Ἀλλ' οἴμοι· τάδε

---

37. Σικιννίδων] εἶδος ὀρχήσεως ἡ σικιννὶς αἰσχρᾶς καὶ Σατυρικῆς. 39. Ἀλθαίας] Θυέστου οὖσαν ταύτην θυγατέρα Οἰνεὺς ὁ Καλυδωνῶν βασιλεύων ἔγημεν· λέγεται δ' οὖν οὐκ ἐξ Οἰνέως, ἀλλ' ἐκ Διονύσου τεκεῖν αὐτὴν τὴν Δηϊάνειραν· διὸ καὶ ἐλθεῖν τὸν θεὸν τὸν ἐκείνης γάμον τιμήσοντα. 41. Πᾶ δή μοι] οἱ Σάτυροι συνελαύνοντες τὴν ποίμνην εἰς τὸ ἄντρον τοῦ Κύκλωπος, χορεύουσι ταῦτα ὡς πρὸς τὰ θρέμματα ἀναφέροντες. 49. Ψύττα] ποιμενικὸν τοῦτο, ἀνακλητικὸν τῶν ποιμνίων· ὥσ-

Βάκχαι τε θυρσοφόροι.
Οὐ τυμπάνων ἀλαλαγμοὶ
Κρήναισι παρ' ὑδροχύτοις,
Οὐκ οἴνου χλωραὶ σταγόνες,
Οὐ Νύσσα μετὰ Νυμφᾶν.
Ἴακχον, Ἴακχον ᾠδὰν (Ἐπῳδ.)
Μέλπω πρὸς τὰν Ἀφροδίταν,
Ἂν θηρεύων πετόμαν
Βάκχαις σὺν λευκόποσιν.
Ὦ φίλος, ὦ φίλε Βάκχιε,
Ποῖ οἰοπολεῖς,
Ξανθὰν χαίταν σείων;
Ἐγὼ δ' ὁ σὸς πρόσπολος
Θητεύω Κύκλωπι
Τῷ μονοδέρκτᾳ,
Δοῦλος ἀλαίνων σὺν τᾷδε
Τράγου χλαίνᾳ μελέᾳ
Σᾶς χωρὶς φιλίας.

ΣΙ. Σιγίσατ', ὦ τέκν', ἄντρα δ' ἐς πετρηρεφῆ
Ποίμνας ἀθροῖσαι προσπόλοις κελεύσατε.

ΧΟ. Χωρεῖτ'· ἀτὰρ δὴ τίνα, πάτερ, σπουδὴν ἔχεις;

ΣΙ. Ὁρῶ πρὸς ἀκταῖς ναὸς Ἑλλάδος σκάφος,
Κώπης τ' ἄνακτας, σὺν στρατηλάτῃ τινὶ
Στείχοντας ἐς τόδ' ἄντρον, ἀμφὶ δ' αὐχέσι
Τεύχη φέροντας κενὰ, βορᾶς κεχρημένους,
Κρωσσούς θ' ὑδρηλούς. ὦ ταλαίπωροι ξένοι!
Τίνες ποτ' εἰσίν; οὐκ ἴσασι δεσπότην
Πολύφημον, οἷός ἐστιν. ἄξενον στέγην
Τήνδ' ἐμβεβῶτες, καὶ Κυκλωπίαν γνάθον
Τήνδ' ἀνδροβρῶτα δυστυχῶς ἀφιγμένοι.
Ἀλλ' ἥσυχοι γίγνεσθ', ἵν' ἐκπυθώμεθα,
Πόθεν πάρεισι Σικελὸν Αἰτναῖον πάγον.

γὰρ οὐ Βρόμιος, οὐ χορὸς, οὐ βάκχαι θυρσοφόροι, οὐ τυμπάνων κρότοι παρὰ κρήναισιν ἀειῤῥήτοις, οὐκ οἶνος ἀποστάζων, οὐθ' ἡ Νύσσα μετὰ τῶν Νυμφῶν.

Ἴακχον, ἴακχον ᾠδὴν ἀνέμελπον πρὸς τὴν Ἀφροδίτην, ἣν θηρεύων ἠλώμην κούφως σὺν λευκοπέζαις Βάκχαις. Ἀλλ' ὦ φίλος Βάκχε, ἆρα ποῦ περιπολεῖς μόνος, τὴν κόμην ἀνασείων; ἐγὼ δ' ὁ σὸς οἰκέτης Κύκλωπι θητεύω τῷ μονοφθάλμῳ, ὑπὸ τοιῷδε αἰγείῳ καὶ τρυχηρῷ πλανώμενος χλαινιδίῳ, καὶ τῆς σῆς φιλίας ἀπεσχοινισμένος;

ΣΙ. Σιγὴν ἄγεθ' ὑμεῖς, ὦ παῖδες, καὶ τοὺς οἰκέτας κελεύσατε συνελάσαι τὰ ποίμνια εἰς τὸ πετρηρεφὲς τουτὶ σπήλαιον.

ΧΟ. Χωρεῖθ' ὑμεῖς τοίνυν, ποιεῖτε οὕτως· ἀλλὰ τίνα σπουδὴν ἔχων, πάτερ, κελεύεις ταῦτα;

ΣΙ. Ναῦς γὰρ ἐκείνη Ἑλληνικὴ προσπλεῖ ὡς ἡμᾶς, καὶ ναῦται, ἀγγεῖα ἐπ' ὤμων φέροντες κενὰ, ὥσπερ δὴ βρώσεως καὶ πόσεως χρήζοντες, ἥκουσιν εἰς τὸ ἄντρον τουτὶ, στρατηγοῦ αὐτοῖς ἡγουμένου· Ὦ ταλαίπωροι ξένοι; τίνες ἆρ' εἰσὶν οὗτοι; ἀγνοοῦσιν, ὡς ἔοικε, τὸν δεσπότην Πολύφημον, οὗ ἐς τὴν ὠμοβόρον γνάθον ἥκουσιν ἐμπεσούμενοι· ἀλλ' ἡσύχως νῦν ἔχετε, ὅπως μάθωμεν, πόθεν ὧδε εἰς τὸν τῆς Σικελίας τουτονὶ πάγον τυγχάνουσιν ἀφιγμένοι.

περ αὖ καὶ τὸ, Ὠὴ, μικρὸν κατωτέρω. 86. Κώπης ἄνακτας] ἀντὶ τοῦ κυρίους

ΟΔ. Ξένοι, φράσαιτ' ἂν, νᾶμα ποτάμιον πόθεν
Δίψης ἄκος λάβοιμεν; εἴτε τις θέλει
Βορὰν ὀδῆσαι ναυτίλοις κεχρημένοις;
Τί χρῆμα; Βρομίου πόλιν ἔοιγμεν εἰσβαλεῖν·
Σατύρων πρὸς ἄντροις τόνδ' ὅμιλον εἰσορῶ.
Χαίρειν προσεῖπα πρῶτα τὸν γεραίτατον.
ΣΙ. Χαῖρ', ὦ ξέν', ὅστις δ' εἶ, φράσον πάτραν τὲ σήν.
ΟΔ· Ἴθακος Ὀδυσσεὺς, γῆς Κεφαλλήνων ἄναξ.
ΣΙ. Οἶδ' ἄνδρα κρόταλον, δριμὺ Σισύφου γένος.
ΟΔ. Ἐκεῖνος αὐτός εἰμι· λοιδόρει δὲ μή.
ΣΙ. Πόθεν Σικελίαν τήνδε ναυστολῶν πάρει;
ΟΔ. Ἐξ Ἰλίου γε κἀπὸ Τρωϊκῶν πόνων.
ΣΙ. Πῶς; πορθμὸν οὐκ ᾔδεισθα πατρῴας χθονός;
ΟΔ. Ἀνέμων θύελλαι δεῦρό μ' ἥρπασαν βίᾳ.
ΣΙ. Παπαί! τὸν αὐτὸν δαίμον' ἐξαντλεῖς ἐμοί.
ΟΔ. Ἦ καὶ σὺ δεῦρο πρὸς βίαν ἀπεστάλης;
ΣΙ. Λῃστὰς διώκων. οἱ Βρόμιον ἀνήρπασαν.
ΟΔ. Τίς δ' ἥδε χώρα, καὶ τίνες ναίουσί νιν;
ΣΙ. Αἰτναῖος ὄχθος Σικελίας ὑπέρτατος.
ΟΔ. Τείχη δὲ ποῦ 'στι καὶ πόλεως πυργώματα;
ΣΙ. Οὐκ εἴσ'· ἔρημοι πρῶνες ἀνθρώπων, ξένε.
ΟΔ. Τίνες δ' ἔχουσι γαῖαν; ἢ θηρῶν γένος;
ΣΙ. Κύκλωπες ἄντρ' ἔχοντες, οὐ στέγας δόμων.
ΟΔ. Τίνος κλύοντες; ἢ δεδήμευται κράτος;

---

τῆς κώπης ἁπλῶς. 99. Ἔοιγμεν] ἐκ συγκοπῆς τοῦ ἐοίκαμεν· συχνὸν τοῦτο τῷ ποιητῇ. 104. Σισύφου] συχνὸν τοῦτ' Ὀδυσσεῖ ἐξονειδίζεται παρὰ τοῦ ποιητοῦ· ἴδε Ἰφιγ. Αὐλ. στίχ. 524. καὶ 1362. καὶ Μήδ. στίχ. 405. καὶ 1331.

ΟΔ. Ὦ ξένοι, ἄγετε δείξαθ' ἡμῖν, ὅθεν ἀρδευσαίμεθα· τοῦθ' ὅπερ ἴαμα ἐστι δίψης· καὶ εἴτις ὑμῶν ἐθέλοι δοῦναι ἡμῖν πρίασθαι τἀπιτήδεια ναύταις οὖσι, καὶ δεομένοις τούτων· ἀλλὰ τὶ τοῦθ' ὁρῶ, εἰς τὴν τοῦ Βάκχου πόλιν ἐοίκαμεν εἰσεληλυθέναι. πολὺ γὰρ χρῆμα Σατύρων πάρεστι πρὸς τῷ ἄντρῳ· καὶ μὴν χαίρειν κελεύω σε πρῶτον τὸν πρεσβύτερον.

ΣΙ. Χαῖρε καὶ σύγ' ὦ ξένε· ἀλλὰ δεῦρ' εἰπὲ ἡμῖν πρῶτον τὶς καὶ ποδαπὸς ὢν τυγχάνεις;

ΟΔ. Ὀδυσσεὺς ὁ ἐκ τῆς Ἰθάκης Κεφαλλήνων βασιλεύς.

ΣΙ. Οἶδ' ἀκούσας τὸν ἄνδρα, λῆρόν τινα καὶ δριμὺν ἐκ Σισίφου ἐκείνου τὸ γένος ἕλκοντα.

ΟΔ. Ἐκεῖνον ὁρᾷς αὐτόν· λοιδορεῖν δ' οὐ χρή.

ΣΙ. Πόθεν δὲ πάρει ὧδε εἰς Σικελίαν;

ΟΔ. Ἐκ Τροίας αὐτῆς καὶ τῶν ἐκεῖ ἀγώνων.

ΣΙ. Πῶς οὖν; μῶν οὐκ οἶδας τὴν ἄγουσαν εἰς Ἰθάκην;

ΟΔ. Πνεύματι βιαίῳ ἀπηνέχθημεν ὧδε.

ΣΙ. Φεῦ, ταὐτάμοι καὶ αὐτὸς δοκεῖς πεπονθέναι.

ΟΔ. Τί δή; μῶν καὶ σὺ βίᾳ ἀπηνέχθης ἐνταῦθα;

ΣΙ. Πάντως, λῃστὰς διώκων, συλλαβόντας τὸν βάκχον.

ΟΔ. Τίς δ' ἡ χώρα αὕτη, καὶ τίνες αὐτὴν οἰκοῦσι;

ΣΙ. Αἴτνη, τὸ ἐν Σικελίᾳ ὑψηλότερον ὄρος.

ΟΔ. Ποῦ δὲ ἡ πόλις ἐστὶ τῶν κατοικούντων;

ΣΙ. Οὐδαμοῦ· ὄρη γὰρ ταῦτα ἔρημα ἀνθρώπων.

ΟΔ. Τίνες οὖν κακοικοῦσιν, ἢ μόνα τὰ θηρία;

ΣΙ. Κύκλωπες ἐν ἄντροις τούτοις διαιτῶνται;

ΟΔ. Τῷ δὲ ὑπακούοντες, ἢ δημοκρατοῦνται;

ΣΙ. Νομάδες· ἀκούει δ' οὐδὲν οὐδεὶς οὐδενός.
ΟΔ. Σπείρουσι δ', ἢ τῷ ζῶσι, Δήμητρος στάχυν;
ΣΙ. Γάλακτι καὶ τυροῖσι καὶ μήλων βορᾷ·
ΟΔ. Βρομίου δὲ πῶμ' ἔχουσιν, ἀμπέλου ῥοάς;
ΣΙ. Ἥκιστα· τοιγὰρ ἄχαριν οἰκοῦσι χθόνα.
ΟΔ. φιλόξενοι δὲ, χῴσιοι περὶ ξένους;
ΣΙ. Γλυκύτατα φασὶ τὰ κρέα τοὺς ξένους φορεῖν.
ΟΔ. Τί φής; βορᾷ χαίρουσιν ἀνθρωποκτόνῳ;
ΣΙ. Οὐδεὶς μολὼν δεῦρ', ὅστις οὐ κατεσφάγη.
ΟΔ. Αὐτὸς δὲ Κύκλωψ ποῦ 'στιν; ἢ δόμων ἔσω;
ΣΙ. Φροῦδος πρὸς Αἴτνῃ, θῆρας ἰχνεύων κυσίν.
ΟΔ. Οἶσθ' οὖν ὃ δράσεις, ὡς ἀπαίρωμεν χθονός;
ΣΙ. Οὐκ οἶδ', Ὀδυσσεῦ· πᾶν δέ σοι δρῴημεν ἄν.
ΟΔ. Ὄδησον ἡμῖν σῖτον· οὗ σπανίζομεν.
ΣΙ. Οὐκ ἔστιν, ὥσπερ εἶπον, ἄλλο, πλὴν κρέας.
ΟΔ. Ἀλλ' ἡδὺ λιμοῦ καὶ τόδε σχετήριον.
ΣΙ. Καὶ τυρὸς ὀπίας ἐστὶ καὶ βοὸς γάλα.
ΟΔ. Ἐκφέρετε· φῶς γὰρ ἐμπολήμασιν πρέπει.
ΣΙ. Σὺ δ' ἀντιδώσεις, εἰπέ μοι, χρυσὸν πόσον;
ΟΔ. Οὐ χρυσὸν ἀλλὰ πῶμα Διονύσου φέρω.
ΣΙ. Ὦ φίλτατ' εἰπὼν, οὗ σπανίζομεν πάλαι.
ΟΔ. Καὶ μὴν Μάρων μοι πῶμ' ἔδωκε, παῖς θεοῦ.
ΣΙ. Ὅν ἐξέθρεψα ταῖσδ' ἐγώ ποτ' ἀγκάλαις;

---

131. Οἶσθ' οὖν, ὃ δράσεις] εἰκότως, Δρᾶσον, ἔγραψεν Εὐριπίδης· πολλαχοῦ γὰρ οὕτως ἐχρήσατο τῷ παραλόγῳ τούτῳ. ἴδε Ἰφιγ. Αὐλ. στίχ. 731.— 136. Τυρὸς ὀπίας] δριμὺς τυρὸς τῷ ἐκ τῆς συκῆς ὀπῷ πεπηγμένος. 141. Μά-

ΣΙ. Νομάδες εἰσὶ, κοὐδεὶς ἑτέρου κατακούει.
ΟΔ. Πότερον, ἐκ γεωργίας, ἢ ἄλλον ζῶσι βίον;
ΣΙ. Γάλα καὶ τυρὸς καὶ κρέας αὐτοὺς τρέφει.
ΟΔ. Οἶνος δ' αὐτοῖς ἐστὶ τὸ πῶμα τοῦ βρομίου;
ΣΙ. Οὔμενουν· ἄχαρις ἡ γῆ αὐτοῖς πρὸς τοῦτο.
ΟΔ. Ποῖοι δέ εἰσι περὶ φιλοξενίαν;
ΣΙ. Ὡς ἥδιστα εἶναι τὰ τῶν ξένων φασὶ κρέα.
ΟΔ. Τί φῄς; ἀνθρωποφάγους αὐτοὺς αὐτὸς φῂς εἶναι.
ΣΙ. Οὐδεὶς γὰρ εἰσῆλθεν, ὅστις οὐ κατεβρώχθη.
ΟΔ. Ποῦ δ' ἐστι Κύκλωψ, ἢ ἔνδον τοῦ σπηλαίου;
ΣΙ. Ἐξῆλθεν εἰς τὴν Αἴτνην σὺν ταῖς κυσὶ πρὸς θήραν.
ΟΔ. Οἶσθ' οὖν ὃ δράσεις; δεῖ γὰρ ἡμᾶς ἀπάραι.
ΣΙ. Κέλευε μόνον· ἕτοιμος γὰρ ποιεῖν ὅ,τι βούλῃ.
ΟΔ. Σῖτα δὸς ἡμῖν, ὧν πολλὴ ἡμῖν χρεία.
ΣΙ. Οὐδὲν ἡμῖν τοιοῦτον πλέον ἢ κρέας μόνον.
ΟΔ. Ἀλλὰ καὶ τοῦτ' ἔχει λιμοῦ οὐχ ἧττον θεραπείαν.
ΣΙ. Καὶ τυρὸς ὀπίας, καὶ βόϊόν ἐστι γάλα.
ΟΔ. Ἐκφέρετ' ἐς τὸ φῶς, ἔνθ' ὁρᾶν ἐστιν ὅ,τι εἴη..
ΣΙ. Σύ δε πόσου χρυσοῦ πρίασθαι ταῦτα ἔχεις;
ΟΔ. Χρυσὸς μὲν οὒ, οἶνος δὲ πάρεστί μοι.
ΣΙ. Τί φῄς; ὦ ἥδιστον πῶμα, οὗ στερούμεθα πάλαι;
ΟΔ. Μάρων δ' ὁ Διονύσου τοῦτό ποτε δέδωκέ μοι.
ΣΙ. Ὃς ταῖς ἐμαῖς ἀγκάλαις ἐτράφη πάλαι;

---

ρων] ἀναχθεὶς ἐκ Τροίας Ὀδυσσεὺς, κατέσχεν εἰς Κίκωνας· ἔνθα Μάρων, ἱερεὺς Ἀπόλλωνος ἐξένισεν αὐτὸν, οἶνον δούς· καὶ Ὅμηρος, Ὀδ. Θ. στίχ. 196.

» . . . Ἀτὰρ αἴγεον ἀσκὸν ἔχον μέλανος οἴνοιο
» Ἡδέως, ὅν μοι ἔδωκε Μάρων Εὐάνθεος υἱός.

Ἦν δὲ κατὰ τὸν μῦθον ὁ Εὐάνθης παῖς Διονύσου ἐξ Ἀριάδνης· ὥστε τὸ Παῖς θεοῦ ἐνταῦθα τὸ οἰωνὸς τοῦ θεοῦ βούλεται λέγειν, εἰμὴ παρὰ τῷ ποιητῇ ὁ αὐ-

ΔΗΜΟ

ΟΔ. Ὁ Βακχίου παῖς, ὡς σαφέστερον μάθῃς.
ΣΙ. Ἐν σέλμασιν νεώς ἐστιν, ἢ φέρεις σύ νιν;
ΟΔ. Ὅδ' ἀσκὸς, ὃς κεύθει νιν, ὡς ὁρᾷς γέρον.
ΣΙ. Οὗτος μὲν οὐδ' ἂν τὴν γνάθον πλήσειέ μου.
ΟΔ. Ναὶ δὶς τόσον πῶμ', ὅσον ἂν ἐξ' ἀσκοῦ ῥυῇ.
ΣΙ. Καλήν γε κρήνην εἶπας, ἐδεῖξαν δ' ἐμοί.
ΟΔ. Βούλει σε γεύσω πρῶτον ἄκρατον μέθυ;
ΣΙ. Δίκαιον· ἦ γὰρ γεῦμα τὴν ὠνὴν καλεῖ.
ΟΔ. Καὶ μὴν ἐφέλκω καὶ ποτῆρ' ἀσκοῦ μέτα.
ΣΙ. Φέρ' ἐκκάναξον, ὡς ἀναμνησθῶ πιών.
ΟΔ. Ἰδού.
ΣΙ. Παπαιὰξ, ὡς καλὴν ὀσμὴν ἔχει!
ΟΔ. Εἶδες γὰρ αὐτήν;
ΣΙ. Οὐ μὰ Δί', ἀλλ' ὀσφαίνομαι,
ΟΔ. Γεῦσαί νυν, ὡς μὴ λόγῳ 'παινῇς μόνον.
ΣΙ. Βαβαί! χορεῦσαι παρακαλεῖ μ' ὁ Βάκχιος.
Ἆ, ἆ, ἆ!
ΟΔ. Μῶν τὸν λάρυγγα διεκάναξέ σου καλῶς;
ΣΙ. Ὥστ' εἰς ἄκρους γε τοὺς ὄνυχας ἀφίκετο.
ΟΔ. Πρὸς τῷδε μέντοι καὶ νόμισμα δώσωμεν.
ΣΙ. Χάλα τὸν ἀσκὸν μόνον· ἔα τὸ χρυσίον.
ΟΔ. Ἐκφέρετε νῦν τυρεύματ', ἢ μήλων τόκον.
ΣΙ. Δράσω τάδ', ὀλίγον φροντίσας γε δεσποτῶν.
Ὡς ἐκπιεῖν ἂν κύλικα βουλοίμην μίαν,
Πάντων Κυκλώπων ἀντιδοὺς βοσκήματα,

---

τός ἐστιν ὁ Εὐάνθης τῷ Διονύσῳ. 150. Ἡ γὰρ γεῦμα] ἡ διὰ τῆς γεύσεως ἀπόπειρα. 152. Ἐκκάναξον] ἔγχεον· συσσημαίνει δὲ τοῦτο καὶ τὸν ψόφον τὸν

ΟΔ. Αὐτὸς δὴ οὗτος, ὡς σαφέστερον μάθῃς.

ΣΙ. Ποῦ δ᾽ ἐστιν; ἢ φέρεις αὐτὸν ὧδε;

ΟΔ. Καὶ μὴν ὁ ἀσκὸς οὗτος αὐτὸν ἐμπεριέχει.

ΣΙ. Ἀλλ᾽ οὗτος οὐκ ἂν διάναι οὐδὲ τὴν ὑπερῴαν·

ΟΔ. Πρόσεστι καὶ δὶς τοσοῦτον, ἢ ὅσον ἐστὶν ἔνδον.

ΣΙ. Ὡς καλὴ ἡ κρήνη, κἀμοί γ᾽ ἡδυῖα σφόδρα.

ΟΔ. Βούλει δὲ γεῦμα πρῶτον λαβεῖν τούτου;

ΣΙ. Πῶς γὰρ ἄν, μὴ γευσάμενος, ὠνοίμην;

ΟΔ. Μετὰ γὰρ τοῦ ἀσκοῦ περιφέρω καὶ ποτῆρα.

ΣΙ. Φέρε ἔγχεον, ἵν᾽ ἀναμνησθῶ τὸ πῶμα.

ΟΔ. Ἰδοὺ ἐγχέω.

ΣΙ. Παπαίαξ, ὡς καλὴν ὀσμὴν ἔχει.

ΟΔ. Ἰδὼν αὐτὴν, ἢ ἄλλως τοῦτο οἶσθα;

ΣΙ. Μὰ Δι᾽ οὔ, ἀλλ᾽ ὀσφρηνάμενος τούτου.

ΟΔ. Λαβὼν δὲ γεῦσαι, ἵν᾽ ἐπαινῇς ἐκ πείρας.

ΣΙ. Βαβαί· ὅπως ὁ Βάκχος προτρέπει μοι χωρεῦσαι· ἆ, ἆ, ἆ.

ΟΔ. Ἆρα καλῶς σοι τὸν λάρυγγα διῆλθε;

ΣΙ. Ὥστ᾽ ἐπ᾽ ἄκρους τοὺς ὄνυχας χορῆσαι.

ΟΔ. Ἀλλὰ πρὸς τούτῳ καὶ νόμισμά σοι ἔσται.

ΣΙ. Λῦσον μοι ὡς τάχος τὸν ἀσκὸν, χαίρειν εἰπὼν ἐκείνῳ.

ΟΔ. Οὐκοῦν ἐκφέρετε τυρούς τε καὶ ἀρνία.

ΣΙ. Ἐξοίσω προθύμως αὐτίκα μάλα, μικρὰ φροντίσας τοῦ δεσπότου· βουλοίμην γὰρ ἂν μίαν κύλικα μόνην πάντων τῶν Κυκλωπείων ἀνταλλάξασθαι βοσκημάτων· εἶθ᾽ οὐ-

---

γιγνόμενον ἐν τῷ ἀφρῷ· τὸ δὲ, Παπαιὰξ, θαυμαστικὸν ἐν δηλώσει ἡδονῆς.
157. Ἆ, ἆ, ἆ] εὐφροσύνης τοῦτο δηλωτικόν· ἐν ἄλλοις δὲ κεῖται, αἶ, αἶ, αἶ· οὐ καλῶς· τὸ δὲ διεκάναξε, τὸ σὺν ψόφῳ πως κατελθεῖν ἐν τῷ λάρυγγι δοκεῖ

Ῥίψαι τ' ἐς ἅλμην λευκάδος πέτρας ἄπο,
Ἅπαξ μεθυσθεὶς, καταβαλών τε τὰς ὀρφῦς.
Ὡς, ὅς γε πίνων μὴ γέγηθε, μαίνεται.
Ἵν' ἐστὶ τουτὶ τοὖρθὸν ἐξανιστάναι,
Μαστοῦ τε δραγμὸς, καὶ παρεσκευασμένου
Ψαῦσαι χεροῖν λειμῶνος, ὀρχηστύς θ' ἅμα
Κακῶν τε λῆστις· εἶτ' ἐγὼ οὐ κυνήσομαι
Τοιόνδε πῶμα, τὴν Κύκλωπος ἀμαθίαν
Κλαίειν κελεύων καὶ τὸν ὀφθαλμὸν μέσον;
ΧΟ. Ἄκου', Ὀδυσσεῦ, διαλαλήσομέν τί σοι.
ΟΔ. Καὶ μὴν φίλοι γε προσφέρεσθε πρὸς φίλον.
ΧΟ. Ἐλάβετε Τροίαν τὴν Ἑλένην τε χειρίαν;
ΟΔ. Καὶ πάντα γ' οἶκον Πριαμιδῶν ἐπέρσαμεν.
ΧΟ. Οὐκοῦν, ἐπειδὴ τὴν νεᾶνιν εἵλετε,
Ἅπαντες αὐνὴν διεκροτήσατ' ἐν μέρει,
Ἐπεί γε πολλοῖς ἥδεται γαμουμένη;
Τὴν προδότιν, ἣ τοὺς θυλάκους τοὺς ποικίλους
Περὶ τοῖν σκελοῖν ἰδοῦσα καὶ τὸν χρύσεον
Κλοιὸν φοροῦντα περὶ μέσον τὸν αὐχένα,
Ἐξεπτοήθη, Μενέλεων ἀνθρώπιον
Λῷστον λιποῦσα. μηδαμοῦ γένος ποτὲ
Φῦναι γυναικῶν ὤφελ', εἰ μή μοι μόνῳ
ΣΙ. Ἰδοὺ τάδ' ὑμῖν ποιμένων βοσκήματα,

---

βούλεσθαι λέγειν. 165. Λευκάδος πέτρας] ἔοικε δέ πως αἰνίττεσθαι τὸ ἐν τῇ Λευκάδι τῇ νήσῳ ἀκρωτήριον, ἀφ' οὗ οἱ δυσέρωτες ἔρριπτον ἑαυτοὺς εἰς τὴν θάλασσαν· ὃ παθεῖν φασὶ καὶ τὴν Σαπφώ· ἦσαν δὲ κάτω οἱ σώζοντες αὐτοὺς ἀναλαμβάνοντες· καὶ οἱ διασωζόμενοι ἀπηλλάττοντο καὶ τοῦ ἔρωτος.

τω μεθυσθεὶς, καὶ τὰς ὀφρῦς κατασπάσας, ἀποῤῥίψαι ἐμαυτὸν ἀπὸ τῆς λευκῆς πέτρας ἐπὶ κεφαλὴν κατὰ τῆς θαλάσσης· ὃς γὰρ πίνων οὐ γάννυται, οὗτος ἔμοιγε δοκεῖ μαίνεσθαι· ἐν τούτῳ γὰρ ἔξεστι τουτὶ ὀρθὸν ἐκτείνειν, μαστῶν θ' ἅψεσθαι, καὶ λειμῶνος παρεσκευασμένου, ὀρχεῖσθαί τε καὶ κακῶν λήθην ἔχειν· πῶς οὖν τοιοῦτον ἔγωγ' οὐ προσκυνήσω πῶμα, οἰμώζειν τὸν ὀφθαλμὸν καὶ τὴν σκαιότητα τοῦ Κύκλωπος κελεύσας;

ΧΟ. Ἄκου', Ὀδυσσεῦ· βούλομαι γάρ τι ἐρέσθαι.

ΟΔ. Δεῖ γὰρ φίλους προσφέρεσθαι τοῖς φίλοις.

ΧΟ. Ἐκρατήσατε Τροίας, καὶ αὐτῆς τῆς Ἑλένης;

ΟΔ. Καὶ δὴ καὶ πάσης τῆς Πριάμου οἰκίας.

ΧΟ. Ἐπεὶ δ' ἐκρατήσατε τῆς νεάνιδος ἐκείνης, πότερον πάντες ἐχρήσασθε αὐτῇ ἐν μέρει πρὸς ὁμιλίαν; καὶ γὰρ ἔδειξε πολλοῖς ἐφιεμένη συγγενέσθαι· τὴν προδότιν φημὶ ἐκείνην· ἣ ἅμ' ἰδοῦσα τὰς ποικίλας ἀναξυρίδας ἐν τοῖν σκελοῖν, καὶ τὸν Φρύγ' αὐτὸν χρυσοῦν φέροντα κλοιὸν ἐπὶ τοῦ τραχήλου, κἀντεῦθεν ἐξεστηκυῖα ὅλως, κατέλιπε Μενέλαον ἀνθρώπιον χρηστόν· ὤφειλε δὲ μηδαμοῦ γένος ἐκφύναι γυναικῶν, πλὴν ἐμοὶ μόνῳ.

ΣΙ. Ἰδού σοι, ἄναξ Ὀδυσσεῦ, τὰ θρέμματα ταῦτα, ἄρνες,

---

169. Ἴν' ἐστι] ἄσεμνα ταῦτα καὶ Σατυρικὰ, καίτοι εὐφημότερον ἐκφράσαντος τοῦ ποιητοῦ. 172. Κυνήσομαι] ἐν ἄλλοις ὠνήσομαι. 175. Διαλαλήσομεν] τοῦ Σιληνοῦ εἰσελθόντος εἰς τὸ ἄντρον, ὡς ἐκκομίσοντος τὰ ὤνια, διαλέγονται Σάτυροι πρὸς Ὀδυσσέα ἀμαθῶς καὶ ὡς Σάτυροι· τοιοῦτον γὰρ τὸ Διαλαλῆσαι.

Ἄναξ Ὀδυσεῦ, μηκάδων ἀρνῶν τροφαὶ,
Πηκτοῦ γάλακτός τ' οὐ σπάνια τυρεύματα.
Φέρεσθε, χωρεῖθ' ὡς τάχιστ' ἄντρων ἄπο,
Βότρυος ἐμοὶ πῶμ' ἀντιδόντες εὐΐου.

ΟΔ. Οἴ μοι! Κύκλωψ ὅδ' ἔρχεται· τί δράσομεν;
Ἀπολώλαμεν γὰρ, ὦ γέρον· ποῖ χρὴ φυγεῖν;

ΣΙ. Ἔσω πέτρας τῆσδ', οὗπερ ἂν λάθοιτέ γε.

ΟΔ. Δεινὸν τόδ' εἶπας, ἀρκύων μολεῖν ἔσω.

ΣΙ. Οὐ δεινόν· εἰσὶ, καταφυγαὶ πολλαὶ πέτρας.

ΟΔ. Οὐ δῆτ' ἐπεί τἂν μεγάλα γ' ἡ Τροία στένοι,
Εἰ φευξόμεσθ' ἕν' ἄνδρα. μυρίον δ' ὄχλον
Φρυγῶν ὑπέστην πολλάκις σὺν ἀσπίδι.
Ἀλλ' εἰ θανεῖν δεῖ, κατθανούμεθ' εὐγενῶς,
Ἢ ζῶντες αἶνον τὸν πάρος γ' εὖ σώσομεν.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΚΥΚΛΩΨ, ΣΙΛΗΝΟΣ, ΟΔΥΣΣΕΥΣ, ΧΟΡΟΣ.

ΚΥ. Ἄνεχε, πάρεχε, τί τάδε; τίς ἡ ῥαθυμία;
Τί βακχιάζετ'; οὐχὶ Διόνυσος τάδε,
Οὐ κρόταλα χαλκοῦ, τυμπάνων τ' ἀράγματα.
Πῶς μοι κατ' ἄντρα νεόγονα βλαστήματα;
Ἢ πρός γε μαστοῖς εἰσὶ χὐπὸ μητέρων

103. Ἄνεχε, πάρεχε] ἴδε Τρωάσι. 310.—208. Σχοινίοις ἐν τεύχεσι] τεύχη ἐκ σχοίνου εἶεν ἂν οἱ κάλαθοι, ὁ φορμὸς, ἀλλὰ πῶς ἂν εἴη τὰ τοιαῦτα στέγειν·

πιμελεῖς, καὶ ἄφθονον τετυρευμένον γάλα· λαβόντες οὖν χωρεῖτε ὡς τάχιστα ἐντεῦθεν, μεταδόντες μοι ἀντὶ τούτων πώματος βακχείου.

ΟΔ. Οἴμοι! Κύκλωψ ὅδε πρόσεισι· τί ποιῶμεν; ἀπολώλαμεν· ποῖ φύγωμεν, ὦ γέρον;

ΣΙ. Μάθοιτ' ἂν, ἐς τήνδε τὴν πέτραν καταδύντες.

ΟΔ. Δεινόν γε φὴς τοῦθ' ὡς ἐν ἄρκυσι ληφθῆναι.

ΣΙ. Οὔμενουν· καταφυγαὶ γὰρ πολλαί εἰσιν ἔνδον.

ΟΔ. Οὐ δράσω ταῦτα· ἀνάξια γὰρ ἂν πάθοι Τροία, εἰ ὁ μυρίους Φρυγῶν ὑποστὰς ἐν ταῖς μάχαις, ἕνα τοῦτον φευξοῦμαι ἄνδρα· δεῖ γὰρ δὴ ἢ ζῶντας τὸ πρόσθεν κλέος σώζειν, ἢ τελευτῶντας εὐκλεῶς ἀποθνήσκειν.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΚΥΚΛΩΨ, ΣΙΛΗΝΟΣ, ΟΔΥΣΣΕΥΣ, ΧΟΡΟΣ.

ΚΥ. Τί τοῦθ' ὁρῶ; μετάστηθι, ἐκχώρει· τίς ἡ ῥαθυμία καὶ διατριβὴ αὕτη; βακχεύετε; ἀλλ' οὐ Διόνυσος τάδε, οὐ κρότου χαλκοῦ, καὶ κτύποι τυμπάνων ᾧδε· πῶς ἔχει μοι τὰ νεογνὰ βοσκήματα ἐν ἄντρῳ; ἆρ' ὑπὸ μαστοῖς εἰσὶν ἤδη, καὶ παρακολουθοῦντα ταῖς μητράσι

---

τὸ γάλα, ὥςε μὴ διαῤῥεῖν, διάτρητα ὄντα; ἴσως φησὶ τὸ πεπηγὸς γάλα, ἐνετίθουν τοῖς τοιούτοις, διηθοῦντες τὸν ὀῤῥόν· διὸ καὶ πλήρωμά φησι τυρῶν, οἷον τύρευμα. ὥστε καὶ τὸ ἐξημελγμένον βούλεσθαι δηλοῦν τὸ ἐστραγμένον, διηθημένον, διϋλισμένον, ἐσακκελισμένον· καὶ ἐν τῇ συνηθείᾳ, ἐστραγγισμένον.

Πλευρὰς τρέχουσι, σχοινίνοις τ' ἐν τεύχεσι
Πλήρωμα τυρῶν ἐστὶν ἐξημελγμένον;
Τί φατέ, τί λέγετε; τάχα τις ὑμῶν τῷ ξύλῳ
Δάκρυα μεθήσει· βλέπετ' ἄνω, καί μὴ κάτω.

ΧΟ. Ἰδοὺ, πρὸς αὐτὸν τὸν Δί' ἀνακεκύφαμεν,
Καὶ τἄστρα καὶ τὸν Ὠρίωνα δέρκομαι.

ΚΥ. Ἄριστόν ἐστιν εὖ παρεσκευασμένον;

ΧΟ. Πάρεστιν, ὁ φάρυγξ εὐτρεπὴς ἔστω μόνον.

ΚΥ. Ἦ καὶ γάλακτός εἰσι κρατῆρες πλέῳ;

ΧΟ. Ὥστ' ἐκπιεῖν γέ σ', ἣν θέλῃς, ὅλον πίθον.

ΚΥ. Μήλειον, ἢ βόειον, ἢ μεμιγμένον;

ΧΟ. Ὃν ἂν θέλῃς σύ· μὴ 'μὲ καταπίῃς μόνον.

ΚΥ. Ἥκιστ'· ἐπεί γ' ἂν ἐν μέσῃ τῇ γαστέρι
Πηδῶντες ἀπολέσαιτ' ἂν ὑπὸ τῶν σχημάτων.—
Ἔα, τίν' ὄχλον τόνδ' ὁρῶ πρὸς αὐλίοις;
Λῃσταί τινες κατέσχον, ἢ κλῶπες, χθόνα.
Ὁρῶ γέ τοι τούσδ' ἄρνας ἐξ ἄντρων ἐμῶν
Στρεπταῖς λύγοισι σῶμα συμπεπλεγμένους,
Τεύχη τε τυρῶν συμμιγῆ, γέροντά τε
Πληγαῖς πρόσωπον φαλακρὸν ἐξῳδηκότα.

ΣΙ. Ὤ μοι, πυρέσσω συγκεκομμένος τάλας.

ΚΥ. Ὑπὸ τοῦ; τίς ἐς σὸν κρᾶτ' ἐπύκτευσεν, γέρον;

ΣΙ. Ὑπὸ τῶνδε, Κύκλωψ, ὅτι τὰ σ' οὐκ εἴων φέρειν.

ΚΥ. Οὐκ ἦσαν ὄντα θεόν με, καὶ θεῶν ἄπο;

---

215. Φάρυγξ] ἀμαθίαν τοῦ Σατύρου τοῦτο κατηγορεῖ προφανῶς, ἀντὶ τοῦ Λάρυγξ ἐκληφθέν· φάρυγξ γὰρ ἡ τραχεῖα, δι' ἧς πνέομεν. 221. Ὑπὸ τῶν σχημάτων] τῶν ποικίλων ἐκπηδημάτων. 227. Ἐξῳδηκότα] Σιληνὸς φοβηθεὶς τὸ

σκιρτῶσι; τὸ δὲ γάλα ἐξημέλξατε ἐν τοῖς κισσυβίοις; τί φατέ; τί ποθ' οὕτως ἐστὲ σκυθρωποί; αὐτίκα μάλ' οἰμώξετε, τῷ ξύλῳ τούτῳ καταγέντες τὸ κρανίον· ὀρθοῦτε τὰς κεφαλὰς, βλέπετ' ἄνω.

ΧΟ. Ἰδοὺ ἀνακύπτομεν πρὸς αὐτὸν τὸν Δία, τόντ' Ὠρίωνα καὶ τὰ ἄστρα ὁρῶντες.

ΚΥ. Ἄριστόν ἐστιν ἔνδον παρεσκευασμένον;

ΧΟ. Καὶ πολύ γε, εἴγ' ὁ φάρυγξ εὐτρεπὴς εἴη μόνον.

ΚΥ. Τὰ δὲ κισσύβια πεπλήρωται γάλακτος;

ΧΟ. Ὥσθ' ὅλον, εἰ βούλει, πίθον ἐκροφῆσαι.

ΚΥ. Μήλειον, ἢ βόειον, ἢ ἐξ ἀμφοῖν τὸ κρᾶμα;

ΧΟ. Πάντ' ἔχεις πιεῖν· ἐμοῦ δὲ φείδου μόνου.

ΚΥ. Οὐκ ἂν βουλοίμην τοῦτο· γενόμενοι γὰρ ἐν μέσῃ τῇ γαστρὶ, ἀπολέσετέ με παντοίως λακτίζοντες τοῖς χοροῖς· ἀλλὰ μεταξὺ λόγων τί τοῦθ' ὁρῶ, ὄχλον ὅλον λῃστῶν ἐν τῷ σπηλαίῳ; τίνες οὗτοι κλέπται κατέσχον ἡμῶν τὴν χώραν; ὁρῶ γὰρ πρὸς τούτοις καὶ ἄρνας τούτους λυγοῖς στρεπτοῖς δεσμώτας, ἀγγεῖα τε ταῦτα πλήρη τυρῶν, καὶ γέροντα τόνδε, φαλακρὸν τὸ μέτωπον ὡς ἐκ τῶν πληγῶν ἐξῳδηκότα.

ΣΙ. Οἴμοι, πυρέσσω ὁ τάλας, πληγεὶς τὸ κρανίον.

ΚΥ. Ὑπὸ τίνος, ὦ γέρον, τοιαῦτα τυγχάνεις πάσχων;

ΣΙ. Ὑπὸ τούτων δὴ, ὅτι οὐκ εἴων αὐτοὺς τὰ σὰ ἐκφέρειν.

ΚΥ. Ἆρ' ἠγνόουν ἐμὲ ἐκ θεῶν θεὸν ὄντα;

---

πεπραγμένον, προσποιεῖται τετύφθαι ὑπὸ τῶν ἀμφὶ τὸν Ὀδυσσέα. 231. Οὐκ ᾖσαν] ἐκ συγκοπῆς τοῦ ᾔδεσαν· ἐν ἄλλοις δὲ κεῖται, ἴσαν. 241. Ἀληθές;] οὕτω

ΣΙ. Ἔλεγον ἐγὼ τάδ'· οἱ δ' ἐφόρουν τὰ χρήματα,
Καὶ τόν γε τυρὸν, οὐκ ἐῶντος, ἤσθιον,
Τούς τ' ἄρνας ἐξεφοροῦντο· δήσαντες δέ σε
Κλῳῷ τριπήχει, κατὰ τὸν ὀφθαλμὸν μέσον
Τὰ σπλάγχν' ἔφασκον ἐξαμήσεσθαι βίᾳ,
Μάςιγί τ' εὖ τὸ νῶτον ἀπολέψειν σέθεν,
Κἄπειτα συνδήσαντες, ἐς θάδώλια
Τῆς νηὸς ἐμβαλόντες ἀποδώσειν τινὶ
Πέτρους μοχλεύειν, ἢ 'ς μυλῶνα καταβαλεῖν.
ΚΥ. Ἄληθες; οὔκουν κοπίδας, ὡς τάχιστ' ἰὼν,
Θήξεις μαχαίρας, καὶ μέγαν φάκελον ξύλων
Ἐπιθεὶς ἀνάψεις; ὡς σφαγέντες αὐτίκα,
Πλήσουσι νηδὺν τὴν ἐμὴν ἀπ' ἄνθρακος
Θερμὴν ἔδοντος δαῖτα τῷ κρεανόμῳ,
Τὰ δ' ἐκ λέβητος ἑφθὰ καὶ τετηκότα·
Ὡς ἔκπλεώς γε δαιτός εἰμ' ὀρεσκόου·
Ἅλις λεόντων ἐστί μοι θοινωμένῳ,
Ἐλάφων τε, χρόνιος δ' εἴμ' ἀπ' ἀνθρώπων βορᾶς.
ΣΙ. Τὰ καινά γ' ἐκ τῶν ἠθάδων, ὦ δέσποτα,
Ἡδίον' ἐστίν. οὐ γὰρ οὖν νεωστί γε
Ἄλλοι πρὸς ἄντρα ταῦτ' ἀφίκοντο ξένοι.
ΟΔ. Κύκλωψ, ἄκουσον ἐν μέρει καὶ τῶν ξένων.
Ἡμεῖς βορᾶς χρῄζοντες ἐμπολὴν λαβεῖν
Σῶν ἆσσον ἄντρων ἤλθομεν νεὼς ἄπο.
Σοὺς δ' ἄρνας ἡμῖν οὗτος ἀντ' οἴνου σκύφου
Ἀπήμπολά τε, κἀδίδου, πιεῖν λαβὼν,
Ἑκὼν ἑκοῦσι· κοὐδέν ἦν τούτων βίᾳ.

ΣΙ. Καὶ τοῦτ' ἀκούοντες παρ' ἐμοῦ, οὐδὲν ἧττον ἐπεβάλλοντο ἐκφορεῖν, τόν τε τυρὸν ἐσθίοντες, καὶ τοὺς ἄρνας ἁρπάζοντες, βίᾳ ἐμοῦ πάντα πράττοντες· σοί τε ἠπείλουν, δήσαντες κλοιῷ τριπήχει, ἐξαιρήσειν τὰ σπλάγχνα κατὰ μέσον τὸν ὀφθαλμὸν, εἶτα καταξανόντες τὰ νῶτα μάστιγι, συνδήσαντές τε, καὶ εἰς τὰ ἑδώλια τῆς νεὼς ἐμβαλόντες κακῶς διατεθειμένον, ἀποδώσειν σε ὁτῳδήποτε πέτρας ἀναμοχλεύειν, ἢ ἐς μύλωνά τινα καταβαλεῖν.

ΚΥ. Ἀληθῆ ταῦτα φής; εἶτ' οὐ φθάνεις θήγων τὰς μαχαίρας, καὶ πῦρ ἀνακαίων, φάκελον ξύλων μέγαν ἐπιθείς; δεῖ γὰρ δὴ σφαγέντας αὐτοὺς ὡς τάχος, τὴν ἐμὴν ἐμπλῆσαι γαστέρα, τὰ μὲν ὀπτὰ ἀπὸ τῶν ἀνθράκων, τὰ δ' αὖ ἑφθὰ καὶ ἐκτετηκότα ἀπὸ λέβητος παραθέντος μοι τοῦ κρεανόμου· ἅλις γάρ μοι θηρείων κρεῶν λεόντων καὶ ἐλάφων, καὶ ταῦτα διὰ χρόνου ἐπιθυμοῦντι τῶν ἀνθρωπίων.

ΣΙ. Ἀληθῶς, ὦ δέσποτα, τῶν συνήθων τὰ σπάνια ἡδίω ἐστὶ πολλῷ· συχνὸς γὰρ χρόνος, ἐξ οὗ ξένοι τινὲς οὐκ ἔτυχον ἐλθόντες ἐνταῦθα.

ΟΔ. Ὦ Κύκλωψ, δὸς ἤδη λόγον ἐν μέρει καὶ τοῖς ξένοις· ἡμεῖς γὰρ τῶν ἐπιτηδείων σπάνιν ἔχοντες, ἤλθομεν δεῦρο ὠνησόμενοι, εἴτι εὕροιμεν· οὗτος δ' ἰδὼν ἡμᾶς οἶνον φέροντας, οἷός τε ἦν ἀπεμπολεῖν πάνθ' ἑκὼν ἑκοῦσι πο-

μᾶλλον ἀντὶ τοῦ, ἀληθὲς, ὀξυτόνου, ὡς κεῖται ἐν ἄλλοις· πρὸς γὰρ τῷ Ἀττικὸν εἶναι καὶ εἰρωνίαν τινὰ ὑπεμφαίνει. 244. Πλήσουσι] ἄμεινον, πλήσωσι· τὸ δε ἑπόμενον διορθοῦσιν ὧδε οἱ ἀρχαῖοι· Θερμὴν διδόντες δαῖτα τοῦ κρεανόμου.

Ἀλλ' οὗτος ὑγιὲς οὐδὲν, ὧν φησιν, λέγει,
Ἐπεὶ κατελήφθη σοῦ λάθρα πωλῶν τὰ σά.
ΣΙ. Ἐγώ; κακῶς γὰρ ἐξόλοι'.
ΟΔ. Εἰ ψεύδομαι.
ΣΙ. Μὰ τὸν Ποσειδῶ τὸν τεκόντα σ', ὦ Κύκλωψ,
Μὰ τὸν μέγαν Τρίτωνα, καὶ τὸν Νηρέα,
Μὰ τὴν Καλυψὼ τάς τε Νηρέως κόρας,
Μά θ' ἱερὰ κύματ', ἰχθύων τε πᾶν γένος,
Ἀπώμοσ', ὦ κάλλιστον, ὦ Κυκλώπιον,
Ὦ δεσποτίσκε, μὴ τὰ σ' ἐξοδᾷν ἐγὼ
Ξένοισι χρήματ', ἢ κακῶς οὗτοι κακοὶ
Οἱ παῖδες ἀπόλοινθ', οὓς μάλιστ' ἐγὼ φιλῶ.
ΧΟ. Αὐτὸς ἔχ'. ἔγωγε τοῖς ξένοις τὰ χρήματα
Περνάντα σ' εἶδον· εἰ δ' ἐγὼ ψευδῆ λέγω,
Ἀπόλοιθ' ὁ πατήρ μου, τοὺς ξένους δὲ μὴ 'δίκει.
ΚΥ. Ψεύδεσθ'· ἔγωγε τῷδε τοῦ Ῥαδαμάνθυος
Πλείω πέποιθα, καὶ δικαιότερον λέγω.
Θέλω δ' ἔρεσθαι· πόθεν ἐπλεύσατ', ὦ ξένοι;
Ποδαποὶ, τίς ὑμᾶς ἐξεπαίδευσεν πόλις;
ΟΔ. Ἰθακήσιοι μὲν τὸ γένος, Ἰλίου δ' ἄπο,
Πέρσαντες ἄστυ, πνεύμασιν θαλασσίοις
Σὴν γαῖαν ἐξωσθέντες ἥκομεν, Κύκλωψ.
ΚΥ. Ἦ τῆς κακίστης οἳ μετήλθεθ' ἁρπαγὰς
Ἑλένης, Σκαμάνδρου γείτον' Ἰλίου πόλιν;

---

266. 'Απώμοσα ... μὴ τὰ σὰ ἐξοδᾷν] διπλῇ τῇ ἀρνήσει χρησάμενος, οὐ καταφάσκει, ἀλλ' ἀποφάσκει ἐξοδᾷν ὁ πανοῦργος Σιληνὸς· τοιοῦτο δέ τι βούλεται καὶ τὸ Μὰ ἀντὶ τοῦ Νή. ὃ ὁ σκαιὸς Κύκλωψ οὐκ ἐπαΐει. 273. Ἔγωγε τοῦδε] γραπτέον Τῷδε ὡς καὶ ἐν ἄλλοις κεῖται.

τῆρος μόνου, μηδενὸς προσάγοντος βίαν· ἀλλ' οὗτός φωραθείςγε ἤδη, λέγει πάντως ψευδῆ.

ΣΙ. Ἐγώ; κακὸς κακῶς ἐξόλοιο σύγ', ὦ μιαρέ.

ΟΔ. Εἴγε ψεύδομαι.

ΣΙ. Μὰ τὸν Ποσειδῶ, ὦ Κύκλωψ, τὸν σὸν φίλον πατέρα· μὰ τὸν Τρίτωνα, καὶ τὸν Νηρέα· μὰ τὴν Καλυψὼ, καὶ τὰς Νηρέως κόρας· μὰ τὰ ἱερὰ κύματα, καὶ πᾶν τὸ γένος τῶν ἰχθίων· ἰδοὺ ἀπώμοσα, ὦ κάλλιστον Κυκλώπιον, ὦ δεσποτίσκε, μὴ ἀπεμπολεῖν τὰ σὰ τοῖς ξένοις τούτοις· εἰ δὲ μὴ, ἀπόλοιντό μοι οἱ παῖδες οὗτοι, οὓς μάλιστα φιλῶ.

ΧΟ. Ἐς κεφαλήν σοι· ἐγὼ γὰρ εώρακά σε πιπράσκοντα τὰ χρήματα τοῖς ξένοις· εἰ δὲ ψεύδομαι, ὦ Κύκλωψ, ἀπόλοιτό μοι ὁ πατὴρ οὑτοσί· μὴ οὖν ἀδίκει τοὺς ξένους μηδὲν ἠδικηκότας.

ΚΥ. Ψεύδεσθε· ἐγὼ δὲ τούτῳ πιστεύω μάλιστα, Ῥα καὶ δαμάνθυος δικαιότερον τίθεμαι. Νῦν δὲ βούλομαι ἕκαστα ἀνιστορῆσαι· εἴπαθ' ἡμεῖς, ὦ ξένοι, ποδαποὶ, καὶ πόθεν τυγχάνετε δεῦρο πεπλευκότες; τίς δὲ πόλις, ἐν ᾗ ἀνετράφητε;

ΟΔ. Ἰθακήσιοι μὲν τὸ γένος ἐσμέν· ἐξελόντες δὲ Τροίαν, ἥκομεν δεῦρο, ἐναντίῳ χρησάμενοι πνεύματι.

ΚΥ. Οἵτινες, ὡς ἔοικε, μετήλθετε Τροίαν τὴν παρὰ τὸν Σκάμανδρον ποταμὸν ἕνεκα τῆς ἁρπαγῆς τῆς κακίστης Ἑλένης.

---

280. Μετήλθετε] πρὸς δύο αἰτιατικὰς ἀττικῶς· μετέρχομαί σε τὴν ἁρπαγὴν τῆς Ἑλένης· διὰ τὴν ἁρπαγήν· ἢ μᾶλλον κατὰ τὸ Ἀπαιτῶ σε χρήματα, καὶ ἀ-

ΟΔ. Οὔτοι, πόνον τὸν δεινὸν ἐξηντληκότες.
ΚΛ. Αἰσχρὸν στράτευμά γ', οἵτινες μιᾶς χάριν
Γυναικὸς ἐξεπλεύσατ' ἐς γαῖαν Φρυγῶν.
ΟΔ. Θεοῦ τὸ πρᾶγμα· μηδέν' αἰτιῶ βροτῶν,
Ἡμεῖς δέ σ', ὦ θεοῦ ποντίου γενναῖε παῖ;
Ἱκετεύομέν τε, καὶ λέγομεν ἐλευθέρως,
Μὴ τλῇς πρὸς ἄντρα σοὺς ἀφιγμένος φίλους
Κτανεῖν, βοράν τε δυσσεβῆ θέσθαι γνάθοις.
Οἳ τὸν σὸν, ὦναξ, πατέρ' ἔχειν νεῶν ἕδρας
Ἱδρυσάμεσθα γῆς ἐν Ἑλλάδος μυχοῖς.
Ἱερός τ' ἄθραυστος Ταινάρου μένει λιμὴν,
Μαλέας τ' ἄκροι κευθμῶνες, ἥ τε Σουνίῳ
Δίας Ἀθάνας σῶς ὑπάργυρος πέτρα,
Γεραίστιοί τε καταφυγαὶ, τά θ' Ἑλλάδος
Δύσφορά γ' ὀνείδη Φρυξὶν οὐκ ἐδώκαμεν.
Ὧν καὶ σὺ κοινοῦ· γῆς γὰρ Ἑλλάδος μυχοὺς
Οἰκεῖς ὑπ' Αἴτνῃ, τῇ πυριστάκτῳ πέτρᾳ.
Νόμοις δὲ θνητοῖς ἐς λόγους ἀποστρέφου,
Ἱκέτας δέχεσθαι ποντίους ἐφθαρμένους,
Ξένιά τε δοῦναι καὶ πέπλοις ἐπαρκέσαι,
Οὐκ ἀμφὶ βουπόροισι πηχθέντας μέλη
Ὀβελοῖσι, νηδὺν καὶ γνάθον πλῆσαι σέθεν.
Ἅλις δὲ Πριάμου γαῖ' ἐχήρωσ' Ἑλλάδα,
Πολλῶν νεκρῶν ποιοῦσα δορυπετῆ φόνον,
Ἀλόχους τ' ἀνάνδρους, γραῦς τ' ἄπαιδας ὤλεσεν,
Πολλιούς τε πατέρας· εἰ δὲ τοὺς λελειμμένους

---

φαιροῦμαί σε τὰ ἱμάτια. 294. Ὑπάργυρος πέτρα] τὸ παρὰ τῷ Σουνίῳ Λαύ-

ΟΔ. Οὔτοι δήπου, ἀγῶν' ἐξανύσαντες μέγαν.

ΚΥ. Εἶτ' οὐκ αἰσχρὸν τοσοῦτον ςρατὸν ἐκπλεῦσαι ἐπὶ Φρυγίαν ἕνεκα γυναικός;

ΟΔ. Μηδέν' ἀνθρώπων μέμφου, τοῦ θεοῦ οὕτω βουληθέντος. ἡμεῖς δ' οὖν, ὦ παῖ, θεοῦ γενναῖε, ἱκετεύοντές σε φαμὲν μηδὲν ἀδικεῖν φίλους εἰς τὸ σὸν ἐλθόντες ἄντρον, μηδὲ βορὰν ποιήσασθαι ἡμᾶς ἀσεβεστάτην· οἳ ναοὺς τῷ σῷ πατρὶ ἱδρυσάμενοι, πολλαχῇ τῆς Ἑλλάδος αὐτὸν τιμῶμεν· ὅ,τε γὰρ λιμὴν Ταινάρου ἱερὸς αὐτῷ ἐςι καὶ ἀκήρατος τό,τε ἀκρωτήριον τοῦ Μαλέα, καὶ ἡ τοῦ Σουνίου τῆς Ἀθηνᾶς ὑπάργυρος πέτρα, καὶ Γεραστὸς, ἡ τῶν πλωϊζομένων καταφυγὴ ἐν κινδύνοις, ταῦτα πανταχοῦ ναοὶ εἰσὶ Ποσειδῶνι· χωρὶς δὲ τούτων τούς τε Φρύγας τῆς ὕβρεως ἐτισάμεθα, μέγ' ὄνειδος τῆς Ἑλλάδος ἐκτρίψαντες· ἧς τὸ καλὸν καὶ πρὸς σὲ αὐτὸν ἥκει· καὶ γὰρ ἡ Αἴτνη, αὕτη ἡ πυρίκαυστος πέτρα, ὑφ' ἣν διαιτᾷ, μέρος ἐστὶ τῆς Ἑλλάδος· ἀξίωσον δ' ἐπιστραφῆναι πρὸς ἃ παρεχόμεθα δίκαια, καὶ κατάγε τοὺς τῶν ἀνθρώπων νόμους δέξαι ἱκέτας χειμασθέντας, ξένιά τε δοὺς αὐτοῖς, καὶ ἱμάτια ἀμφιέσασθαι· μήδ' ἀξιώσῃς διαπεῖραι τὰς σάρκας αὐτῶν ὀβελοῖς πρὸς βρῶσιν· ἅλις γὰρ ἡ Φρυγῶν χώρα ἠρήμωσε τὴν Ἑλλάδα, πολλῶν νεκρῶν αὐτόθι πεπωκυῖα τὸ αἷμα, γυναῖκας χήρας, πατέρας τε πολιοὺς, καὶ μητέρας γε-

---

ριον ὄρος φησὶν, ἔνθ' ἦν ποτε ἀργύρου μέταλλ' Ἀθηναίοις· ὁ δὲ Γεραιςὸς ἐςὶν ἐν Εὐβοίᾳ ἀκρωτήριον τοῦτο, καταφυγὴν ἔχον πλωϊζομένοις. 299. Ἀποςρέφου] ἐν' ἄλλοις, ἀποστρέφῃ. 302. Βουπόροις] ὀβελοῖς, ἤτοι ἐκ τοῦ Βου καὶ Πείρειν,

Σὺ συμπυρώσας, δαῖτ' ἀναλώσεις πικρὰν,
Ποῖ τρέψεταί τις; ἀλλ' ἐμοὶ πιθοῦ, Κύκλωψ,
Πάρες τὸ μάργον σῆς γνάθου, τὸ δ' εὐσεβὲς
Τῆς δυσσεβείας ἀνθελοῦ· πολλοῖσι γὰρ
Κέρδη πονηρὰ ζημίαν ἠμείψατο.
ΣΙ. Παραινέσαι σοι βούλομαι· τῶν μὲν κρεῶν
Μηδὲν λίπῃς τοῦδ'· ἢν τε τὴν γλῶσσαν δάκῃς,
Κομψὸς γενήσῃ καὶ λαλίστατος, Κύκλωψ.
ΚΥ. Ὁ πλοῦτος, ἀνθρωπίσκε, τοῖς σοφοῖς θεός·
Τὰ δ' ἄλλα κόμποι καὶ λόγων εὐμορφίαι·
Ἄκρας δ' ἐναλίας, ἃς καθίδρυται πατὴρ,
Χαίρειν κελεύω· τί τάδε προὐστήσω λόγῳ;
Ζηνὸς δ' ἐγὼ κεραυνὸν οὐ φρίσσω, ξένε.
Οὐδ' οἶδ', ὅτι Ζεὺς ἔστ' ἐμοῦ κρείσσων θεός.
Οὔ μοι μέλει τὸ λοιπόν· ὡς δ' οὔ μοι μέλει,
Ἄκουσον· ὅταν ἄνωθεν ὄμβρον ἐκχέῃ,
Ἐν τῇδε πέτρᾳ στέγν' ἔχω σκηνώματα,
Ἢ μόσχον ὀπτὸν, ἤ τι θήρειον δάκος
Δαινύμενος, εὖ τέγγων τε γαστέρ' ὑπτίαν,
Ἐπεκπιὼν γάλακτος ἀμφορέα, πέπλον
Κρούω, Διὸς βρονταῖσιν εἰς ἔριν κτυπῶν.
Ὅταν δὲ βορέας χιόνα Θρῄκιος χέῃ,
Δοραῖσι θηρῶν σῶμα περιβαλὼν ἐμὸν,
Καὶ πῦρ ἀναίθων, χιόνος οὐδέν μοι μέλει.

---

ἢ ἐκ τοῦ βοῦς καὶ πείρειν. 327. Πέπλον] εἰμή τι ἡμάρτηται, ἀντὶ τοῦ πέδον· τί φαίημεν σημαίνειν; ἐμοὶ δὲ δοκεῖ ἐννοεῖν τὴν γαστέρα, οἱονεὶ τυμπάνῳ χρωμένου αὐτῇ τοῦ Κύκλωπος, καὶ ταῦτα γάλακτος ἐμπλησθείσῃ. πέπλον γὰρ

ραιὰς ἀτέκνους ποιήσασα· εἰ δὲ καὶ αὐτοὺς τοὺς ὑπολοίπους ὀπτήσας αὐτὸς, δεῖπνον πικρὸν ποιήσῃ, ποῖ τις τράπηται; ἀλλὰ πείσθητί μοι, ὦ Κύκλωψ, τὸ μὲν τῆς γνάθου ἀποσεισάμενος μάργον, τὸ δ' εὐσεβὲς προελόμενος· πολλοῖς γὰρ πολλάκις τὸ πλεονεκτεῖν εἰς ζημίαν ἀπέβη.

ΣΙ. Βούλομαι, ὦ Κύκλωψ, παραινέσαι σοί τι περὶ τῶν παρόντων· ὅρα, γὰρ, ὦ βέλτιστε, ὅπως μήτε τῶν κρεῶν τούτου λείψεις μηδὲν, καὶ τὴν γλῶσσαν αὐτοῦ ἢν δάκῃς, οὐ μόνον μειλίχιος ἔσῃ καὶ κομψὸς ἐν τῷ λέγειν, ἀλλὰ καὶ λαλίστατος πάντων.

ΚΥ. Θεὸς μὲν, ὦ ἀνδράριον σύγε, τοῖς γ' εὖ φρονοῦσιν ὁ πλοῦτός ἐστι· τὰ δ' ἄλλα κομπάσματα εἰσὶν ἄντικρυς καὶ εὐπρέπεια λόγων· ἃ μὲν οὖν συνείρων κατέλεξας ἀκρωτήρια καὶ ἕδρας τοὐμοῦ πατρὸς, χαίρειν κελεύω τούτοις· τί γὰρ βουλομένῳ σοι ταῦτ' ἐν τῷ λόγῳ εἰσῆκται; οὔτ' αὖ τὸν τοῦ Διὸς κεραυνὸν φρίσσω ἔγωγε, εἰδὼς ἐκεῖνον μηδὲν ἐμοῦ κρείττω ὄντα· διὸ οὐδὲ φροντίζω τὸ λοιπὸν οὐδενός· καί μοι πρόσχες τὸν νοῦν, ὡς μάθῃς τοῦτο· ἐπειδὰν γὰρ ἐκεῖνος ἐπαφῇ ὄμβρον ἄνωθεν, ἐγὼ καταδὺς εἰς τὸ ἄντρον, ἐν στεγνῷ ἀναπαύομαι διαιτήματι, καὶ δαινύμενος ὀπτὸν μόσχον, ἤ θηρίον τι ἄγριον, κατακλίνομαι ὕπτιος ὑπὸ σκέπην· εἶθ' οὕτως ἀμφορέα γάλακτος ἀναῤῥοιβδήσας, κρούω τὴν γαστέρα, πρὸς τὰς τοῦ Διὸς βροντὰς ἁμιλλώμενος· ἡνίκα δ' αὖ βορέας ἐπιγίγνεται ὡς ἀπὸ τῆς Θρᾴκης,

---

καὶ τὸ περιτόναιον, τὸ δέρμα τὸ περικαλύπτον τὴν κάτω κοιλίαν. 331. Ἀ-ταίθων οὐδέν μοι μέλει] συγκεχώρηται τὸ σόλοικον τοῦτο σχῆμα τοῖς ποιηταῖς.

Ἡ γῆ δ' ἀνάγκη, κἂν θέλη, κἂν μὴ θέλη,
Τίκτουσα ποίαν, τἀμὰ πιαίνει βοτά.
Ἁ 'γὼ οὔ τινι θύω, πλὴν ἐμοὶ, θεοῖσι δ' οὔ;
Καὶ τῇ μεγίστῃ γαστρὶ τῇδε δαιμόνων·
Ὡς τοὐμπιεῖν γε καὶ φαγεῖν τοὐφ' ἡμέραν,
Ζεὺς οὗτος ἀνθρώποισι τοῖσι σώφροσιν,
Λυπεῖν δὲ μηδὲν αὐτόν· οἳ δὲ τοὺς νόμους
Ἔθεντο, ποικίλλοντες ἀνθρώπων βίον,
Κλάειν ἄνωγα· τὴν δ' ἐμὴν ψυχὴν ἐγὼ
Οὐ παύσομαι δρῶν εὖ, κατεσθίων τέ σε.
Ξένιά τε λήψῃ τοιάδ', ὡς ἄμεμπτος ὦ,
Πῦρ καὶ πατρῷον τόνδε λέβητά γ', ὃς ζέσας
Σὴν σάρκα δυσφόρητον, ἀμφέξει καλῶς.
Ἀλλ' ἕρπετ' εἴσω τῷ κατ' αὔλιον θεῷ
Ἵν' ἀμφὶ βωμὸν στάντες, εὐωχῆτέ με.

ΟΔ. Αἶ' αἶ! πόνους μὲν Τρωϊκοὺς ὑπεξέδυν,
Θαλασσίους τε· νῦν δ' ἐς ἀνδρὸς ἀνοσίου
Γνώμην κατέσχον, ἀλίμενόν τε καρδίαν.
Ὦ Παλλὰς, ὦ δέσποινα διογενὲς θεὰ,
Νῦν, νῦν ἄρηξον· κρείσσονας γὰρ Ἰλίου
Πόνους ἀφῖγμαι, κἀπὶ κινδύνου βάθρα.
Σύ τ', ὦ φαεννῶν ἀστέρων οἰκῶν ἕδρας,
Ζεῦ Ξένι', ὅρα τάδ'· εἰ γὰρ αὐτὰ μὴ βλέπεις,
Ἄλλως νομίζῃ, Ζεῦ, τὸ μηδὲν ὢν, θεός.

---

335. Ὡς τοὐμπιεῖν] ἐν ἄλλοις τοῦ ποιεῖν. ἀλλὰ χωλαίνει τὸ μέτρον.

χιόνα φέρων, ταῖς τῶν θηρῶν ἀμπισχόμενος δοραῖς, καὶ πῦρ ἀνακαίων, μικρὰ φροντίζω· ἡ δὲ γῆ κάτωθεν ἀναδιδοῦσα βοτάνας, ἑκοῦσ' ἀέκουσα, τὰ ἐμὰ τρέφει θρέμματα· ἃ ἐγὼ οὐδενὶ ἂν ἑτέρῳ, πλὴν ἐμαυτῷ, καὶ τῇ ἐμαυτοῦ φίλῃ γαστρὶ, τῇ πάντων δαιμόνων μεγίστῃ οὔσῃ, τούτοις θύοιμι μόνοις· οὐ μέντοι θεῶν οὐδενί· εἴγε Ζεὺς τοῖςγε σώφροσιν οὗτός ἐστιν ἀνθρώποις μόνος, τὸ ἐσθίειν τε καὶ πίνειν καθ' ἑκάστην ἡμέραν, ἀπεχόμενον τοῦ λυπεῖν ἐν οἱῳδήποτε ἑαυτόν· τοὺς δὲ νόμοις τὸν τῶν ἀνθρώπων διαπεποικιλκότας βίον οἰμώζειν ἐγὼ κελεύω· οὐ γὰρ ἂν ἔγωγε ἀποσχοίμην τοῦ μή σε καταδάψαι, τὴν ἐμαυτοῦ ψυχὴν εὖ ποιῶν· ὅπως δὲ μηδὲ μέμψασθαι ἔχῃς, δώσω ξένια πῦρ, καὶ τὸν πατρῷόν μοι τοῦτον λέβητα, ὃς ἐν τῷ ζεῖν καλῶς τὴν σὴν δυσβάστακτον περιέξει σάρκα· ἀλλὰ νῦν γ' ἕρπε εἴσω· ἵνα τῷ τοῦ ἄντρου τούτου θεῷ παριστάμενοι περὶ τὸν βωμὸν, εὐωχῆτέ με.

ΟΔ. Αἶ, αἶ. πολλοὺς μὲν ἐν Τροίᾳ ὑπεξέδυν ἀγῶνας, πολλοὺς δ' ἐν θαλάσσῃ κινδύνους· ἀλλὰ νῦν εἰς ἀνοσιωτάτου ἀνδρὸς γνώμην, καὶ ὅλως ἀμάλακτον ἐμπεπτωκὼς, εἰς ἐπικίνδυνον καὶ ἐπισφαλέστατον λιμένα τυγχάνω προσωρμηκώς. Ἀλλ' ὦ δέσποιν' Ἀθηνᾶ, διογενὲς κόρη, νῦν ἀρωγός μοι καὶ σύμμαχος γενοῦ, ὡς ἐν στενωτάτῳ ἤδη κατεχομένῳ· πάντων γὰρ τῶν ἐν Τροίᾳ ἀγώνων, εἰς ἓν λογισθέντων, πολλῷ κρείττων οὗτος· κἀπὶ ξυροῦ ἀκμῆς νῦν ἔμοιγε τὰ πράγματα κεῖται· σύ τ' αὖ, ὦ Ζεῦ ξένιε, ὁ ἐν ἄστροις τὸν θρόνον ἔχων, οὐχ ὁρᾷς ταῦτα; μάτην ἄρα νομίζομέν σε θεὸν οἱ θνητοὶ, μηδὲν ὄντα, μήθ' ὁρῶντα τὰ τοιαῦτα γιγνόμενα ἐπὶ γῆς.

ΧΟ. Εὐρείας φάρυγγος, ὦ Κύκλωψ,
Ἀναστόμου τὸ χεῖλος· ὡς ἕτοιμά σοι
Ἑφθὰ καὶ ὀπτὰ καὶ ἀνθρακιᾶς ἄπο χναύειν,
Βρύκειν, κρεωκοπεῖν μέλη ξένων,
Δασυμάλλῳ ἐν αἰγίδι κλινόμενα.
Μή μοι, μὴ προδίδου·
Μόνος μόνῳ κόμιζε πορθμίδος σκάφος.
Χαιρέτω μὲν αὖλις ἥδε,
Χαιρέτω δὲ, θυμάτων
Ἀποβώμιος ἂν ἔχει θυσίαν
Κύκλωψ Αἰτναῖος, ξενικῶν
Κρεῶν κεχαρμένος βορᾷ·
Νηλὴς ὁ τλάμων, ὅστις
Δωμάτων ἐφεστίους ξένους
Ἱκτῆρας ἐκθύει δόμων,
Κόπτων, βρύκων,
Ἑφθά τε δαινύμενος μυσαροῖσιν ὀδοῦσιν
Ἀνθρώπων θέρμ' ἀπ' ἀνθράκων κρέα.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΟΔΥΣΣΕΥΣ, ΧΟΡΟΣ.

ΟΔ. Ὦ Ζεῦ, τί λέξω, δείν' ἰδὼν ἄντρων ἔσω,
Κοὐ πιστὰ, μύθοις εἰκότ', οὐδ' ἔργοις βροτῶν;
ΧΟ. Τί δ' ἔστ', Ὀδυσσεῦ; μῶν τεθοίναται σέθεν
Φίλους ἑταίρους ἀνοσιώτατος Κύκλωψ;
ΟΔ. Δισσούς γ' ἀθρήσας, κἀπιβαστάσας χεροῖν,
Οἳ σαρκὸς εἶχον εὐτρεφέστατον πάχος.

ΧΟ. Ἄνοιξον, ὦ Κύκλωψ, τὸ τῆς σῆς εὐρείας φάρυγγος χεῖλος· ἕτοιμα γὰρ ἔσται αὐτίκα μάλα ἑφθά τε, ὀπτά τε δάπτειν τε καὶ καταβροχθίζειν ἀπ' ἀνθρακιᾶς, τὰ τῶν ξένων μέλη ἐπ' αἰγίδος κρεωκοποῦντα. Μή με προδίδου σύγε. μὴ πρὸς τοῦ Βάκχου· ἀλλὰ μόνος μόνῳ μοι κόμισον τὸ πορθμεῖον. Χαιρέτω τὸ ἄντρον τοῦτο· χαιρέτω θυσία, ἣν ὁ ἀνοσιώτατος Κύκλωψ ἔνδον καλλιερεῖ ἑαυτῷ ξενικοῖς κρέασι ἐντρυφῶν· ὡς σκληρὸς, ὡς ὠμὸς καὶ ἀπάνθρωπος, ὃς ξένους ἱκέτας ὁμωροφίους γεγενημένους, ἐκθύει καίνων, καὶ μύσαροῖς ὀδοῦσιν ἀνθρώπινα κρέα θερμὰ ἐπ' ἀνθρακιᾶς κατχδάπτει.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΟΔΥΣΣΕΥΣ, ΧΟΡΟΣ.

ΟΔ. Ὦ Ζεῦ, τί εἴπω, δεινὰ καὶ φρίκης ἄξια ἰδὼν ἐντὸς τῶν ἄντρων, ἄπισθ' ὅλως λεγόμενα, καὶ μύθοις μᾶλλον, ἢ ἔργοις ἐοικότα ἀνθρώπων;

ΧΟ. Τί τοῦτ' ἐστὶν, Ὀδυσσεῦ; μῶν κατακαίνει τοὺς σοὺς ἑταίρους ὁ ἀνοσιώτατος τῶν Κυκλώπων ἁπάντων.

ΟΔ. Οὕτω, δύο ἅμα συλλαβὼν τοὺς λιπαρωτέρους.

357. τὸ χεῖλος] χεῖλος τῆς φάρυγγός ἐστιν αὐτὸ τὸ στόμα· 364. Χαιρέτω] ἐντεῦθεν ἐν ἄλλοις ἀποδίδοται ταῦτα τῷ Ἡμιχορίῳ· τὸ δὲ σχῆμα ἀποστροφὴ καλεῖται παρὰ τοῖς Ῥήτορσι.

ΧΟ. Πῶς, ὦ ταλαίπωρ', ἦτε πάσχοντες τάδε;
ΟΔ. Ἐπεὶ πετραίαν τήνδ' ἐσήλθομεν χθόνα,
Ἀνέκαυσε μὲν πῦρ πρῶτον, ὑψηλῆς δρυὸς
Κορμοὺς πλατείας ἐσχάρας βαλὼν ἔπι,
Τρισσῶν ἁμαξῶν ὡς ἀγώγιμον βάρος.
Ἔπειτα φύλλων ἐλατίνων χαμαιπετῆ
Ἔνησεν εὐνὴν πλησίον πρὸς φλογί.
Κρατῆρα δ' ἐξέπλησεν ὡς δεκάμφορον,
Μόσχους ἀμέλξας, λευκὸν ἐσχέας γάλα.
Σκύφος τε κισσοῦ παρέθετ' εἰς εὖρος τριῶν
Πηχέων, βάθος δὲ τεσσάρων ἐφαίνετο.
Καὶ χάλκεον λέβητ' ἐπέζεσεν πυρὶ,
Ὀβελούς τ' ἄκρους μὲν ἐγκεκαυμένους πυρὶ,
Ξεστοὺς δὲ δρεπάνῳ γ', ἀλλὰ παλιούρου κλάδῳ,
Αἰτναῖά τε σφαγεῖα πελεκέων γνάθοις.
Ὡς δ' ἦν ἕτοιμα πάντα τῷ θεοστυγεῖ
Ἅδου μαγείρῳ, φῶτε συμμάρψας δύο,
Ἔσφαξ' ἑταίρων τῶν ἐμῶν ῥυθμῷ τινι
Τὸν μὲν, λέβητος ἐς κύτος χαλκήλατον,
Τὸν δ' αὖ, τένοντος ἁρπάσας ἄκρου ποδὸς,
Παίων πρὸς ὀξὺν γ' ὄνυχα πετραίου λίθου,
Ἐγκέφαλον ἐξέῤῥανε, καὶ καθαρπάσας
Λάβρῳ μαχαίρᾳ σάρκας, ἐξώπτα πυρὶ,

393. Ξεστοὺς] ἐν ἄλλοις γράφεται ὧδε· « Ξεστοὺς δρεπάνῳ οὔγ', ἀλλὰ παλιούρου κλάδῳ. » καὶ ἐν ἄλλοις· ξεστοὺς δ' οὐ δρεπάνῳ, τἄλλα παλιούρου κλάδῳ, ἀμφότερα δ' οὖν ἔντε τῷ μέτρῳ βεβιασμένα, κἂν τῇ ἐννοίᾳ οὐ πάνυ εὐξύνητα· τὸ μὲν γὰρ δρέπανόν ἐστι ὄργανον γεωργικὸν, ᾧ ἐχρῶντο οἱ κυνη-

ΧΟ. Λέγοις ἂν ἡμῖν, ὅπως πρὸς ὑμᾶς τετόλμηται ταῦτα παρ' ἐκείνου.

ΟΔ. Ἅμ' εἰσελθόντων ἡμῶν εἰς τὸ ἄντρον, πρῶτον μὲν ἀνέκαυσε πῦρ ἐκεῖνος, παχείας δρυὸς κορμοὺς νήσας ἐπ' ἐσχάρας εὐρείας, ὥστε τρεῖς ἁμάξας μόλις φέρειν τὸ βάρος· ἔπειτα λαβὼν στιβάδα ἐξ ἐλάτης χαμαιπετῆ, ἔθηκε παρὰ τῷ πυρί· ἀμέλξας δὲ τὰς βοῦς, ἐνέπλησε γάλακτος κρατῆρα δέχ' ὅλους ἀμφορέας χωροῦντα, παρέθηκέ τε σκῦφος κισσοῦ· οὗ τὸ μὲν εὖρος πήχεων τριῶν, τὸ δὲ βάθος τεσσάρων ἐδόκει εἶναι, καὶ λέβητα χαλκοῦ ἔθηκεν ἐπὶ τοῦ πυρὸς ζεῖν· ὀβελούς τε ὡσαύτως, τὰ μὲν ἄκρα πυρὶ ἐγκεκαυμένους, οὐ μέντοι δρεπάνῳ, ἐξεσμένους, ἀλλὰ κλάδῳ παλιούρου· καὶ πρὸς τούτοις σφαγεῖα Αἰτναῖα, πελέκει δὲ ταῦτα ἀπεξεσμένα, ὡς δὲ ταῦθ' ἕτοιμα ἦν τῷ θεοστυγεῖ τουτωῒ μαγείρῳ τοῦ ᾅδου, συλλαβὼν τῶν ἐμῶν ἑταίρων δύο, κατέσφαξεν οὐχ ἁπλῶς, ἀλλὰ τεταγμένως· τὸν μὲν γὰρ ἐπὶ λέβητος· τὸν δὲ ἁρπάσας ἀπ' ἄκρου τοῦ ποδὸς, καὶ ἀπαράξας πρὸς ὀξεῖαν τὴν πέτραν, ἐξέῤῥανε τὸν ἐγκέφαλον πάντα κύκλῳ· ἐκ δὲ τούτου διατεμὼν παραχρῆμα τὰς σάρκας, ἃς μὲν ὤπτα ἐπ' ἀφθόνου ἀνθρακιᾶς, ἃς δ' ἐ-

---

γοὶ, εἴτι δέοι τῆς ὕλης κόψαι πρὸς τὴν ἀκώλυτον στᾶσιν τῶν ἀρκύων· ὁ δὲ κλάδος ἢ κλύδος τοῦ παλιούρου τίποτε βούλεται; καὶ ὅπως αὐτῷ ἐχρήσατο εἰς τὸ ἀποξέσαι τοὺς ὀβελούς; παραινεῖ δέ τις ἀντὶ κλάδῳ γράφειν κλάδων· ἵνα ᾖ· ξεστοὺς μὲν δρεπάνῳ, ἐκ κλάδων ὄντας παλιούρου· ὅ ἐςι τραχεῖς, καὶ σκληρούς· καὶ ἕτερος αὖθις μεταβάλλει καὶ τὴν τάξιν ὡδί·

» Ὀβελοὺς, ἄκρους μὲν ἐγκεκαυμένους πυρί·
» Ξεστοὺς, δρεπάνῳ οὐκ, ἀλλὰ πελέκεων γνάθοις
» Αἰτναῖά γε σφαγεῖα, παλιούρου κλάδους.

Τὰ δ' ἐς λέβητ' ἐφῆκεν ἕψεσθαι μέλη·
Ἐγὼ δ' ὁ τλήμων δάκρυ' ἀπ' ὀφθαλμῶν χέων,
Ἐχριμπτόμην Κύκλωπι, καὶ διηκόνουν·
Ἄλλοι δ', ὅπως ὄρνιθες, ἐν μυχοῖς πέτρας
Πτήξαντες εἶχον, αἷμα δ' οὐκ ἐνῆν χροΐ.
Ἐπεὶ δ' ἑταίρων τῶν ἐμῶν πλησθεὶς βορᾶς,
Ἀνέπεσε, φάρυγγος αἰθέρ' ἐξιεὶς βαρὺν,
Ἐσῆλθέ μοί τι θεῖον· ἐμπλήσας σκύφος
Μάρωνος αὐτοῦ, τῷδε προσφέρω πιεῖν,
Λέγων τάδ'· ὦ παῖ ποντίου, θεοῦ Κύκλωψ,
Σκέψαι, τόδ' οἷον Ἑλλὰς ἀμπέλων ἄπο
Θεῖον κομίζει πῶμα, Διονύσου γάνος.
Ὁ δ' ἔκπλεως ὢν τῆς ἀναισχύντου βορᾶς,
Ἐδέξατ', ἔσπασέν τ', ἄμυστιν ἑλκύσας,
Κἀπῄνεσ' ἄρας χεῖρα· φίλτατε ξένων,
Καλὸν τὸ πῶμα δαιτὶ πρὸς καλῇ δίδως,
Ἡσθέντα δ' αὐτὸν, ὡς ἐπῃσθόμην ἐγὼ,
λλην ἔδωκα κύλικα, γιγνώσκων, ὅτι
Τρώσει νιν οἶνος, καὶ δίκην δώσει τάχα.
Καὶ δὴ πρὸς ᾠδὰς εἷρπ'. ἐγὼ δ' ἐπεγχέων
Ἄλλην ἐπ' ἄλλῃ, σπλάγχν' ἐθέρμαινον ποτῷ.
Ἄδει δὲ παρὰ κλαίουσι συνναύταις ἐμοῖς
Ἄμουσ', ἐπηχεῖ δ' ἄντρον. ἐξελθὼν δ' ἐγὼ
Σιγῇ, σὲ σῶσαι κἄμ', ἐὰν βούλῃ, θέλω.
Ἀλλ' εἴπατ', εἴτε χρήζετ', εἴτ' οὐ χρήζετε
Φεύγειν ἄμικτον ἄνδρα, καὶ τὰ Βακχίου
Ναίειν μέλαθρα Ναιάδων Νυμφῶν μέτα.
Ὁ μὲν γὰρ ἔνδον σὸς πατὴρ τάδ' ᾔνεσεν.

νέθηκε τῷ λέβητι ἕψεσθαι· ἐγὼ δ' ὁ τλήμων, τῷ πάθει τηκόμενος, παρηκολούθουν τῶν Κυκλώπων ἁπάντων ἀνοσιωτάτῳ καὶ ὠμοτάτῳ διακονῶν· οἱ δὲ ἄλλοι καταπτήξαντες, κατέδυσαν εἰς τὰ κοῖλα τῆς πέτρας, ὥσπερ ὄρνιθες, τοῦ αἵματος αὐτοὺς ἐκλελοιπότος ἀπὸ τοῦ προσώπου· ὡς δὲ τῶν κρεῶν μεστὸς ὢν, ἀνεκλίθη, πνεῦμ' ἄτοπον καὶ βαρὺ τοῦ φάρυγγος ἐξιεὶς, ἐπῆλθέ μοι τὶ θεόθεν ἐνθυμηθῆναι· σκῦφος γὰρ ἐμπλήσας οἴνου τοῦ Μάρωνος, προσήνεγκα αὐτῷ πιεῖν, λέγων τάδε. Κύκλωψ, παῖ Ποσειδῶνος, ἴδε τοῦτο πιὼν, οἷον πῶμα θεῖον φέρει ἡ Ἑλλὰς, ἡδονὴν Διονύσου· ὁ δὲ ἔμπλεως ὢν ἀνοσιωτάτης βορᾶς, οὐκ ἀπέσχετο, ἀλλὰ δεξάμενος, ἔσπασεν αὐτὸ ἀμυστί· εἶτ' ἄρας τὰς χεῖρας, ἐπήνεσε. φίλτατε ξένων εἰπὼν πρὸς ἐμὲ, ὡς καλὸν ἐπὶ θοίνῃ καλῇ τὸ πῶμά μοι τοῦτο δέδωκας· ὡς δὲ ᾐσθόμην ἐγὼ αὐτὸν ὡς μάλισθ' ἡσθέντα τῇ πόσει, ἐνέχεα καὶ δεύτερον, εἰδὼς ὡς οὕτω τάχ' ἂν καὶ δοίη δίκην κρατηθέντα τῷ οἴνῳ· ὁ δὲ ζωρότερον καὶ τοῦτο πιὼν, ἀνίετο εἰς ᾠδάς· ἐγὼ δ' ἐπεγχέας καὶ αὖθις ἄλλην ἐπ' ἄλλῃ τῶν κυλίκων, διεθέρμηνα αὐτῷ τὰ ἐντὸς τῷ ποτῷ, καὶ νῦν ᾄδει ἄμουσόν τι καὶ παράκοπον μέλος παρὰ τοῖς ἐμοῖς ἑταίροις, τὰ παρόντα θρηνοῦσιν· ἐπηχεῖ δὲ τὸ ἄντρον, καὶ ταῦτα μὲν τἄνδον. Ἐγὼ δὲ ὑπεξελθὼν ἡσυχῆ, βούλομαι ἐμέ τε αὐτόν καὶ ὑμᾶς διασῶσαι, εἴμοι πείθοισθε· ἀλλ' εἴπατέ μοι πρῶτον τίνα ἔχετε γνώμην, πότερον βούλεσθε ἐκφυγεῖν μὲν ἄγριον καὶ ἀκοινώνητον ἄνδρα, διαιτᾶσθαι δὲ ἐν τοῖς τοῦ Βάκχου μετὰ τῶν Νυμφῶν, ἢ οὔ; ὁ γὰρ πατὴρ ὑμῶν ἤ-

Ἀλλ' ἀσθενὴς γὰρ, κἀποκερδαίνων ποτοῦ,
Ὥσπερ πρὸς ἰξῷ, τῇ κύλικι λελημμένος,
Πτέρυγα σαλεύει· σὺ δὲ, νεανίας γὰρ εἶ,
Σώθητι μετ' ἐμοῦ, καὶ τὸν ἀρχαῖον φίλον
Διόνυσον ἀνάλαβ', οὐ Κύκλωπι προσφερῆ.
Ὦ φίλτατ', εἰ γὰρ τήνδ' ἴδοιμεν ἡμέραν,
Κύκλωπος ἐκφυγόντες ἀνόσιον κάρα!
Ὡς διὰ μακροῦ γε τὸν σίφωνα τὸν φίλον
Χηρεύομεν, τὸν δ' οὐκ ἔχομεν ὑπεκφυγεῖν.
ΟΔ. Ἄκουε δή νυν, ἣν ἔχω τιμωρίαν
Θηρὸς πανούργου, σῆς τε δουλείας φυγήν.
ΧΟ. Λέγ' ὡς Ἀσιάδος οὐκ ἂν ἥδιον ψόφον
Κιθάρας κλύοιμεν, ἢ Κύκλωπ' ὀλωλότα.
ΟΔ. Ἐπὶ κῶμον ἕρπειν πρὸς κασιγνήτους θέλει
Κύκλωπας, ἡσθεὶς τῷδε Βακχίου ποτῷ.
ΧΟ. Ξυνῆκ', ἔρημον ξυλλαβὼν δρυμοῖσί νιν
Σφάξαι μενοινᾷς, ἢ πετρῶν ὦσαι κάτω.
ΟΔ. Οὐδὲν τοιοῦτον, δόλιος ἡ 'πιθυμία.
ΧΟ. Πῶς δαί; σοφόν τοί σ' ὄντ' ἀκούομεν πάλαι.
ΟΔ. Κώμου μὲν αὐτὸν τοῦδ' ἀπαλλάξαι λέγων,
Ὡς οὐ Κύκλωψι πῶμα χρὴ δοῦναι τόδε,
Μόνον δ' ἔχοντα βίοτον ἡδέως ἄγειν.
Ὅταν δ' ὑπνώσῃ Βακχίου νικώμενος,
Ἀκρέμων ἐλαίας ἐστὶν ἐν δόμοισί τις,

---

440. Ἔχομεν ὑπεκφυγεῖν] οὕτως ἔγραψα ἀντὶ τοῦ ἔχωμεν καταφυγεῖν· καὶ ἐν ἄλλοις αὖ, κατεκφυγεῖν· ἄμφω γὰρ ἄμετρα· σίφωνα δὲ λέγει τὸ ὄργανον, δι' οὗ ἀνέσπων τὸν οἶνον ἐν τῷ πίνειν. 446. Δρυμοῖσιν] οὕτως ἀντὶ τοῦ ῥυθμοῖσι,

νεσε ταῦτα ἔνδον· ἀλλ' ἀσθενὴς τῷ γήρᾳ, καί τι καὶ τοῦ Μάρωνος ἔνδον μάλιστα ὀσφραινόμενος, καθάπερ ἰξῷ, τῇ κύλικι εἰλημμένος, ὑποσαλεύει τὰς πτέρυγας· ὑμεῖς δὲ νεανίαι ὄντες, σώζεσθε μετ' ἐμοῦ καὶ τὸν ἀρχαῖον Διόνυσον οὐ τῷ Κύκλωπι ὄνθ' ὅμοιον, ἀνακτήσασθε.

ΧΟ. Ὦ φίλτατ', ἴδοιμεν τὴν ἡμέραν ἐκείνην, ἀπαλλαγέντες ἀνδρὸς ἀνοσιωτάτου· διὰ γὰρ μακροῦ ἤδη τοῦ μὲν φίλου Σίφωνος ἐστερήμεθα· τοῦτον δ' οὐκ ἔχομεν ἐκφυγεῖν.

ΟΔ. Ἀκούετε τοίνυν, ὃ βούλομαι τυρεῦσαι πρὸς ἀπαλλαγὴν τῶν κακῶν· δεῖ γὰρ δεῖ κἀκεῖνος δίκην δοῦναι τῶν πεπραγμένων.

ΧΟ. Εἶτ' οὐκ ἂν φθάνοις εἰπών; οὐ γὰρ ἂν ἥδιον μέλος ἀπὸ κιθάρας Λυδίας ἀκούσαιμι, ἢ τὸν τοῦ Κύκλωπος ὄλεθρον.

ΟΔ. Ἤδη γὰρ ἐκεῖνος τῷ οἴνῳ ὑποθερμανθεὶς, βούλεται κωμάσαι πρὸς τοὺς ἑαυτοῦ ἀδελφούς.

ΧΟ. Συνῆκα· ἔρημον γὰρ λαβὼν διὰ δρυμόνων καὶ κοιλάδων, μελετᾷς αὐτὸν ἀποκτεῖναι, ἢ ὦσαι κατὰ τῶν πετρῶν.

ΟΔ. Οὔμενουν τοῦτο· δολιώτερον δέ τι.

ΧΟ. Πῶς; ἴσμεν γάρ σε ἀκοῇ οἷον ὄντα συῤῥάπτειν δόλους·

ΟΔ· Πρῶτον μὲν τοῦ κώμου τούτου μηχανῶμαι ἐκεῖνον ἀποκωλῦσαι, μὴ δεῖν λέγων κοινὸν ποιεῖν τοῖς Κύκλωψι τὸ πῶμα· ἀλλὰ μόνον ἔχοντα, εὐθυμεῖν. εἶτ' ἐπειδὰν κατεργασθεὶς τῷ Βάκχῳ, καθυπνώσῃ, ἐλαίας λαβὼν ἀκρέ-

---

ἵνα ἔχῃ ἀκολουθίαν πρὸς τὸ, Ὦσαι κατὰ πετρῶν. 460. Διπλοῖν χαλινοῖν] πό-

ὃν φασγάνῳ τῷδ' ἐξαποξύνας ἄκρον!
Ἐς πῦρ καθήσω· καθ' ὅταν κεκαυμένον
Ἴδω νιν, ἄρας θερμὸν, ἐς μέσην βαλῶ
Κύκλωπος ὄψιν, ὄμμα τ' ἐκτήξω πυρί.
Ναυπηγίαν δ' ὡς εἴ τις ἁρμόζων ἀνὴρ,
Διπλοῖν χαλινοῖν τρύπανον κωπηλατεῖ,
Οὕτω κυκλώσω δαλὸν ἐν φαεσφόρῳ
Κύκλωπος ὄψει, καὶ συναυανῶ κόρας.
ΧΟ. Ἰοὺ, ἰού. γέγηθα, μαινόμεσθα τοῖς εὑρήμασιν.
ΟΔ. Κἄπειτα καὶ σὲ, καὶ φίλους, γέροντά τε
Νεὼς μελαίνης κοῖλον ἐμβήσας σκάφος,
Διπλαῖσι κώπαις τῆσδ' ἀποστελῶ χθονός.
ΧΟ. Ἔστ' οὖν, ὅπως ἂν, ὥσπερ ἐκ σπονδῆς θεοῦ,
Κἀγὼ λαβοίμην τοῦ τυφλοῦντος ὄμματα
Δαλοῦ; φόνου γὰρ τοῦδε κοινωνεῖν θέλω.
ΟΔ. Δεῖ γοῦν· μέγας γὰρ δαλὸς, ὃν ξυλληπτέον.
ΧΟ. Ὡς κἂν ἁμαξῶν ἑκατὸν ἀραίμην βάρος,
Εἰ τοῦ Κύκλωπος, τοῦ κακῶς ὀλουμένου,
Ὀφθαλμὸν ὥσπερ σφηκίαν ἐκτρίψομεν.
ΟΔ. Σιγᾶτέ νυν· δόλον γὰρ ἐξεπίστασαι·
Χὤταν κελεύω, τοῖσιν ἀρχιτέκτοσι
Πείθεσθ'· ἐγὼ γὰρ ἄνδρας ἀπολιπὼν φίλους,

---

τερον τὰ δύο τοῦ τρυπάνου κέρατα ἐννοεῖ, ἢ ἄλλο τι ἐκ τῶν κεράτων τούτων ἠρτημένον, ὃ ἱμάντα ἐκάλεσεν Ὅμηρος, ἐξ οὗ καὶ ταῦτα ἀπέξεσται (Ὀδύσ. Ι. στίχ. 384.) λέγει γάρ.

» . . . ὡς δ' ὅτε τις τρυπῷ δόρυ νήϊον ἀνὴρ·
» Τρυπάνῳ· οἱ δέ τ' ἔνερθεν ὑποσσείουσιν ἱμάντι,
» Ἀψάμενοι ἑκάτερθεν, τὸ δὲ τρέχει ἐμμανὲς αἰεί·
» Ὣς τοῦ ἐν ὀφθαλμῷ πυριηκέα μοχλὸν ἑλόντες,
» Δινέομεν . . . . . . . . . . . . .

μονα, ἔνδον ὄντ' ἐνταυθοῖ, κἀποξέσας αὐτὸν τὸ ἕτερον ἄκρον εὖ τῷ φασγάνῳ τῷδε, καθήσω εἰς τὸ πῦρ· εἶθ' οὕτως ἐγκαυθέντα ἄρας θερμὸν, καὶ ἐς μέσον τὸν τοῦ Κύκλωπὸς ὀφθαλμὸν ἐγκαθεὶς, ἐκτήξω αὐτῷ τὸ ὄμμα. περιστρέψας γὰρ τὸν δαυλὸν ἐν αὐτῷ, ὥσπερ δὴ τρύπανον ἀνὴρ ναυπηγὸς, διαφθερῶ τὴν κόρην.

ΧΟ. Ἰοὺ, ἰοὺ, ὡς τέρπομαι ἐπὶ τούτῳ, καὶ ὥρμημαι χορεῦσαι.

ΟΔ. Ἔπειτα σέ τε, τοὺς θ' ἑταίρους, καὶ τὸν γέροντ' ἀναλαβὼν εἰς τὴν ναῦν, διπλῇ εἰρεσίᾳ τῆς γῆς ἀπαλλάξω ταύτης.

ΧΟ. Ἀλλ' οὐκ ἔσθ' ὅπως λαβοίμην κἀγὼ, ὥσπερ ἐξ ὅρκου, τοῦ τυφλώσοντος ἐκεῖνον δαλοῦ; βουλοίμην γὰρ ἄν συμμετασχεῖν τοῦ φόνου.

ΟΔ. Οὐμὴν ἀλλὰ καὶ ἀνάγκη γε πᾶσα· ὁ γὰρ δαλὸς ἔςαι ἡλίκος ἂν ἅμ' ὑπὸ πολλῶν περιστραφῆναι.

ΧΟ. Ἔγωγε μὲν οὖν κἂν ἑκατὸν ἁμαξῶν ἀροίμην βάρος, εἰ μόνον τὸν ὀφθαλμὸν τοῦ κακῶς κακοῦ ἀπολουμένου, καθάπερ τινὰ ἐκτρίψαιμεν σφηκίαν.

ΟΔ. Οὐκοῦν μαθόντες ἤδη, ὅπως χρὴ ταῦτα γενέσθαι, κάθεσθε σιγὴν ἔχοντες· ἐπειδὰν δὲ, καιροῦ λαμβάνοντος, κελεύσω, πείθεσθε τῷ μηχανοῤῥάφῳ· οὐ γὰρ ἂν

---

Ἔοικεν οὖν ἐκ τούτων μηχανῇ τινὶ περιστρέφεσθαι ἐν τῷ τότε τὰ μεγάλα τρύπανα. 467. Ἐκ σπονδῆς θεοῦ] ὥσπερ ἐξ ὅρκου· τὴν γὰρ πίστιν ἐθέλει δεῖξαι τούτοις. 473. Σφηκίαν] ὥσπερ τὴν τῶν σφηκῶν μελιττοῦταν ἐκθλίβοντες,

Τοὺς ἔνδον ὄντας, οὐ μόνος σωθήσομαι.
Καίτοι φύγοιμ' ἂν, κἀκβέβηκ' ἄντρου μυχῶν·
Ἀλλ' οὐ δίκαιον, ἀπολιπόντ' ἐμοὺς φίλους,
Ξὺν οἷσπερ ἦλθον δεῦρο, σωθῆναι μόνον.
Η.Α Ἄγε τίς πρῶτος, τίς δ' ἐπὶ πρώτῳ
Ταχθεὶς, δαλοῦ κώπην ὀχμάσας,
Κύκλωπος ἔσω βλεφάρων ὤσας,
Λαμπρὰν ὄψιν διακναίσει;
Η.Β. Σίγα, σίγα· καὶ δὴ μεθύων
Ἄχαριν κέλαδον μουσιζόμενος
Σκαιὸς ἀπῳδὸς, καὶ κλαυσόμενος,
Χωρεῖ πετρίνων ἔξω μελάθρων.
Φέρε νιν κώμοις παιδεύσωμεν
Τὸν ἀπαίδευτον.
Πάντως μέλλει τυφλὸς εἶναι.
ΧΟ. Μακάριος, ὃς εὐιάζει
Βοτρύων φίλαισι πηγαῖς
Ἐπὶ κῶμον ἐκπετασθεὶς,
Φίλον ἄνδρ' ὑπαγκαλίζων,
Ἐπὶ δεμνίοις τε ξανθὸν
Χλιδανῆς ἔχων ἑταίρας
Μυρόχριστον λιπαρὸν βό-
Στρυχον· αὐδᾷ δὲ, θύραν τίς οἴξει μοι;

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΚΥΚΛΩΨ, ΟΔΥΣΣΕΥΣ, ΣΙΛΗΝΟΣ, ΧΟΡΟΣ.

ΚΥ. Πᾶ, πᾶ, πᾶ· πλέως μὲν οἴνου,

βουλοίμην ἔγωγε ἀποσωθῆναι μόνος, καταλιπὼν τοὺς ἑταίρους, μεθ' ὧν τυγχάνω ἐλθὼν, ἔνδον ὄντας, καίπερ δυναίμην ἂν δρᾶσαι νῦν τοῦτο καταμόνας, ὡς ὑπεξελθὼν τοῦ σπηλαίου.

ΧΟ. Ἄγε, τις ὑμῶν πρῶτος; τίς δεύτερος ταχθεὶς, ἐπικαθήσει τὸν δαυλὸν ἐν τῷ ὀφθαλμῷ, ὅπως ὤσας ἐντὸς τοῦ βλεφάρου, ἐκτήξειε τὴν ὄψιν τῷ Κύκλωπι.

ΗΜ. Σίγα, σίγα· ὁ γὰρ σκαιὸς ἀπῳδὸς, ὁ νῦν μὲν παράμουσόν τι ᾄδων, μετὰ δὲ μικρὸν κλαυσόμενος ἐμμελέστερον, ἔξεισιν ἤδη τοῦ ἄντρου· φέρε δὴ ἐξημερῶμεν τὸ σκληρὸν καὶ ἄγριον αὐτοῦ κώμοις· πάντως γὰρ οὗτος ἐκτυφλωθήσεται.

ΗΜ. Μακάριος, ὃς οἴνου ἐμπλησθεὶς, ὀργιάζει· κἀπὶ κῶμον ἰὼν, φίλον ἄνδρα φέρει ἐν ἀγκάλαις, μύρῳ τε κεχρησμένον καὶ λιπαρὸν, τὸν τῆς ἁβρᾶς ἑταίρας βόστρυχον ἐν εὐνῇ ξανθὸν ἔχων. Ἀλλ' ἤδη λέγει, τίς ἀνοίξει μοι τὴν θύραν;

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΚΥΚΛΩΨ, ΟΔΥΣΣΕΥΣ, ΣΙΛΗΝΟΣ, ΧΟΡΟΣ.

ΚΥ. Πᾶ, πᾶ, πᾶ, ἔμπλεως μέν εἰμι οἴνου· ηὔφρανε δέ με

---

ἐξάγομεν τὸ ὑγρόν· οὕτως ἐκτρίψαντες τὸν ὀφθαλμὸν αὐτοῦ, ἐκθλίψομεν τὴν κόρην.

Γάνυμαι δὲ δαιτὸς ἥβης,
Σκάφος ὁλκὰς ὣς γεμισθεὶς
Ποτὶ σέλμα γαστρὸς ἄκρας.
Ὑπάγει μ' ὁ χόρτος εὔφρων
Ἐπὶ κῶμον ἦρος ὥραις,
Ἐπὶ Κύκλωπας ἀδελφούς.
Φέρε μοι, ξεῖνε, φέρ' ἀσκὸν, ἔνδος μοι.

ΧΟ. Καλὸν ὄμμασιν δεδορκὼς,
Καλὸν ἐκπερᾷς μελάθρων.
(Φιλεῖ τις ἡμᾶς.
Λύχνα δ' ἀμμένει δάϊα σὸν
Χρόα) χ' ὡς τέρεινα Νύμφα
Δροσερῶν ἔσωθεν ἄντρων.
Στεφάνων δ' οὐ μία χροία
Περὶ σὸν κρᾶτα τάχ' ἐξομιλήσει.

ΟΔ. Κύκλωψ, ἄκουσον, ὡς ἐγὼ τοῦ Βακχίου.
Τούτου τρίβων εἴμ', ὃν πιεῖν ἔδωκά σοι.

ΚΥ. Ὁ Βάκχιος δὲ τίς θεὸς νομίζεται;

ΟΔ. Μέγιστος ἀνθρώποισιν ἐς τέρψιν βίου.

ΚΥ. Ἐρυγγάνω γοῦν αὐτὸν ἡδέως ἐγώ.

ΟΔ. Τοιόσδ' ὁ δαίμων· οὐδένα βλάπτει βροτῶν.

ΚΥ. Θεὸς δ' ἐν ἀσκῷ πῶς γέγηθ' οἴκους ἔχων;

ΟΔ. Ὅπου τιθῇ τις, ἐνθάδ' ἐστὶν εὐπετής.

ΚΥ. Οὐ τοὺς θεοὺς χρὴ δῶμ' ἔχειν ἐν δέρμασιν.

ΟΘ. Τί δ'; εἴ σε τέρπει γ', ἢ τὸ δέρμα σοι πικρόν;

καὶ ἡ θοίνη αὕτη οὐχ ἧττον, καθάπερ ὁλκὰς γεμισθεῖσα μέχρι τοῦ καταστρώματος, ἐμπλησθέντα· ὑπάγει δέ με ἐπὶ κῶμον πρὸς τοὺς ἀδελφοὺς ἐν μέρει καὶ ὁ χῶρος, ὥσπερ εἰκὸς, ὑπογελῶν ταῖς τοῦ ἔαρος χάρισι. φέρ', ὦ ξένε, δός μοι τὸν ἀσκόν.

ΧΟ. Ὡς μὲν καλὸν, ὡς δ' ἡδὺ βλέπων, ὦ Κύκλωψ, λιπαρὸς ἐξέρχῃ τῆς οἰκίας, ὥσπερ Νύμφη ἁβρὰ, τῶν δροσερῶν αὐτῆς ἐκφαινομένη ἄντρων· φιλεῖ τις ἡμᾶς ὡς ἔοικεν· τὸ δὲ σὸν σῶμα λύχνα φλογὸς περιμένει· οἱ δὲ ἐπὶ τῆς σῆς κεφαλῆς ἐπιθησόμενοι στέφανοι οὐ μίαν ἕξουσι χροιὰν αὐτίκα μάλα.

ΟΔ. Ἄκουσον ἐμοῦ, ὦ Κύκλωψ, περὶ τοῦ Βάκχου τούτου, ὃν δέδωκά σοι πιεῖν, ὡς πολλὴν αὐτοῦ πεῖραν ἔχοντος.

ΚΥ. Τίς δὲ θεὸς παρ' ὑμῖν ἐστιν ὁ Βάκχος οὗτος;

ΟΔ. Ὁ μέγιστος ἀνθρώποις εἰς εὐθυμίαν βίου.

ΚΥ. Ὡς ἡδέως κἀγὼ αὐτὸν ἐξερυγγάνω.

ΟΔ. Τοιοῦτος δ' ὢν, οὐδένα τῶν ἀνθρώπων βλάπτει.

ΚΥ. Θεὸς δ' ὢν, πῶς ἀσκῷ ἐνδιαιτᾶσθαι θέλει;

ΟΔ. Ὅπῃ τις ἂν θῇ, ῥάδιος ἔστ' ἐκεῖνος.

ΚΥ. Ἀλλ' οὐ χρὴ τοὺς θεοὺς ἐγκατακλείειν.

ΟΔ. Τί σοι μέλλει τοῦ ἀσκοῦ, ὅτ' ἐκεῖνος κἀντεῦθεν τέρπει;

---

501. Δαιτὸς ἥβης] τῆς ἥβην καὶ δύναμιν ἐμποιούσης πόσεως· ἢ ἕνεκα τῆς πόσεως τῆς Ἥβης· ἣν οἰνοχοοῦσαν ἐποίησεν Ὅμηρος τοῖς θεοῖς.

»—Μετὰ δέ σφι πότνια Ἥβη νέκταρ ἐῳνοχόει. »

Ἀλλ' ἔοικεν ἐννοεῖν ἥβην τὴν ἀκμὴν τῶν καταβρωχθέντων; ὡς δὴ τρυφερῶν 504. Χόρτος] ὁ χῶρος, ὁ εὐφραντικὸς διὰ τὸ ἐν ἦρι γίγνεσθαι ταῦτα. 510. Φιλεῖ τις ἡμᾶς] θεός· ὡς δ' ἐν παρενθέσει τοῦτο· καθ' ἑαυτοὺς γὰρ λέγουσιν· ἡ

ΚΥ. Μισῶ τὸν ἀσκόν· τὸ δὲ ποτὸν φιλῶ τόδε.
ΟΔ. Μένων νυν αὐτοῦ, πῖνε κεὐθύμει, Κύκλωψ.
ΚΥ. Οὐ χρή μ' ἀδελφοῖς τοῦδε προσδοῦναι ποτοῦ;
ΟΔ. Ἔχων γὰρ αὐτὸς τιμιώτερος φανῇ.
ΚΥ. Διδοὺς δὲ τοῖς φίλοισι, χρησιμώτερος.
ΟΔ· Πυγμὰς ὁ κῶμος, λοίδορόν τ' ἔριν φιλεῖ.
ΚΥ. Μεθύωμεν· ἔμπας δ' οὔ τις ἂν ψαύσειέ μου.
ΟΔ· Ὦ τὰν, πεπωκότ', ἐν δόμοισι χρὴ μένειν.
ΚΥ. Ἠλίθιος, ὅστις μὴ, πιὼν, κῶμον φιλεῖ.
ΟΔ· Ὃς δ' ἂν μεθυσθείς γ' ἐν δόμοις μείνῃ, σοφός.
ΚΥ. Τί δρῶμεν, ὦ Σιληνέ; σοὶ μένειν δοκεῖ;
ΣΙ· Δοκεῖ· τί γὰρ δεῖ συμποτῶν ἄλλων, Κύκλωψ;
ΚΥ. Καὶ μὴν λαχνῶδες τοὖδας ἀνθηρᾶς χλόης.
ΣΙ· Καὶ πρός γε θάλπος ἡλίου πίνειν καλόν.
Κλίθητι νῦν μοι, πλευρὰ θεὶς ἐπὶ χθονός·
ΚΥ. Ἰδού· τί δῆτα τὸν κρατῆρ' ὄπισθέ μου τίθης;
ΣΙ· Ὡς μὴ παρών τις καταλάβῃ.
ΚΥ. Πίνειν μὲν οὖν
Κλέπτων σὺ βούλει· κάτθες αὐτὸν ἐς μέσον.
Σὺ δ', ὦ ξέν' εἰπὲ τοὔνομ', ὅ,τι σε χρὴ καλεῖν.
ΟΔ. Οὖτιν· χάριν δὲ τίνα λαβών σ' ἐπαινέσω;
ΚΥ. Πάντων σ' ἑταίρων ὕστερον θοινάσομαι.
ΟΔ. Καλόν γε τὸ γέρας τῷ ξένῳ δίδως, Κύκλωψ.
ΚΥ· Οὗτος, τί δρᾷς; τὸν οἶνον ἐκπίνεις λάθρα;

---

τοὐλάχιστον καθ' ἑαυτοὺς ἐννοοῦσιν, ὃ νοοῦσι. τὸ δὲ ἑξῆς ἐν ἄλλοις κεῖται· Λύχνα δ' ἀμμένα· οὐ καλῶς· 538. Λαχνῶδες τοὖδας] ἀνακοπτόμενος τοῦ κωμάσαι, ἕλκεται ὑπὸ τῆς τοῦ χώρου καλλονῆς εἰς τὸ κατακλιθῆναι αὐτοῦ· διὸ λέ-

ΚΥ. Φιλῶ μὲν τὸ πῶμα, μισῶ δὲ τὸ δέρμα.
ΟΔ. Μένων νῦν αὐτοῦ, πίνε, καὶ τέρπου Κύκλωψ.
ΚΥ. Πῶς οὖν με χρὴ τοῖς ἀδελφοῖς τοῦ πώματος φθονῆσαι;
ΟΔ. Ἔχων γὰρ αὐτὸς τιμιώτερος ἔσῃ.
ΚΥ. Μεταδοὺς κἀκείνοις, χρησιμώτερος δήπου.
ΟΔ. Ἀλλ' ὁ κῶμος πολλάκις ἐκβαίνει καὶ εἰς μάχας.
ΚΥ. Καίτοι μεθύω, ἀλλ' οὐδεὶς ἐπιβαλεῖ μοι χεῖρα.
ΟΔ. Ἀλλ' ὦ τὰν, τὸν μεθύοντα δεῖ μένειν οἴκοι.
ΚΥ. Ὁ πιὼν φιλεῖ κωμάζειν, εἰ μή τις ἠλιθίως ἔχῃ.
ΟΔ. Ἀλλ' ὅστις σοφὸς, οὐκ ἔξεισι μεθύων οὗτος.
ΚΥ. Σοί δ', ὦ Σιληνὲ, τί δοκεῖ περὶ τούτων;
ΣΙ. Μένειν· τί γὰρ δεῖ συμπότας ἄλλους ἔχειν;
ΚΥ. Οὐκοῦν τοὔδαφος τοῦτ' ἀνθέων ἐστὶ πλῆρες.
ΣΙ. Ἀλλὰ καὶ πρὸς θάλπος τοῦ ἡλίου οὐθὲν κωλύει πίνειν· διὸ καταβαλὼν σεαυτὸν, κατακλίθητι.
ΚΥ. Ἰδού· ἀλλὰ τί ποτ' ἐς τοὔπισθεν μεθίστης τὸν κρατῆρα;
ΣΙ. Ἵνα μή τις ἄλλοθεν παρελθὼν, κατακρατήσῃ.
ΚΥ. Οὔμενουν· ἀλλὰ σύγ', ὦ πονηρὲ, σοφίζῃ ἐκπιεῖν· κατάθες αὐτὸν εἰς μέσον. Σὺ δ', ὦ ξένε, λέγε νῦν, πῶς ἀκούεις; τί σε χρὴ προσαγορεύειν;
ΟΔ. Οὖτιν· τί δέ μοι χαρίσῃ, ὥστ' ἔχειν ἐπαινεῖν σε;
ΚΥ. Ὕστατον τῶν ἑταίρων θοινήσομαί σε πάντων.
ΟΔ. Καλόν γε τοῦτο ξένιόν μοι δίδως ἤδη!
ΚΥ. Σὺ δ', ὦ κάθαρμα τί δρᾷς; πίνεις τὸν οἶνον λάθρα;

---

γει, ὡς καλὸν τὸ ἔδαφος τοῦτο. 546. Ὕστερον] ἀπέξεσται ἐκ τῶν τοῦ Ὁμήρου Ὀδ. ἰ. στίχ. 369.

» Οὖτιν ἐγὼ πύματον ἔδομαι μετὰ οἷς ἑτάροισι.

ΚΥ. Παπαί· σοφόν γε τὸ ξύλον τῆς ἀμπέλου.
ΟΔ. Κᾂν μὲν σπάσῃ γε δαιτὶ πρὸς πολλῇ πολὺν,
Τέγξας ἄδιψον νηδὺν, εἰς ὕπνον βαλεῖς.
Ἢν δ' ἐκλίπῃς τι, ξηρανεῖ σ' ὁ Βάκχιος.
ΚΥ. (Ἰοὺ, ἰού·) ὡς ἐξένευσα μόγις, ἄκρατος ἡ χάρις.
Ὅδ' οὐρανός μοι συμμεμιγμένος δοκεῖ
Τῇ γῇ φέρεσθαι, τοῦ Διός τε τὸν θρόνον
Λεύσσω, τὸ πᾶν τε δαιμόνων ἁγνὸν σέβας.
Οὐκ ἂν φιλήσαιμ'· αἱ Χάριτες πειρῶσί με.
Ἅλις Γανυμήδην τόνδ' ἔχων ἀναπαύσομαι
Κάλλιστα νὴ τὰς Χάριτας· ἥδομαι δέ πως
Τοῖς παιδικοῖσι μᾶλλον, ἢ τοῖς θήλεσιν.
ΣΙ. Ἐγὼ γὰρ ὁ Διός εἰμι Γανυμήδης, Κύκλωψ;
ΚΥ. Ναὶ μὰ Δί' ὃν ἁρπάζω γ' ἐγὼ 'κ τοῦ Γαργάρου.
ΣΙ. Ἀπόλωλα, παῖδες· σχέτλια πείσομαι κακά.
ΧΟ. Μέμφῃ τὸν ἐραστὴν, κᾀντρυφᾷς πεπωκότι.
ΣΙ. Οἴ μοι! πικρότατον οἶνον ὄψομαι τάχα.
ΟΔ. Ἄγε δὴ, Διονύσου παῖδες, εὐγενῆ τέκνα,
Ἔνδον μὲν ὡνήρ· τῷ δ' ὕπνῳ παρειμένος,
Τάχ' ἐξ ἀναιδοῦς φάρυγος ὠθήσει κρέα.
Δαλὸς δ' ἔσωθεν αὐλίων ὠθεῖ καπνόν.
Παρευτρέπισται δ' οὐδὲν ἄλλο, πλὴν πυροῦν
Κύκλωπος ὄψιν. ἀλλ' ὅπως ἀνὴρ ἔσῃ.
ΧΟ. Πέτρας τὸ λῆμα κἀδάμαντος ἕξομεν.

---

572. Ἐξένευσα] ἐκνενευκέναι φησὶν ἐκ τῆς μέθης, ὅπόθ' ὁ οὐρανὸς αὐτῷ περιστρέφεται· διὰ τὸ γελοῖον εἰσήχθη ταῦτα· τὰ δὲ ἑξῆς καὶ πέρα βωμολοχίας.

ΚΥ. Παπαὶ, ὡς ἄξιόν γε τὸ ξύλον τῆς ἀμπέλου.

ΟΔ. Εἰμὲν πολὺν ἐπὶ πολλῇ ἐκπίοις βρώσει, καλῶς ἀρδεύσας τὴν γαςέρα, εἰς ὕπνον εὐθὺς τρέψῃ· εἰ δὲ ἐκλίποις τι, ξηρόν σε ὁ Βάκχος καταλείψει.

ΚΥ. Ἰοὺ, ἰού· ὡς ἐξένευσα μόλις· ἄκρατος ἡ χάρις· αὐτὸς δὲ οὐρανὸς δοκεῖ μοι αὐτῇ γῇ συμπεριστρομβεῖσθαι· δοκῶ μοι δὲ ὁρᾶν τὸν θρόνον τοῦ Διὸς, καὶ πάντα τὸν χορὸν τῶν θεῶν πέριξ· αἱ Χάριτες πειρῶσί με ἤδη, ἀλλ' οὐκ ἂν φιλήσαιμι αὐτάς· ἀρκεῖ μοι γὰρ οὑμὸς Γανυμήδης οὑτοσὶ νὴ τὰς χάριτας συναναπαύσασθαι· ἡ γὰρ χάρις αὕτη ἀπὸ τῶν παιδικῶν πολλῷ κρείττων ἔμοιγε, ἢ ἡ θήλεια.

ΣΙ. Τίς φής, ὦ Κύκλωψ; ὁ τοῦ Διὸς ἐγώ εἰμι Γανυμήδης;

ΚΥ. Νὴ Δι', ὃν νῦν ἀναρπάζω ἐκ Γαργάρου τῆς Ἴδης.

ΣΙ. Ἀπόλωλ', ὦ παῖδες· σχέτλια γὰρ πείσομαι.

ΧΟ. Μέμφου τὸν ἐραςὴν, καὶ γὰρ καὶ ἐντρυφᾷς αὐτῷ πεπωκότι.

ΣΙ. Οἴμοι ὡς πικρᾶς τῆς τοῦ οἴνου χάριτος ἔσομαι ἀπολελαυκώς.

ΟΔ. Ἄγετ' οὖν ὑμεῖς, ὦ παῖδες Διονύσου, τέκνα εὐγενῆ· ὁ γὰρ ἀνὴρ ἔνδον· κατωφερὴς δ' ὢν πρὸς ὕπνον ἤδη, ἐκεῖνος μὲν αὐτίκα μάλα ἐξεμέσει, ἃ κατεβρόχθησεν οὕτως ἀναισχύντως· ὑμῖν δ' ὁ δαλὸς ἐντὸς τοῦ ἄντρου ἤδη καπνίζει, πρὸς οὐδὲν ἄλλο προηυτρεπισμένος, ἢ τὸν τοῦ Κύκλωπος ἐκπυρῶσαι ὀφθαλμόν· ἀλλὰ νῦν γε ὁρᾶθ' ὅπως ἄνδρες ἔσεσθε ἀγαθοί.

ΧΟ. Θάῤῥει τούτου γ' ἕνεκα· ὡς γὰρ στεῤῥὸν καὶ ἀδαμάν-

---

587. Φάρυγος] ἀφῃρέθη τὸ ἕτερον τῶν Γ. διὰ τὸ μέτρον· εἴληπται δὲ κἀνταῦθα

Χώρει δ' ἐς οἴκους, πρὶν τι τὸν πατέρα παθεῖν
Ἀπάλαμνον, ὥς σοι τἀνθάδ' ἐστὶν εὐτρεπῆ.
ΟΔ. Ἥφαιστ' ἄναξ Αἰτναῖε, γείτονος κακοῦ
Λαμπρὸν πυρώσας ὄμμ', ἀπαλλάχθηθ' ἅπαξ,
Σύ τ', ὦ μελαίνης Νυκτὸς ἐκπαίδευμ', Ὕπνε,
Ἄκρατος ἐλθὲ θηρὶ τῷ θεοστυγεῖ,
Καὶ μὴ 'πὶ καλλίστοισι Τρωϊκοῖς πόνοις
Αὐτόν τε, ναύτας τ' ἀπολέσητ' Ὀδυσσέα
Ὑπ' ἀνδρὸς, ᾧ θεῶν οὐδὲν, ἢ βροτῶν μέλει.
Ἢ τὴν τύχην μὲν δαίμον' ἡγεῖσθαι χρεὼν,
Τὰ δαιμόνων δὲ τῆς τύχης ἐλάσσονα.
ΧΟ. Λήψεται τὸν τράχη-
Λον ἐντόνως ὁ καρκίνος
Τοῦ ξένων δαιτυμόνος· πυρὶ γὰρ τάχα
Φωσφόρους ὀλεῖ κόρας·
Ἤδη δαλὸς ἠνθρακωμένος.
Κρύπτεται εἰς σποδιὰν δρυὸς ἄσπετον ἔρνος.
Ἀλλ' ἴτω Μάρων,
Πρασσέτω μαινόμενος·
Ἐξελέτω βλέφαρον
Κύκλωπος, ὡς πίῃ κακῶς.
Κἀγὼ τὸν φιλοκισσοφόρον Βρόμιον
Ποθεινὸν εἰσιδεῖν θέλω,
Κύκλωπος λιπὼν ἐρημίαν.
Ἆρ' ἐς τοσόνδ' ἀφίξομαι;

τινον ὅλως ἡμῶν ἑξόντων φρόνημα περὶ τούτου, οὕτω γνώμης ἔχε· ἀλλὰ σύγε σπεύσας εἴσιθι εἰς τὸ ἄντρον, πρὶν ἢ τὸν πατέρα ἡμῶν παθεῖν τι ἀνόσιον· τὰ δ' ἀφ' ἡμῶν σοι πρόθυμά ἐςι πάντα.

ΟΔ. Ἥφαιστε, ἄναξ τῆς Αἴτνης ταύτης, γείτονος ἀτασθάλου ἐκπυρώτας τὸν ὀφθαλμὸν, ἀπαλλάγηθι τούτου· καὶ σὺ, ὦ ὕπνος, τέκνον τῆς ζοφώδους νυκτὸς, ὡς ἀθρόος ἐλθὲ τῷ θεοστυγεῖ τούτῳ θηρίῳ· μήδ' ἐᾶτ' ἐμέτ' αὐτὸν, ἄνδρα πολλάκις ἀριστεύσαντα ἐν Τροίᾳ, καὶ τοὺς ἐμοὺς ἑταίρους ὑπ' ἀνδρὸς κακούργου ἀπολεσθῆναι· ᾧ οὐδὲν οὔτε θεῶν, οὔτε θνητῶν, φησὶ, μέλει· εἰ δὲ μὴ, ἀνάγκη τοῖς ἀνθρώποις θεὸν μὲν νομίζειν τὴν τύχην· τοὺς δὲ θεοὺς ἥττους ἐκείνης εἶναι.

ΧΟ. Αὐτίχ' ὁ καρκῖνος ἰσχυρῶς τὸν τοῦ ξενοκτόνου καταλήψεται τράχηλον· ὁ γὰρ δαλὸς, μέγας δὴ ἀκρέμων δρυὸς, ἀνθρακωθεὶς ὑπὸ τὴν σποδὸν, διαφθερεῖ αὐτῷ τὴν ὄψιν· ἀλλ' ἴτω οἶνος, ταραττέτω ἐν μανίᾳ, ἐξελὼν τὸ τοῦ Κύκλωπος ὄμμα, ἵνα μάθῃ πίνειν πρὸς βλάβην ἑαυτοῦ· ἐγὼ δὲ τὴν Κυκλωπίαν καταλιπὼν ἐρημίαν, ἴδοιμι τὸν ποθεινὸν ἔμοιγε Βρόμιον, τὸν μάλιστα χαίροντα κισσῷ στεφανοῦσθαι· ἆρ' ἀφίξομαί ποτε εἰς τοῦτο;

---

ὁ φάρυγξ ἀντὶ τοῦ λάρυγξ. 593. Παθεῖν ἀπάλαμνον] ἀμήχανα· ἐν ἄλλοις κεῖται, μαθεῖν ἀλαλαγμόν. 604. Καρκίνος] τὴν πυράγραν ἔοικεν ἐννοεῖν.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΟΔΥΣΣΕΥΣ, ΧΟΡΟΣ, ΚΥΚΛΩΨ.

ΟΔ. Σιγᾶτε πρὸς θεῶν, θῆρες, ἡσυχάζετε,
Συνθέντες ἄρθρα στόματος· οὐδὲ πνεῖν ἐῶ,
Οὐ σκαρδαμύσσειν, οὐδὲ χρέμπτεσθαί τινα,
Ὡς μὴ 'ξεγερθῇ τὸ κακὸν, ἕς τ' ἂν ὄμματος
Ὄψις Κύκλωπος ἐξαμιλληθῇ πυρί.
ΧΟ. Σιγῶμεν ἐγκάψαντες αἰθέρα γνάθοις.
ΟΔ. Ἄγε νῦν, ὅπως ἅψεσθε τοῦ δαλοῦ χεροῖν,
Ἔσω μολόντες· διάπυρος δ' ἐστὶν καλῶς.
ΧΟ. Οὐκοῦν σὺ τάξεις, οὕστινας πρώτους χρεὼν
Καυστὸν μοχλὸν λαβόντας, ἐκκάειν τὸ φῶς
Κύκλωπος, ὣς ἂν τῆς τύχης κοινώμεθα.
Η.Α. Ἡμεῖς μὲν ἐσμὲν μακρότεροι, πρὸ τῶν θυρῶν
Ἑστῶτες, ὠθεῖν ἐς τὸν ὀφθαλμὸν τὸ πῦρ.
Η.Β. Ἡμεῖς δὲ χωλοί γ' ἀρτίως γεγενήμεθα.
Η.Α. Ταυτὸν πεπόνθατ' ἆρ' ἐμοί.
Η.Β. Τοὺς γὰρ πόδας
Ἑστῶτες ἐσπάσθημεν, οὐκ οἶδ', ἐξ ὅτου.
ΟΔ. Ἑστῶτες ἐσπάσθητε;
Η.Β. Καὶ τά γ' ὄμματα
Μέστ' ἐστὶν ἡμῶν κόνεος, ἢ τέφρας ποθέν.
ΟΔ. Ἄνδρες πονηροὶ, κοὐδὲν οἵδε σύμμαχοι.

---

617. Θῆρες] τοὺς Σατύρους καλεῖ θῆρας, διὰ τὸ κτηνῶδες εἶδος αὐτῶν.

622. Ἐγκάψαντες] κάπτειν ἐστὶ τὸ ἐν τῇ συνηθείᾳ τροπῇ τῶν φίλων εἰς δα-

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΟΔΥΣΣΕΥΣ, ΧΟΡΟΣ, ΚΥΚΛΩΨ.

ΟΔ. Ὦ Σιγᾶθ' ὑμεῖς πρὸς θεῶν, σίγ' ἔχετε, ὦ θηρία, ἐμφράξαντες πανταχόθεν τὸ στόμα, μήτ' ἐκπνεῖν φημι, μήτε σκαρδαμύττειν, μήτε χρέμπτεσθαι μηδένα, ἵνα μὴ διϋπνισθῇ ὁ κάκιστ' ἀπολούμενος Κύκλωψ, πρὶν ἢ ἐκζέσαν τὸ πῦρ ἐν τῷ ὀφθαλμῷ αὐτοῦ, ἐκθλίψαι τὴν κόρην. ἄρδην

ΧΟ. Σιγῶμεν, ὡς πολὺν τοῦ ἀέρος τοῖς γνάθοις κατασπῶντες.

ΟΔ. Ἄγετε δὲ νῦν, εἴσιτε ἀροῦντες τὸν δαλὸν ἡμμένον ἤδη καὶ διάπυρον ὄντα.

ΧΟ. Ἀλλὰ σὺ τάξεις, οὓς ἡμῶν πρώτους χρὴ, ἄραντας τὸν δαυλὸν, ἐγκαθεῖναι τῷ ὀφθαλμῷ, ἵν' ἡμῶν ᾖ κοινὸν τὸ τῆς τύχης.

ΗΜ. Ἡμᾶς μὲν ἐᾶτε πόῤῥωθεν, ἀπὸ τῶν προθύρων ἑςῶτας, κατωθεῖν τὸν δαυλὸν ἐς τὸν ὀφθαλμόν.

ΗΜ. Ἀλλ' ἡμεῖς αὖθις ἀρτίως, οὐκ οἶδ' ὅπως αἴφνης, χωλοὶ ἐσμὲν ἀποβεβηκότες.

ΗΜ. Ταὐτὸν ἄρ' ἡμῖν ἐστε πεπονθότες· ἑστῶτες γὰρ οὐκ οἶδ' ἐξ ὅτου σπασμοὺς ἐν τοῖς σκέλεσιν ᾐσθανόμεθα.

ΟΔ. Ἑστῶτες οὕτω πεπόνθατε τοῦτο;

ΧΟ. Οὐμὴν ἀλλὰ καὶ τὰ ὄμμαθ' ἡμῶν κονιόςποθεν, ἢ τέφρας ἐστὶ ἤδη μεστά.

ΟΔ. Κακοί γε ὑμεῖς, κοὐδὲν ὑγιὲς εἰς συμμαχίαν.

---

σεα, χάπτειν. 626. Καὶ τὸν μοχλὸν] ἐν ἄλλοις, καυστὸν μοχλόν.

ΧΟ. Ὁτιὴ τὸ νῶτον τὴν ῥάχιν τ' οἰκτείρομεν;
Καὶ τοὺς ὀδόντας ἐκϐαλεῖν οὐ βούλομαι
Τυπτόμενος, αὕτη γίγνεται πονηρία.
Ἀλλ' οἶδ' ἐπῳδὴν Ὀρφέως ἀγαθὴν πάνυ,
Ὡς αὐτόματον τὸν δαλὸν, ἐς τὸ κρανίον
Στείχονθ', ὑφάπτειν τὸν μόνωπα παῖδα γῆς.
ΟΔ. Πάλαι μὲν ᾔδειν σ' ὄντα τοιοῦτον φύσει·
Νῦν δ' οἶδ' ἄμεινον. τοῖσι δ' οἰκείοις φίλοις
Χρῆσθαί μ' ἀνάγκη. χειρὶ δ' εἰ μηδὲν σθένεις,
Ἀλλ' οὖν ἐπεγκέλευέ γ', ὡς εὐψυχίαν
Φίλων κελευσμοῖς τοῖσι σοῖς κτησώμεθα.
ΧΟ. Δράσω τάδ'. ἐν τῷ Καρὶ κινδυνεύσομεν.
Κελευσμάτων δ' ἕκατι τυφέσθω Κύκλωψ.
Ἰώ! ἰώ!
Γενναιότατ' ὠθεῖτε, σπεύδετε·
Ἐκκαίετε τὴν ὀφρὺν θυρὸς
Τοῦ ξενοδαίτα
Τύφετ' ὦ, καίετ' ὦ.
Τὸν Αἴτνας μηλονόμον
Τόρνευ', ἕλκε, μή σ' ἐξοδυνηθεὶς
Ἀράσῃ τι μάταιον.
ΚΥ. Ὤ μοι! κατηνθρακώμεθ' ὀφθαλμοῦ σέλας.
ΧΟ. Καλός γ' ὁ παιάν· μέλπε μοι τόνδ', ὦ Κύκλωψ.
ΚΥ. Ὤ μοι μάλ' ὡς ὑϐρίσμεθ', ὡς ὀλώλαμεν!

---

639. Ὅτι ἤ] παρέλκει τὸ ἤ, πλὴν διὰ τὸ μέτρον. 648. Ἐν τῷ Καρὶ κινδυνεύσομεν] παροιμία ὁμοία τῇ ἐν τῇ συνηθείᾳ, ὁ φρόνιμος τῇ τοῦ ἄφρονος χειρὶ τῆς ὀπῆς ἐκϐαλ-

ΧΟ. Ἐντεθύμημαι γὰρ, οἷα περιμένει με τύμπανά τε καὶ κύφωνες, τυπτόμενον τὰ νῶτα, καὶ τοὺς ὀδόντας ἐκσπώμενον· ταύτην γάρ μοι αὐτὸς ἐπιμετρεῖς κακίαν. ἀλλ' ἐγῷδ' ἐπῳδήν τινα τοῦ σοφωτάτου Ὀρφέως σωτήριον, ὥστ' αὐτόματον ἐκπηδήσαντα τὸν δαυλὸν ἐμπαγῆναι τῷ ὀφθαλμῷ, καὶ ἐξαπολέσαι τὸν θεοστυγῆ τοῦτον παῖδα τῆς γῆς.

ΟΔ. Οὐδὲ πάλαι ἔλαθές με τοιοῦτος τὴν φύσιν ὢν, καὶ νῦν μᾶλλον ἔκδηλος γέγονάς μοι. ἀνάγκη μοι ἄρα καταφυγεῖν τοῖς ἐμαυτοῦ ἑταίροις· ὑμῖν δὲ μελέτω, εἰ μὴ δύνασθε ἄλλο παρακελεύεσθαί γε, ἵνα τοῦτο γοῦν ὑμῶν ἀπουαίμεθα, τόλμην τινὰ ἐκ τῶν παρακελευσμάτων ὑμῶν προσλαβόντες.

ΧΟ. Ἔσται σοι τοῦτο γ' ἀφ' ἡμῶν, ὅσον βούλει· ἐν γὰρ τῷ Καρὶ οὕτως ἡμῖν ὁ κίνδυνος ἔσται· ὅσον γὰρ παρακελεύσεων ἕνεκα πυρπολείσθω ὁ Κύκλωψ.

Ἰὼ, ἰὼ, σπεύδετ', ὠθεῖτε γενναίως, μὴ φείδεσθε, μηδ' ἀνίετε τῆς ἀλκῆς· ἀλλ' ἄνδρες ἀγαθοὶ γινόμενοι, ἐμπρήσατε τὴν ὀφρὺν τοῦ ξενοκτόνου τούτου θηρίου· ὦ καίεθ' ὑμεῖς, τύφετε τὸν ἄγριον τοῦτον τῆς Αἴτνης ποιμένα· περιείλισσε τὸν μοχλὸν, κάθελκε στυβαρῶς, ἵνα μὴ ἐκπηδήσας ἐκ τῶν ὀδύνων, δράσῃ ὑμᾶς τι κακόν.

ΚΥ. Οἴμοι· κατηνθράκωμαι τὸν ὀφθαλμὸν ὁ τάλας.

ΧΟ. Ὡς καλὸς ὁ παιάν· μέλπε μοι αὖ τὸν αὐτὸν, ὦ Κύκλωψ.

ΚΥ. Οἴμοι αὖ πάλιν, ὡς ὕβρισμαι, ὡς ἀπόλωλα· ἀλλ' οὐκ

λει τὸν ὄφιν· εἰ γὰρ Κᾶρες ἐπὶ μισθῷ στρατευόμενοι, ἔθνησκον ὑπὲρ τῶν μισ-

Ἀλλ' οὔτι μὴ φύγητε τῆσδ' ἔξω πέτρας
Χαίροντες, οὐδὲν ὄντες· ἐν πύλαισι γὰρ
Σταθεὶς φάραγγος, τάσδ' ἐναρμόσω χέρας.
ΧΟ. Τί χρῆμ' ἀϋτεῖς, ὦ Κύκλωψ;
ΚΥ. Ἀπωλόμην.
ΧΟ. Αἰσχρός γε φαίνῃ.
ΚΥ. Κἀπὶ τοῖσδέ γ' ἄθλιος.
ΧΟ. Μεθύων, κατέπεσες ἐς μέσους τοὺς ἄνθρακας;
ΚΥ. Οὖτίς μ' ἀπώλεσ'.
ΧΟ. Οὐκ ἄρ' οὐδείς σ' ἠδίκει.
ΚΥ. Οὖτίς με τυφλοῖ βλέφαρον.
ΧΟ. Οὐκ ἄρ' εἶ τυφλός.
ΚΥ. Ὡς δὴ σύ.—
ΧΟ. Καὶ πῶς σ' οὔτις ἂν θείη τυφλόν;
ΚΥ. Σκώπτεις· ὁ δ' Οὖτις, ποῦ 'στιν;
ΧΟ. Οὐδαμοῦ, Κύκλωψ.
ΚΥ. Ὁ ξένος, ἵν' ὀρθῶς ἐκμάθῃς, μ' ἀπώλεσεν,
Ὁ μιαρὸς, ὅς μοι δοὺς τὸ πῶμα, κατέκλασεν.
ΧΟ. Δεινὸς γὰρ οἶνος, καὶ παλαίεσθαι βαρύς.
ΚΥ. Πρὸς θεῶν πεφεύγασ', ἢ μένουσ' εἴσω δόμων;
ΧΟ. Οὗτοι σιωπῇ, τὴν πέτραν ἐπήλυγα
Λαβόντες, ἑστήκασι.
ΚΥ. Ποτέρας τῆς χερός;
ΧΟ Ἐν δεξιᾷ σου.
ΚΥ. Ποῦ;
ΧΟ. Πρὸς αὐτῇ τῇ πέτρᾳ.
Ἔχεις;

---

Θεδοτούντων. 666. Οὖτις] τοῦθ' ὁ μὲν Κύκλωψ ἐκλαμβάνει ὡς κύριον ὄνομα τοῦ Ὀδυσσέως· ἐκεῖνοι δὲ, ὡς ἀρνητικὸν ἀντὶ τοῦ οὐδείς· ἐκ δὲ τῆς Ὁμήρου Ὀδυσ-

ἂν ἐκφύγοιτε τῆσδε τῆς πέτρας ἔξω χαίροντες, οὐτιδανοὶ αὐτοὶ καὶ καθάρματα ὄντες· παρὰ γὰρ τῇ εἰσόδῳ τοῦ ἄντρου στὰς, ἐναρμόσω διατείνας τὰς χεῖρας ταύτας.

ΧΟ. Τί ταῦτα θροεῖς, ὦ Κύκλωψ;

ΚΥ. Ἀπωλόμην.

ΧΟ. Ὡς αἰσχρὸς εἶ τὸ πρόσωπον, πόθεν τοῦτο;

ΚΥ. Οὐ μᾶλλον τοῦτ', ἢ καὶ ἀθλιώτατος πάντων.

ΧΟ. Μεθύων, ὡς ἔοικε, παρωλίσθησας εἰς τὸ πῦρ.

ΚΥ. Οὖτις ἀπώλεσέ με.

ΧΟ. Οὐδεὶς ἄρα ἠδίκησέ σε.

ΚΥ. Οὖτίς με ἐξωμμάτωσε.

ΧΟ. Οὐκ ἄρα τυφλὸς εἶ.

ΚΥ. Οὕτω δὴ σύ —

ΧΟ. Πῶς γὰρ ἂν οὔτις τυφλώσειέ σε;

ΚΥ. Σκώπτεις με· ἀλλὰ ποῦ ἐςιν Οὖτις.

ΧΟ. Οὐδαμοῦ οὔτις τίς ἐστιν ὑπάρχων.

ΚΥ. Ὁ ξένος φημὶ, τὸ μιαρὸν ἐκεῖνον ἀνθρώπιον, ὡς μάθῃς σαφῶς, ἀπώλεσέμε. ὃς δούς μοι πιεῖν, παρέλυσε τῷ ποτῷ.

ΧΟ. Δεινὸς γὰρ ὁ οἶνος καὶ βαρὺς καταπαλαισθῆναι.

ΚΥ. Πρὸς θεῶν πεφεύγασιν ἐκεῖνοι, ἢ ἔτι ἐντὸς ἐμφιλοχωροῦσιν;

ΧΟ. Ἐνταῦθ' ὑπὸ τὴν πέτραν ἑστήκασι καταδεδυκότες.

ΚΥ. Πρὸς ποτέραν ταῖν χεροῖν;

ΧΟ. Ἐν δεξιᾷ.

ΚΥ. Ποῦ; ποῦ;

ΧΟ. Πρὸς αὐτῇ γε τῇ πέτρᾳ· ἔχεις νῦν;

---

σείας ἀπίξεσται καὶ τοῦτο. 671. Κατέκλασε] ἐν ἄλλοις δὲ, κατέκαυσε. οἴεται

ΚΥ. Κακόν γε πρὸς κακῷ· τὸ κρανίον
Παίσας κατέαγα.
ΧΟ. Καὶ σε διαφεύγουσί γε.
ΚΥ. Οὐ τῇδ', ἐπεὶ τῇδ' εἶπας;
ΧΟ. Οὐ ταύτῃ λέγω.
ΚΥ. Τῇ γάρ;
ΧΟ. Περιάγουσίν σε πρὸς τἀριστερά.
ΚΥ. Οἴ μοι! γελῶμαι· κερτομεῖτέ μ' ἐν κακοῖς.
ΧΟ. Ἀλλ' οὐκέτ'· ἀλλὰ πρόσθεν Οὖτις ἐστί σου.
ΚΥ. Ὦ παγκάκιστε, ποῦ ποτ' εἶ;
ΟΔ. Τηλοῦ σέθεν
Φυλακαῖσι φρουρῶ σῶμ' Ὀδυσσέως τόδε.
ΚΥ. Πῶς εἶπας; ὄνομα μεταβαλὼν καινὸν λέγεις;
ΟΔ. Ὅπερ γ' ὁ φύσας μ' ὠνόμαζ' Ὀδυσσέα.
Δώσειν δ' ἔμελλες ἀνοσίου δαιτὸς δίκας.
Κακῶς γὰρ ἂν Τροίαν γε διεπυρωσάμην,
Εἰ μή σ' ἑταίρων φόνον ἐτιμωρησάμην.
ΚΥ. Αἲ, αἴ! παλαιὸς χρησμὸς ἐκπεραίνεται.
Τυφλὴν γὰρ ὄψιν ἐκ σέθεν σχήσειν μ' ἔφη,
Τροίας ἀφορμηθέντος. ἀλλὰ καὶ σέ τοι
Δίκας ὑφέξειν ἀντὶ τῶνδ' ἐθέσπισεν,
Πολὺν θαλάσσῃ χρόνον ἐναιωρούμενον.
ΟΔ. Κλάειν σ' ἄνωγα· καὶ δέδραχ', ὅπερ λέγω.
Ἐγὼ δ' ἐπ' ἀκτὰς εἶμι, καὶ νεὼς σκάφος
Ἥσω 'πὶ πόντον Σικελὸν, ἔς τ' ἐμὴν πάτραν.
ΚΥ. Οὐ δῆτ', ἐπεί σε, τῆσδ' ἀποῤῥήξας πέτρας,
Αὐτοῖσι σὺν ναύταισι συντρίψω βαλών.
Ἄνω δ' ἐπ' ὄχθον εἶμι, καίπερ ὢν τυφλὸς,
Δι' ἀμφιτρῆτος τῆσδε προσβαίνων ποδί.
ΧΟ. Ἡμεῖς δὲ, συνναῦταί γε τοῦδ' Ὀδυσσέως
Ὄντες, τὸ λοιπὸν Βακχίῳ δουλεύσομεν.

---

ἔνδοθεν αὐτῷ τὸ πῦρ ἐπιζέσαι ἐκ τοῦ οἴνου. 701. Δι' ἀμφιτρῆτος] ἔοικε τὸ

ΚΥ. Ἔχω κακὸν ἐπὶ κακῷ, τὸ κρανίον ἀράξας πρὸς τὴν πέτραν.

ΧΟ. Καὶ μὴν διαφεύγουσί σε.

ΚΥ. Οὐκ ἐνταῦθα; οὐκ εἶπας ὧδε;

ΧΟ. Οὐ ταύτῃ λέγω.

ΚΥ. Πῇ δέ;

ΧΟ. Ἀντιπεριάγουσι πρὸς τἀριστερά.

ΚΥ. Οἴμοι· ἐγγελᾶτε. κερτομεῖτέ με ἐν κακοῖς.

ΧΟ. Ἀλλ' οὐκέτ' ἄν· ἔμπροσθεν γὰρ σοῦ πάρεστιν Οὖτις.

ΚΥ. Ποῦ, ὦ παγκάκιστε, ποῦ ποτ' εἶ;

ΟΔ. Ὡς πόῤῥω σοῦ γε, τὸ τοῦ Ὀδυσσέως φυλάττω σῶμα.

ΚΥ. Τί φής; πῶς μεταβαλὼν, καινὸν ὄνομα λέγεις;

ΟΔ. Ὃ ὁ πατὴρ ἔθηκέ μοι προσαγορεύσας· σὺ δ' ἤμελλες ἄρα δίκην μοι δώσειν τῆς ἀνοσίου βορᾶς· ἄλλως γὰρ μάτην ἂν ηὔχουν Τροίαν τὴν μεγάλην ἐμπρῆσαι, τῷ τῶν ἑταίρων ἀνοσίῳ καὶ παρανόμῳ φόνῳ μὴ ἐπαξιῶν ἀξίως.

ΚΥ. Αἶ. αἶ· συνῆκα. ἤδη μοι πέρας ἔχει, παλαιὸς χρησμὸς ἤδη ἀφαιρεθήσεσθαί με τὴν ὄψιν ὑπὸ σοῦ ἐπανήκοντος ἀπὸ Τροίας· ἀλλ' ὁ αὐτὸς οὐκ ὀλίγ' ἀντὶ τούτων εἴρηκε πείσεσθαι καί σε κατὰ θάλασσαν, πολὺν χειμαζόμενον χρόνον.

ΟΔ. Ἐγὼ δὲ φημί σε οἰμώζειν· καὶ τοῦτό μοι πέπρακται ἤδη· ἀλλ' ἴωμεν ἐπὶ τὴν ἀκτὴν, ὅθεν ἀναχθέντες πλευσούμεθα ἐς φίλην πατρίδα γαίαν, τὸν Σικελικὸν διαβάλλοντες πέλαγος.

ΚΥ. Οὐ δῆτα· ἀποῤῥήξας γὰρ τῆς πέτρας ταυτησὶ, αὐτόν σε καὶ τοὺς σοὺς ἅμα συντρίψω ναύτας· εἶμι δὲ ἄνω, προσβαίνων διὰ τῆς διασφάγος ταύτης, καὶ μὴ ὁρῶν.

ΧΟ. Ἡμεῖς δὲ συμπλεύσαντες Ὀδυσσεῖ, τὸ λοιπὸν δουλεύσομεν τῷ Βάκχῳ.

---

σπήλαιον καὶ ἑτέραν ἔχειν ἔνδοθεν διέξοδον πρὸς τὸ ὄρος ἄνω, δι' ἧς ὁ Κύκλωψ ἐθέλει ἀναῤῥιχᾶσθαι. ἐχρήσατο δὲ τῇ λέξει ὁμοίως καὶ Σοφοκλῆς ἐν Φιλοκτήτῃ στίχ. 16. δι' ἀμφιτρῆτος αὐλίου.

# ΔΑΝΑΗ.

# ΥΠΟΘΕΣΙΣ.

ʼΑΚΡΙΣΙΟΣ, Ἄργους ὢν βασιλεὺς, κατὰ χρησμὸν δή τινα τὴν παῖδα Δανάην κατάκλειστον ἐν τοῖς παρθενῶσιν ἐφύλαττε καλλίστην οὖσαν· ἧς ἐρασθεὶς ὁ Ζεὺς, ἐπεὶ οὐκ εἶχεν, ὅπως μιχθείη αὐτῇ, χρυσὸς γενόμενος, ῥυεὶς διὰ τοῦ τέγους εἰς τὸν κόλπον τῆς παρθένου, ἐγκύμονα ἐποίησεν. Ἐξήκοντος δὲ τοῦ χρόνου, βρέφος τὸν Περσέα ἔτεκε. Τοῦτο μαθὼν Ἀκρίσιος, εἰς κιβωτὸν ἀμφοτέρους, τήν τε μητέρα καὶ τὸ βρέφος, ἐνέβαλεν κελεύσας ῥίπτειν κατὰ τῆς θαλάσσης. Ἰδοῦσαι δὲ ταῦτα αἱ Νηρηΐδες καὶ κατελεήσασαι τὸ γεγονὸς, ἐμβάλλουσι τὴν κιβωτὸν εἰς δίκτυα Σεριφίων ἁλιέων. Κἀντεῦθεν περιεσώθησαν ἥτε μήτηρ, καὶ τὸ βρέφος, ὅπερ ἀνδρωθὲν Περσεὺς ὠνομάσθη.

## ΤΑ
## ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΕΡΜΗΣ.
ΔΑΝΑΗ.
ΤΡΟΦΟΣ.
ΑΚΡΙΣΙΟΣ.
ΑΓΓΕΛΟΣ.
ΧΟΡΟΣ.
ΑΘΗΝΑ.

# ΔΑΝΑΗ.

ΕΡ. ΔΟΜΟΙ μὲν οἵδ' εὔπυργά τ' ἐρύματα χθονὸς
Οὐκ ἐν πολυχρύσοισιν ἤσκηται χλιδαῖς·
Ἀρχὴν δὲ τῶνδε καὶ θεῶν ἱδρύματα
Ἀκρίσιος εἴληχεν τύραννος τῆσδε γῆς·
Ἕλλησι δ' Ἄργος ἡ πόλις κικλήσκεται.
Οὗτος δ', ἔρωτι παιδὸς ἄρσενος σχεθεὶς
Πυθῶδ' ἀφῖκτο, καὶ λέγει Φοίβῳ τάδε·
Πῶς ἂν γένοιτο σπέρμα παιδὸς ἐν δόμοις,
Τίνος θεῶν βροτῶν τε πρευμενοῦς τυχών.
Κεῖνος δὲ δυσξύμβλητον ἐξήνεγκ' ὄπα·
Ἔσται μὲν, ἔσται παιδὸς ἄρσενος τόκος
Οὐκ ἐξ ἐκείνου· πρῶτα γὰρ θῆλυν σπορὰν
Φῦσαι δεήσει· κᾆτα πῶς κείνη ποτὲ,
Εὐνὴν κρυφαίαν γνοῦσα, καὶ μὴ γνοῦσα δὴ,
Ὑπόπτερον λέοντα τέξεται πατρὶ,
Ὃς τῆσδέ γ' ἄρξει χάτέρας πολλῆς χθονός.
Τοιαῦτα ἀκούσας Λοξίου μαντεύματα,
Γάμων ἀπείχεθ'· ὁ δέ γε μὲν τίκτει λαθὼν,
Πρὸς τοῦ παρόντος ἱμέρου νικώμενος.
Δανάην δὲ πρωνόμασε τήνδ', ὅθ' οὕνεκα
Πολὺς παρῆλθεν εἰς γονὴν παίδων χρόνος.
Ἐν παρθενῶσι δ' εὐθὺς, οἷς ἐδείματο,
Αἴδωσιν Ἀργείαισιν εὔφρουρον κόραις

Εἰς ἀνδρὸς ὄψιν εὐλαβούμενον μολεῖν.
Εἶθ' ὡς ὁ μακρὸς ηὔξανεν ταύτην χρόνος,
Καὶ κάλλος εἶχεν ἔξοχον καθ' Ἑλλάδα,
Φίλτροις ἀφύκτοις Ζεὺς κατασχεθεὶς πατὴρ
Εὐνῇ συνελθεῖν λάθρα πῶς ἠβούλετο.
Σαφῶς δὲ πείθειν οὐκ ἔχων, εἰς μηχανὴν
Τοιάνδ' ἐχώρησ', ὡς ἄπυρος χρυσὸς γεγὼς,
Ποθεινὸν εἰδὼς τοῦτο κτῆμα τοῖς βροτοῖς,
Διὰ στέγους ῥεύσειεν ἐν χερσὶν κόρης.
Ἡ δ' οὖν, μὴ γνοῦσα τὸν κεκρυμμένον δόλον,
Κόλποισι τὸν θεὸν εἰσρέοντ' ἐδέξατο.
Χρόνῳ δ' ἑαυτὴν ὡς κατεῖδ' ἐγκύμονα
Εἰς θαῦμ' ἐσῄει, κἀξεπέπληκτο σαφῶς.
Ὡς εἰς τόδ' ἦλθεν, μέμψιν εὐλαβουμένην.
Φυγῇ δὲ λάθρα τῆσδε γῆς ὁρμωμένην.
Μαθὼν πατήρ νιν, ἐγκατάκλειστον δόμοις
Ὀργῇ χολωθεὶς καὶ σκότῳ κρύψας ἔχει,
Τἀληθὲς ὄψει προσκοπούμενος μαθεῖν.
Κἂν ταῦτ' ἀληθῆ καὶ σοφῶς ἔχοντ' ἴδῃ,
Ἔγνωκεν ἄμφω ποντίους ἀφιέναι,
Τὴν παῖδα καὶ τὸ τεχθέν. ὧν δέ γ' ἐστάλην,
Μύθους Δανάῃ τούσδ' εὐπροσηγόρους ἄγων
Ἐκ Διὸς ἀφίξομαι τάχιστα σημανῶν.
Ὑπηρέτην γὰρ ὄντα τἀπεσταλμένα
Πράσσειν προθύμως, ὅςτις ἂν γ' ῇ νουνεχής.

ΧΟ. Τίς ὁ καινότροπος οὗτος μῦθος
Κατ' ἐμὰν ἥκεν ἀκουάν;
Ἔνθ' ἀσπερχὲς μενεαίνουσα

Τοῖσδε δώμασι κοιράνου ἀμφίδοξος πελάζω.
Τίς δεσπότιν ἐμὴν Δανάην
Βάξις ἔχει κατὰ πτόλιν;
Ἣν μή ποτ᾽ ὤφελ᾽ εἰς ὦτα φέρειν
Ὁ πρῶτος τάδε φράσαι τολμήσας,
Ὡς ἐγκύμων ὤφληται, κρυφθεῖσα λέκτροις
Ἀνδρός· πατὴρ δέ μιν κλῄσας,
Ἐν παρθενῶσι σφαγῖσι δέμας φυλάσσει.
Ταῦτ᾽ ἐτήτυμα μαθεῖν θέλω.
Ἀλλ᾽ εἰσορῶ γὰρ τύραννον χθονὸς τῆσδ᾽
᾽Αργείας ᾽Ακρίσιον πρὸ δόμων στείχοντα·
Φυγῇ βαρὺς ὡς δόξαι κέχρ.

**ΑΚ.** Σὺ δ᾽, εἰ κατ᾽ οἴκους εὐνοῶν ἐτύγχανες,
Οὐκ ἄν ποτ᾽ ἦλθες εἰς τόδε θράσους.

Λείπει τὰ λοιπά.

ΤΕΛΟΣ ΤΟΥ ΕΚΤΟΥ ΤΟΜΟΥ.

# ΠΑΡΟΡΑΜΑΤΑ.

14. 18. μόνος. 22. 22. ὥστε. 38. 1. οὔτ' ἐν Ἀργείοις. 40. 23. ἐς
59. 2. ἢ. 61. 22. οἴκτειρον. 77. 11. ... 77. 15. σὺν. 88. 11.
101. 22. οἶκον. 110 15. παῖδες. 111. 25. ἀτοπίαι 132. 10. καθέστηχ'.
11. μηκῦναι. 133. 24. οὐδὲ δόρυ. 135. 24. ἡγεμόνων. 142. 4. κρύπτει.
142. 9. χεὶρ. 144. 18. τέκνων. 146. 24. σὺ φθονῶ. 150. 10. Πηλιάδ.
150. 16. ποικιλόνωτον. 152. 4. ἀργυροῤῥύτων. 155. 6. γένηται. 160.
μέλισσα, συνέγκαιμ'. 180. 1. ἐκβολάς. 182. 1. ἅτ'. 184. 6. Πλούτ
184. 14. ἥκομεν. 185. 5. μόνον. 188. 2. κατακτείναντι. 189. 19. εἰςτ
205. 6. στρέφεται. 229. ὁμιλίαι. 231. 20. ἀπωλέσαμεν. 235. 16. ἐπιγ
τες. 236. 9. μεθ' ἡμῶν. 240. 3. τέρμονας. 241. 18. τοῦ αὐτοῦ. 242.
βοή. 256. 4. ἀποσπασθέντες. 256. 4. χθονὸς. 258. 20. ἣν σύ. 268. 17. ἐ-
ναντίους. 272. 26. κλάω. 274. 16. ὦ πρέσβυ. 277. 19. αἴφνης· 278. αὐτ
297. 17. διεύθυνόν μοι. 298. 12. μεμνήμεθ'. 308. 2. νέος. 308. 5. λυγαίο.
310. 11. ὀφθαλμοῖς. 310. 16. χαῖρε. 316. 5. 'στι. 320. 18. ἐμάς. 320. 19.
ἐχθροῦ — βλαστήματα. 322. 19. Παλληνίδος. 322. 23. πολλῇ. 324. 15
κτανόντας.

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ